l.	= linea
m.	= manus
om.	= omisit/-erunt
p.	= pagina
pc	= post correctionem
pr.	= prius
scrib.	= scribendum/-a
sec.	= secundum
sim.	= similiter, simile/-ia
s.l.	= supra lineam
sqq.	= et quae sequuntur
tert.	= tertia/-um
transp.	= transposuit/-erunt
vid.	= vide(n)tur

1

Θεὸς ὁ ἄχρονος τόνδε τὸν κόσμον μὴ πρότερον ὑφεστῶτα ἐν χρόνῳ παράγων ἐποίησεν ἐν ἀρχῇ οὐρανὸν καὶ γῆν. συνυπέστη δὲ τῇ γῇ τό τε ὕδωρ καὶ τὸ πῦρ· καὶ τοῦτο τεκμήριον ἐναργὲς τὸ ἐκ λίθου μὲν καὶ σιδήρου ὄντων ἐκ γῆς πῦρ ἄφθονον ἐξάλλεσθαι, ἐκ πηγῶν τε καὶ φρεάτων ὕδωρ πλούσιον ἀναδίδοσθαι. ταύτης γὰρ ἐκ μὴ ὄντων ὑποστάσης δῆλον ὅτι καὶ τὰ ἐν αὐτῇ. **2** πάντα οὖν γέγονε κατὰ τὴν τοῦ Θεοῦ βούλησιν. ἐπειδὴ δὲ δίκην σκηνῆς ὁ οὐρανὸς περιταθεὶς τὸν ἐναπολειφθέντα τόπον ἐσκότισεν, εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ εὐθὺς σὺν τῷ λόγῳ ἡ φύσις τοῦ φωτὸς ἡ πάγκαλος αὕτη παρήχθη καὶ τὸ σκότος τὸ ἐξ ἀντιφράξεως τοῦ οὐρανίου σώματος ἐπισυμβὰν διεσκέδασε καὶ τὸν ἀλαμπῆ ἐκ τῆς τοιαύτης αἰτίας ἀέρα λαμπρότατον ἄφνω ἀνέδειξεν. **3** ὅτι δὲ πᾶν ὅ, τι ἦν πρὸ τῆς τοῦ κόσμου τούτου συστάσεως, ἐν φωτὶ ἦν, δῆλον. οὔτε γὰρ αἱ τῶν ἀγγέλων χορεῖαι οὔτε πᾶσαι αἱ ἐπουράνιαι στρατιαὶ ἐν σκότῳ διῆγον, ἀλλ᾽ ἐν φωτὶ καὶ πάσῃ εὐφροσύνῃ πνευματικῇ τὴν πρέπουσαν ἑαυταῖς λειτουργίαν ἐκπληροῦσαι, ἀφ᾽ οὗ καὶ αὗται ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρήχθησαν. **4** τούτου τοίνυν τοῦ φωτὸς ἐκ τῆς εἰρημένης αἰτίας ἐναποκλεισθέντος ἄνω αὖθις ἐδημιούργησεν ὁ Θεὸς τὸ νῦν καταλάμπον καὶ φαιδρῦνον τὸν μεταξὺ οὐρανοῦ καὶ γῆς

---

cap. 1: cf. Gen. 1.1–5; Georg. Sync. 3.3–7; cf. etiam cap. 11, § 2 huius chronici **3** ἐποίησεν – γῆν: Gen. 1.1; cf. Georg. Sync. 1.7; 2.5; 3.6 **8** οὐρανὸς περιταθεὶς: cf. cap. 2, § 2 huius chronici **9** εἶπεν – φῶς: Gen. 1.3

TO[Cr]HhR_0 ab

---

titulus omnis operis fort.: Εἰς τὴν κοσμοποιΐαν ἐκ τῆς γενέσεως καὶ χρονικὸν ἐφεξῆς συλλεγὲν παρὰ Συμεὼν μαγίστρου καὶ λογοθέτου ἐκ διαφόρων χρονικῶν τε καὶ ἱστορικῶν (vide introd. III.3.2 ut etiam III.1) **2** ὁ om. R_0 τόνδε τὸν : τὸν δὲ T πρότερον μὴ Hh **3** παραγαγὼν ab ἐν ἀρχῇ om. ab **4** τὸ (pr.) om. T O R_0 τοῦτο : τούτου (του$^{τ'}$ R_0) O Hh (de genetivo cf. cap. 26.22) τὸ ἐκ : τοῦ ab **5** ὄντως T ἄφθονον : ἄφωνον in textu et ἄφνω in mg. O ἐξάλλεσθαι : …]λεται T^2 (post ἐξάλ non vid. T^1) : ἐπάλλεσθαι O : ἐξελέσθαι ab **5–6** ἐκ πηγῶν τε (δὲ R_0) – ἀναδίδοσθαι om. T **7** τὰ – πάντα : τῶν ἐν αὐτῇ πάντων· πάντα R_0 **8** βου$^{λ'}$ R_0 **8–9** τοῦ ἐναπολη φθέντος O **9** ἐσκότασεν Hh γενηθῆναι ab **10** σὺν om. R_0 αὕτη (αὔτη T) : αὐγὴ Tafel **11** τὸ om. R_0 **12** post αἰτίας add. τοῦτον ab ἀέρα om. Cr Hh **13** δὲ πᾶν ὅ, τι : ὃ πᾶν O τούτου : τοῦδε R_0 : om. ab **14–15** πᾶσαι αἱ ἐπουράνιαι : αἱ ἐπίγειαι O **15** σκότῳ (sic ut vid. T) : σκότει O Cr Hh **16** πνευματικῇ om. Cr Hh ἑαυταῖς : ἑαυτοῖς O R_0 : αὐταὶς Cr Hh ἐκπληροῦσαι : ἐξεπλήρουν Cr (sic ut vid. Cr) Hh ἀφ᾽ : ὑφ᾽ O **17** αὐταὶ Hh ὄντως T **18** ἐναπολειφθέντος O ἄνω : ἐκ δευτέρου Hh **19** ὁ om. Hh ab φαιδρύνων R_0

τόπον. **5** ταῦτα γεγένηται ἐν τῇ πρώτῃ τῆς κοσμοποιίας ἡμέρᾳ. ἐν ταύτῃ οὖν τῇ ἡμέρᾳ λέγει Μωσῆς ἐν τῇ Λεπτῇ Γενέσει ἐκτίσθαι τὰς οὐρανίους δυνάμεις.

2 Περὶ τοῦ στερεώματος

Πάλιν ἐν τῇ δευτέρᾳ ἡμέρᾳ, τῆς ἀβύσσου ἀπείρως καὶ ἀπλέτως τῇ γῇ περικεχυμένης, προσέταξε στερέωμα γενέσθαι ἐκ τῶν ὑδάτων ἐν μέσῳ αὐτῶν, ὃ καὶ μετὰ ταῦτα οὐρανὸν προσηγόρευσε· καὶ σὺν τῷ κελεύσματι τὸ ἔργον ἀπετελέσθη. **2** στερέωμα δὲ ἐκλήθη τὸ δημιούργημα διὰ τὴν φύσιν τῶν ὑπερκειμένων ἢ καὶ ὑποκειμένων ὑδάτων λεπτὴν οὖσαν καὶ ἀραιάν, οὐρανὸς δὲ διὰ τὸ καθορᾶσθαι τρόπον δέρρεως ὑπὲρ κεφαλῆς ἡπλωμένον.

3 Περὶ τῆς θαλάσσης

Αὖθις δὲ τῇ τρίτῃ ἡμέρᾳ ἐκέλευσε τὰ ἐναπολειφθέντα κάτω τοῦ στερεώματος ὕδατα συνελθεῖν εἰς συναγωγὴν μίαν, ἣν καὶ ἐπωνόμασε θάλασσαν, πρὸς τὸ ὀφθῆναι τὴν ξηράν, καὶ οὕτως κοιλότητές τινες βαθεῖαι ἐγγεγενημέναι εἰσεδέξαντο αὐτά.

---

§ 5: Lepte Genesis cap. 2 cf. Gen. 1.6–8; Georg. Sync. 3.7–8 **7–8** οὐρανὸς – ἡπλωμένον: cf. Ps. 103(104).2 (ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν) cap. 3: cf. Gen. 1.9–10; Georg. Sync. 3.8–10

TO[Cr]HhR_0 ab **cap. 2** TOK[Cr]HhR_0 ab **2** ab ἀβύσ]σου TOK[Cr]HhR_0 Ab

---

20 ἐν τῇ πρώτῃ γεγένηται ab **21–22** ἐν pr. – δυνάμεις om. ab **21** μωϋσῆς O Λεπτῇ : λοιπῇ T Γενέσει ἐκτίσθαι (ἐκτεῖσθη Hh) : γενήσει ἐποίησεν ὁ θεὸς O **cap. 2.1** Περὶ τοῦ στερεώματος : sic T^2 (non vid. T^1) post στερεώματος add. β Hh **2** ἐν τῇ om. R_0 ἀπείρως καὶ ἀπλέτως (ἀπλάστως Cr Hh) : ἀπλέτως καὶ ἀπείρως R_0 **3** ἐμ Hh **4** ὃ om. O μετὰ : ἄμιλα O οὐρανὸν : ὁ θεὸς O **5** στερέωμα δὲ : καὶ στερέωμα R_0 τὸ : καὶ O post διὰ add. τὸ Hh **6** ἢ om. O καὶ om. K λεπτὴν οὖσαν : ἐπινοοῦσαν O **7** τρόπον : τρόπω Hh δέρρεως : διαιρέσεως O **8** ἡπλωμένον (R_0 per comp.) : ἡπλωμένος Hh **cap. 3.1** τῆς om. R_0 **2** Αὖθις : ἐν ut vid. O post δὲ add. ἐν Hh Ab (cf. O; cf. cap. 2.2, 5.2, 7.2) ἐναπολῃφθέντα O κάτω : κατὰ T : ὑποκάτω O **3** ὕδατα (ὅταν O) ante κάτω (**l. 2**) exhib. R_0 συνελθεῖν : συνεῖλεν O καὶ om. Ab **4** ξηράν : γῆν O **5** ἐγγεγενημέναι (ἐνγ- T K) : ἐν τῇ γῇ γενόμεναι Ab αὐτά : αὐτήν R_0

4 Περὶ τῆς ξηρᾶς καὶ τῶν βλαστησάντων ἐκ γῆς

Ξηρὰ δὲ ἡ γῆ ἐπεκλήθη, ἐπειδὴ καὶ ἴδιόν ἐστιν αὐτῆς κατὰ φύσιν τι πρόσρημα. τὸ γὰρ κυρίως ξηρόν ἐστιν γῆ. **2** ἐπειδὴ δὲ ὥσπερ τι βάρος ἀπέθετο τὰ ἐναποκείμενα αὐτῇ ὕδατα, λοιπὸν βλαστάνειν προσετάχθη βοτάνην χόρτου καὶ σπέρμα κατὰ γένος καὶ ξύλον κάρπιμον. **3** καὶ εὐθὺς πρὸς καρπογονίαν συγκινηθεῖσα τὰ μυρία τῶν βλαστημάτων τε καὶ φυτῶν προεβάλετο γένη καὶ εὐπρεπὴς καὶ χαρίεσσα ἀνεφάνη. οὐ μόνον γὰρ ἐκ τῆς τῶν ληΐνων ἀναδόσεως ἐφαιδρύνετο, ἀλλὰ καὶ κέδρων καὶ κυπαρίσσων σὺν τῇ ἄλλῃ τῶν δένδρων πληθύι αὐτομάτως ἐξ αὐτῆς ἀνακυψάντων ἱκανῶς κατεκοσμεῖτο.

5 Περὶ τῶν φωστήρων

Πάλιν ἐν τῇ τετάρτῃ ἡμέρᾳ φωστῆρας εἶπε γενέσθαι, καὶ ἐγένετο ἥλιός τε καὶ σελήνη καὶ ἄστρα, καθὼς ἠβουλήθη ὁ κελεύσας. **2** καὶ τὸ καθαρώτατον ἐκεῖνο φῶς τὸ ἐν τῇ πρώτῃ †κτίσει ἐν ἡμέρᾳ† ἐν τούτοις καταμερίσας πολυμερῆ ἐξ αὐτῶν παρέσχετο τῷ παντὶ ὠφέλειαν· **3** μίαν μὲν τὴν ἐκ τοῦ φαίνειν καὶ ταῖς οἰκείαις λαμπηδόσι καταυγάζειν τὸν

---

cap. 4: cf. Gen. 1.11–13 cap. 5: cf. Gen. 1.14–19; Georg. Sync. 3.10–11

TOK[Cr]HhR_0 Ab

---

1 καὶ (καὶ : καὶ περὶ Ab : om. O) τῶν βλαστησάντων ἐκ (ἐκ om. O) γῆς (post γῆς add. ἡ(μέρα) δ Hh) om. T : non adhib. R_0 **2** Ξηρὰ δὲ ἡ γῆ ἐπεκλήθη (ἐκλήθη Hh et ut vid. R_0 (…]ἐκλήθη R_0)) : αὕτη (?) ἐπεκλήθη γῆ O ἐπειδὴ : ἤδη O αὐτῆς : αὐτῇ Hh : αὐτὴ R_0 : αὐτῆς καὶ Ab τι : τὸ O K R_0 **3** κυρίως – γῆ : τοῦ πηροῦ ἐστὶν O τι : τὸ O **4** ἐναπέθετο Ab ἐναποκείμενα – λοιπὸν : ἐν αὐτῇ ʼ[αποκείμενα ὕδατα λοιπὸν] R_0 ὕδατα : τῇ γῇ O **5** γένος καὶ ξύλον : καιρὸν O **6** συγκινηθεῖσα : συγκινηθεῖσαν O : συγκινηθέντα K : κινηθεῖσα Hh : κινη[… R_0 **7** τε om. K προεβάλετο (-βάλλετο K R_0 Ab) : περιἐβάλλετο T γένη : ἄνθη Ab καὶ ter. om. K post χαρίεσσα add. ἀθρῶον ἅπασα Ab ἀνεφάνη : συνανεφάνη R_0 **8** μόνων Hh ληΐνων : ληΐων R_0 Ab recte ἀναδόσεως : ἀναδάσεως ut vid. Ab[ac] **9** πληθύϊα Hh **10** ἀνακύψαντα Hh **cap. 5.1** post φωστήρων add. ἡ(μέρα) δ Hh **2** ἐν om. O **3** τε om. Ab **4** ἐκεῖνο : ἐκεῖνω T : ἐκεῖ K : ἐκείνον Hh κτίσει ἐν ἡμέρᾳ (fort. ἧμ(ετ?)έρα R_0) : κτισθὲν ἡμέρα O : ἡμέρα Cr Hh : κτίσει, ἐνὶ ἡμέρα Ab[ac] : κτίσει, ἐν ἡ ἡμέρα Ab[pc2] : fort. scrib. κτίσεως ἡμέρᾳ (vel τῆς κτίσεως ἡμέρᾳ: sic Kambylis), sed fort. exhibebat archetypus omnium codicum in textu ἐν τῇ πρώτῃ κτίσει et in mg. ἐν α' ἡμέρᾳ : sententiam corruptam esse suspicatus est Tafel τούτοις : τούτω O **4–5** καταμερίσας : καταμετρήσας R_0 **5** αὐτῶν : αὐτοῦ Cr Hh τῷ om. Cr Hh **6** τὴν : τοῦ T : om. Hh ταῖς (ταῖ ut vid. O) οἰκείαις λαμπηδόσι om. Cr Hh καταυγάζει K

κόσμον πλουσίως, ἑτέραν δὲ τὴν ἐκ τοῦ ἀνίσχειν καὶ καταδύεσθαι αἰτίαν οὖσαν τῆς τῶν χρόνων ἀπαριθμήσεως, ἄλλην δὲ τὴν διά τινων σημείων εὐεργετοῦσαν διαφόρως τοὺς εὐσεβῶς στοχαζομένους καὶ μὴ πέρα τοῦ μέτρου περιεργαζομένους, **4** οἷά ἐστι καὶ διὰ τῆς σελήνης πολλάκις σημαινόμενα. λεπτὴ γὰρ οὖσα ταῖς ἀκτῖσι περὶ τὴν ἡμέραν καὶ καθαρὰ σταθερὰν εὐδίαν κατεπαγγέλλεται, παχεῖα δὲ ταῖς κεραίαις καὶ ὑπέρυθρος φαινομένη ἢ ὕδωρ λάβρον ἀπὸ νεφῶν ἢ χειμῶνα ἔσεσθαι μηνύει. **5** ὡσαύτως καὶ ὁ ἥλιος ἀνθρακώδης γινόμενος καὶ ὕφαιμος ταῖς ἀκτῖσιν ἢ τῷ ἀπαυγάσματι βιαίαν κίνησιν δηλοῖ ἐπιγενέσθαι. πολλάκις οὖν ἐκ τῆς τοιαύτης σημειώσεως ὠφελήθησαν πολλοὶ πλωτῆρές τε καὶ γεωργοὶ καὶ ὁδοιπόροι.

6 Περὶ τῶν ἰχθύων καὶ τῶν πετεινῶν

Ἐν δὲ τῇ πέμπτῃ ἡμέρᾳ ἐκέλευσεν ἐξαγαγεῖν τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ πετόμενα· καὶ σὺν τῷ προστάγματι τὸ ἔργον ἐτελειοῦτο, τῆς πρὸς τὸ ζωογονεῖν ἐπιτηδειότητος ἐγγενομένης τοῖς ὕδασιν. εὐθὺς γὰρ θάλασσα μὲν τὰ παντοδαπὰ γένη τῶν κτηνῶν ἀπέτεκε, ποταμοὶ δὲ καὶ λίμναι τῶν οἰκείων καὶ κατὰ φύσιν ἰχθύων ἐπληρώθησαν. **2** προήγαγε δὲ αὖθις καὶ τὰ πετεινὰ τὰ ὕδατα, τρόπον τινὰ συγγένειαν πρὸς τὰ νηκτὰ ἔχοντα. ὥσπερ

§ 5: cf. Basil., Homiliae in Hexaemeron 4.12 cap. 6: cf. Gen. 1.20–23; Georg. Sync. 3.11–13

TOK[Cr]HhR_0 Ab

7 τὴν : τοῦ K ἀνέσχην T καταδύνασθαι K **8** τὴν om. Hh **9** ἐνεργοῦσαν Ab διαφόρων K **9–10** καὶ – περιεργαζομένους om. O **10** οἷά : fort. scrib. οἷα (cf. infra σημαινόμενα) εἶσι O K καὶ : καὶ τὰ O : καὶ ἡ Ab **11** σημαινόμενα (-όμενον Hh : -ομένω T) : σημειούμενα O K : σημαινομένη Ab, fort. recte post οὖσα add. αὕτη Ab τὴν : τρίτην Ab recte **12** σταθηρὰν O K παχεῖα : παχεῖς O : παγία K **13** φαινομένη : γενομένη K λάβρων Hh **14** γινόμενος : γενόμενος K Ab : φαινόμενος O ὕφημος Hh **15** post τῷ ἀπαυγάσματι (τοῖς ἀπαυγάσμασιν Cr Hh) add. ἢ ὄμβρων καταφορὰν, ἢ πνευμάτων Ab ἐπιγίνεσθαι Hh Ab **cap. 6.1** post πετεινῶν add. ἡμ^ερ ε Hh **2** δὲ om. Hh **3** τὸ στερέωμα τοῦ οὐρανοῦ πετόμενα : γένος O **5** ἐγγενομένου ut vid. Hh γὰρ om. O K θάλαττα K μὲν ante γὰρ exhib. Hh **6** κτηνῶν : νηκτῶν R_0 Ab recte ut vid., sed fort. scrib. κητῶν sec. Gen. 1.21 δὲ ut vid. om. O οἰκείων : ἰδίων Hh καὶ alt. om. T Hh (cf. fort. cap. 4.2–3 ἴδιόν ἐστιν αὐτῆς κατὰ φύσιν τι πρόσρημα) **7** προσήγαγε Ab **8** τρόπω Hh post τινὰ add. καὶ R_0 συγγενείας K πρὸς τὰ νηκτὰ ἔχοντα : ἔχοντα πρὸς τὰ νηκτὰ O

γὰρ οἱ ἰχθύες ἐν τοῖς ὕδασι τῇ μὲν κινήσει τῶν πτερύγων ἐπὶ τὸ πρόσω χωροῦσι, τῇ δὲ συχνῇ μεταστροφῇ τοῦ οὐραίου τὰς εὐθείας αὐτοῖς ὁρμὰς οἰακίζουσιν, οὕτω καὶ τὰ πετεινὰ κατὰ τὸν ἀέρα νηχόμενα τέμνουσι μὲν τοῦτον, περῶσι δὲ ὅπου καὶ βούλονται.

7 Περὶ τῶν κτηνῶν καὶ τῶν θηρίων

Αὖθις δὲ ἐν τῇ ἕκτῃ ἡμέρᾳ ἐπετράπη ἐξαγαγεῖν ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος· τετράποδα καὶ ἑρπετὰ καὶ θηρία· καὶ εὐθὺς προήγαγε τά τε ἄγρια καὶ ἥμερα ζῷα. ψυχὴν δὲ ζῶσαν ἐξαγαγεῖν ἐκέλευσεν, ἵνα ἐκ τούτου γινώσκηται τῆς τε ἀλόγου ψυχῆς ἡ διαφορὰ καὶ τῆς ἀνθρωπείας. ἐκ γὰρ γῆς ἐφύη τῶν ἀλόγων ἡ ψυχή, ἡ δὲ τοῦ ἀνθρώπου ἐκ τοῦ θείου ἐμφυσήματος συνέστη. **2** καὶ ὅτι γεηρὰ ἡ τῶν ἀλόγων ψυχή, ἐξ αὐτῆς ἐστιν γνῶναι πάλιν τῆς Γραφῆς. εἴρηται γάρ· ψυχὴ παντὸς κτήνους τὸ αἷμα αὐτοῦ ἐστιν. αἷμα δὲ πηγνύμενον εἰς σάρκα μεταβάλλεται, σὰρξ δὲ φθειρομένη εἰς γῆν ἀναλύεται· εἰκότως οὖν γεώδης ἡ ψυχὴ τοῦ ἀλόγου. **3** ἐπειδὴ δὲ λοιπὸν τῷ καταλλήλῳ κάλλει τὰ πάντα διεκοσμεῖτο (οὐρανὸς μὲν ταῖς τῶν φωστήρων αὐγαῖς, θάλαττα δὲ καὶ ἀὴρ τοῖς νηκτοῖς καὶ ἀερίοις τῶν ζῴων, γῆ δὲ ταῖς παντοίαις διαφοραῖς τῶν φυτῶν τε καὶ βοσκημάτων), ὥσπερ τινὰ βασιλέα ὁ τοῦ παντὸς ποιητὴς εἰσάγει τὸν ἄνθρωπον ἐν κόσμῳ, οὐχ ὡς ἀπόβλητον ἔσχατον κτίσας, ἀλλ᾽ ὡς ἅμα τῇ γενέσει βασιλεύειν ὀφείλοντα.

---

cap. 7: cf. Gen. 1.24–25; Georg. Sync. 3.13–18 **8–9** ψυχὴ (alt.) – ἐστιν: cf. Lev. 17.11 (cf. Deut. 12.23; Gen. 9.4)

TOK[Cr]HhR_0 Ab **16** ab ὡς TOKHhR_0 Ab

---

9 μὲν om. R_0 τὸ : τῶ T : τοῖς Hh : an scrib. τὰ? **10** τὰς om. Ab **10–11** ὁρμὰς αὐτοῖς Cr Hh **11** οὕτως Hh κατὰ : ἐπὶ ut vid. O **cap. 7.1** post θηρίων add. ἡμέρα ς Hh **3** καὶ alt. om. K **4** δὲ om. O **5** τούτου (του$^{τ'}$ R_0) : τούτων Ab γινώσκεται Hh τε om. O Hh ψυχῆς : ζωῆς Hh **6** ἀνθρωπείας : τοῦ ἀνθρώπου Ab ἐκφύει O τῶν ἀνθρώπων R_0 **7** συνέστηκε O R_0 γεηρὰ ἡ : ἐκ γῆς O **8** πάλιν γνῶναι Hh Ab εἴρηκε Hh **9** πηγνύμενος K **10** εἰκότος T **11** δὲ om. R_0 **12** τὰ om. R_0 διεκοσμεῖτο : διεκοσ́μειτο R : διεκόσμητο T : διεκεκόσμητο Hh : διακεκόσμητο K Ab (cf. 4.10 κατεκοσμεῖτο) **12–13** θάλαττα : θάλασσα Hh : non adhib. R_0 **13** post νηκτοῖς add. τε Ab **13–14** ταῖς παντοίαις (παντοίοις Ab) – βοσκημάτων (κοσμημάτων O) : ὁμοίως τοῖς διαφόροις φυτοῖς καὶ βοσκήμασιν Hh : [παντοίαις – διαφορα] non vid. R_0 **15** εἰσάγη T

8 Περὶ τῆς κατασκευῆς τοῦ ἀνθρώπου

Τί γάρ φησιν ἡ Γραφή; καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν θηρίων καὶ πάσης τῆς γῆς. **2** καὶ τὰ μὲν ἄλλα πάντα κτίσματα ῥήματι μόνῳ παρήχθη, ὁ δὲ ἄνθρωπος ἔσχεν ἐξαίρετόν τι κατὰ τὴν ποίησιν παρὰ ταῦτα. βουλῆς γὰρ προηγησαμένης ἐκτίσθη, ἵνα ἐκ τούτου δειχθῇ, ὅτι περ τίμιόν τι χρῆμα ὑπάρχει. **3** τὸ γὰρ »ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν« οὐδὲν ἕτερον δείκνυσιν, ἢ ὅτι συμβούλῳ ἐχρήσατο ὁ πατὴρ τῷ μονογενεῖ αὐτοῦ υἱῷ ἐπὶ τῇ τούτου κατασκευῇ, τῷ ἀπαυγάσματι τῆς δόξης, κατὰ τὸν ἀπόστολον, καὶ χαρακτῆρι τῆς ὑποστάσεως αὐτοῦ. οὔτε γὰρ ἐνῆν ἄλλῳ τινὶ συμβούλῳ κεχρῆσθαι ἢ τῷ ζῶντι καὶ ἐνυποστάτῳ αὐτοῦ λόγῳ, τῷ ἀπαραλλάκτῳ κατ᾽ εἰκόνα καὶ ὁμοουσίῳ καὶ ἰσοδυνάμῳ. **4** εἴκοσι δύο ἔργα, ὡς λέγει Μωσῆς, ἔκτισεν ὁ Θεὸς ἐν ταῖς ἓξ ἡμέραις. διὸ καὶ εἴκοσι δύο γράμματα καὶ βιβλία τοσαῦτα παρ᾽ Ἑβραίοις καὶ εἴκοσι δύο γενεαρχίαι ἀπὸ Ἀδὰμ μέχρι Ἰακώβ.

9 Εἰς τό· κατ᾽ εἰκόνα

Ἐπειδὴ τοίνυν, ὡς εἴρηται, βασιλεὺς ὥσπερ εἰσήχθη ἐν κόσμῳ ὁ ἄνθρωπος, εἰκότως καὶ κατ᾽ εἰκόνα Θεοῦ γεγένηται. ἔδει γὰρ τὸν μέλλοντα ἄρχειν τῶν ἄλλων ὥσπερ τινὰ εἰκόνα εἶναι ἔμψυχον τῆς τοῦ βασιλέως ὁμοιότητος, οὐκ ἐν πορφυρίδι καὶ σκήπτρῳ καὶ διαδήματι τὴν ἀξίαν ἐμφαίνοντα, ἐπεὶ μηδὲ τὸ ἀρχέτυπον ἐν τούτοις ἐστίν, ἀλλ᾽ ἐν τῷ

---

cap. 8.2–5 καὶ – γῆς: Gen. 1.26 **10–12** τῷ ἀπαυγάσματι – αὐτοῦ: Hb. 1.3 § 4: cf. Georg. Sync. 3.14–18 (Lepte Genesis?)

TOKHhR_0 Ab

3–4 τῆς θαλάσσης om. O **4** καὶ ter. om. K : καὶ τῶν κτηνῶν καὶ Ab sec. Gen. 1.26 **5** πάντα om. Hh παρῆκται Hh **6** τι κατὰ : τινα τὰ K παρὰ ταῦτα : περάσαντα K **7** ἐκ τούτου : ἔκτοτε Hh δειχθεῖ R_0 **8** ὑπάρχει (per comp. R_0) : ὑπάρχη T **10** αὐτοῦ (αὐτῶ K) υἱῷ : υἱῷ αὐτοῦ O **11** χαρακτῆρι (per comp. R_0) : χαρακτῆρα Ab **12** συμβούλω τινὶ T **14–17** εἴκοσι (εἴκοσι καὶ O) – Ἰακώβ om. Ab **14–15** ἔργα ἔκτισεν ὁ θεὸς δὲ λέγει μωυσῆς K **14** Μωσῆς : μωυσῆς O K : μωυσὴς R_0 **15** ὁ om. Hh **16** γενεαρχίαι : γενεαλογίαι K : cf. Georg. Sync. 3.16 (γεναρχ-) μέχρις O K Hh **cap. 9.3** καὶ : οὖν καὶ R_0 : om. K γεγένηται : fort. scrib. γεγέννηται **4–5** παμβασιλέως Ab **6** ἐμφαίνοντα (R_0 per comp.) : ἐμφαίνοντι Hh μηδὲ : δὴ δὲ K : δὴ μὴ δὲ R_0 ἐστίν : ἦν O K

κεκοσμῆσθαι τῇ ἀφθαρσίᾳ καὶ ἀθανασίᾳ καὶ ἀρετῇ. **2** τούτοις γὰρ τιμηθεὶς ὁ ἄνθρωπος †τὴν πρὸς τὸ πρωτότυπον εἰκόνα ὁμοιότητα† διασῴζει. ἔτι δὲ καὶ ἡ αὐτεξουσιότης τὸ βασιλικὸν καὶ ἐπηρμένον τῆς φύσεως τοῦ ἀνθρώπου καὶ πρὸς τὴν θείαν εἰκόνα ἐμφερὲς προφανέστατα δείκνυσιν, καὶ κατὰ τοῦτον τὸν λόγον καὶ χειρῶν Θεοῦ ἔργον ὁ ἄνθρωπος, διὰ τὸ τίμιον τῆς κατασκευῆς· βουλῆς γὰρ ἐνέργεια τὸ πᾶν. **3** εἶτα, μετὰ τὴν τούτου διάπλασιν, τί φησιν ἡ Γραφή; καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησεν, καὶ ηὐλόγησε τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

10 Περὶ τοῦ σαββάτου

Τίνος χάριν τὴν ἑβδόμην ἡμέραν εὐλόγησεν ὁ Θεὸς μόνον καὶ οὐχὶ τὰς πάσας; ὅτι ἑκάστη τῶν ἄλλων ἐκ τῆς ἐν αὐτῇ γενομένης δημιουργίας ἔσχεν τὴν εὐλογίαν, ἐπειδὴ δὲ ἔμελλεν αὕτη μένειν ἀγέραστος, μηδεμιᾶς ἐν αὐτῇ γενομένης δημιουργίας, τούτου χάριν ηὐλογήθη καὶ αὐτὴ ὑπὸ Θεοῦ. **2** πάλιν οὖν ἡ Γραφή· καὶ ἐφύτευσε Κύριος ὁ Θεὸς παράδεισον ἐν Ἐδέμ, κατὰ ἀνατολάς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν. καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ.

13–17 καὶ – ποιῆσαι: Gen. 2.2–3 **cap. 10.6–10** καὶ – πονηροῦ: Gen. 2.8–9

TOKHhR$_0$ Ab

---

7 κοσμεῖσθαι R$_0$ τῇ – ἀρετῇ : τῇ ἀρετῇ καὶ ἀφθαρσίᾳ O : τὴν ἀφθαρσίαν καὶ ἀθανασίαν καὶ ἀρετὴν Hh **8** τὴν πρὸς τὸ (τὴν T) πρωτότυπον εἰκόνα (εἰκόνα καὶ O K) ὁμοιότητα (ὁμοιότητα (R$_0$ per comp.) : -η vel -α ut vid. Hh) : quod corruptum esse vid. (fort. εἰκόνα ut glossa delendum) **9** ἐπηρτημένον T **10** ἐμφανέστατα R$_0$ **11** καὶ pr. om. Ab **13** τούτου : τοῦδε Ab **13–14** ἡ – Θεὸς : ὁ θεὸς καὶ συνετέλεσεν Hh **14** ἐν pr. om. R$_0$ **15** ἀπὸ – ἐποίησεν om. Ab **16** εὐλόγησεν R$_0$ Ab αὐτήν om. T **17** πάντων om. Hh R$_0$ **cap. 10.1** ad σαββάτου add. in mg. ι Hh **2** τὴν ἡμέραν τὴν ἑβδόμην Hh ἠλλόγησεν Hh **3** ἁπάσας K **4** ἐπειδὴ – ἀγέραστος : ἐπὶ τῆς ζ R$_0$ δὲ om. Hh **4–5** μηδεμιᾶς (οὐδὲμιᾶς R$_0$) – δημιουργίας om. Ab **5** γενομένης ἐν αὐτῇ K εὐλογήθη Hh R$_0$ Ab **5–6** καὶ αὐτὴ (αὕτη Ab) ὑπὸ (ὑπὸ τοῦ Hh : παρὰ Ab) Θεοῦ : παρ᾽ αὐτοῦ καὶ αὐτῇ O **6** post οὖν add. φησὶν R$_0$ post Θεὸς add. τὸν K **7** κατ᾽ Ab **8** ἔτι ὁ θεὸς Hh

11 Περὶ τοῦ παραδείσου

Τὴν λογικὴν ὑπόστασιν τιμῆσαι προθέμενος ὁ Θεὸς ἀφωρισμένον κατασκευάζει καὶ λαμπρὸν οἰκητήριον καὶ πάσης γέμον θυμηδίας καὶ καθίστησιν ἐκεῖ τὸν Ἀδάμ. **2** ἔστι δὲ ἐνταῦθα γενομένου τοῦ λόγου θαυμάσαι τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν, ὅτιπερ πανταρχικὴν ἔχων καὶ ἀΐδιον ἐξουσίαν εἰς τὸ πᾶν ἑαυτὸν καὶ γεωργεῖν ἐπέδωκε διὰ τὸν ἄνθρωπον. ὁ γὰρ τοσοῦτον μέγεθος οὐρανοῦ καὶ γῆς καὶ θαλάττης λόγῳ ὑποστησάμενος πολλῷ μᾶλλον παράδεισον ἱκανὸς ἦν καταφυτεῦσαι ῥήματι καὶ λόγῳ ῥιζῶσαι τὸ πανόλβιον χωρίον. ἀλλ᾽, ὡς εἴρηται, διὰ τὴν πρὸς τὸν ἄνθρωπον τιμὴν καὶ φυτουργὸς γίνεται μυστικῷ τινι λόγῳ ὁ ἀκαμάτως τόνδε τὸν κόσμον ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι θελήσει μόνῃ παραγαγών. **3** εἶτα αὖθις ἡ Γραφή· καὶ ἤγαγεν ὁ Θεὸς πάντα τὰ θηρία καὶ τὰ κτήνη καὶ τὰ ἑρπετὰ πρὸς τὸν Ἀδὰμ ἰδεῖν, τί καλέσει αὐτά, καὶ πᾶν, ὃ ἐκάλεσεν αὐτὸ Ἀδάμ, τοῦτο ὄνομα αὐτῷ.

12 Περὶ τῆς ὀνομασίας τῶν ζῴων

Ὁρᾶν οὖν ἦν καὶ ἐντεῦθεν τὴν τιμὴν μετὰ ταῦτα τοῦ ἀνθρώπου, ἣν ἔσχεν ἐξ αὐτῆς τῆς γενέσεως. ὥσπερ γὰρ ἀγελάρχης τις προὐκάθητο Ἀδάμ, καὶ ὁ Θεὸς ἦγε πρὸς αὐτὸν τὰ μυρία τῶν θηρίων καὶ τῶν κτηνῶν καὶ τῶν πετεινῶν γένη, ἵνα ἡγεμόνα τοῦτον χειροτονήσῃ, ὃν κατ᾽ εἰκόνα

---

§ 1: cf. Gen. 2.8; 2.15 **11–12** ὁ – παραγαγών: Iohannes Damasc., Expositio Fidei 8.38sqq.; 77sqq.; Basil., Adversus Eunomium 29, p. 760.23–24; cf. etiam principium huius chronici **12–14** καὶ – αὐτῷ: cf. Gen. 2.19; Georg. Sync. 4.14–15 cap. 12: cf. Gen. 2.19–20

TOKHhR_0 Ab **cap. 11.3** a καὶ ter. TCOKHhR_0 Ab

---

2 ἀφωρισμένον om. R_0 **2–3** κατασκευάζη R_0 **3** οἰκητήριον : μονητήριον Ab γέμων T O Hh R_0 Ab^{ac} καὶ ter. om. O **4** γενόμενοι R_0 **5** τοῦ θεοῦ τὴν ἄφατον C Hh R_0 ὅτι K **6** post ἀΐδιον add. τὴν C ἑαυτὸν (ἑαυτῇ Hh) post γεωργεῖν transp. R_0 ἐπιδέδωκε K **7** θαλάσσης Hh **8** παράδεισον post καταφυτεῦσαι transp. R_0 **9** τῷ ῥήματι K **11** ἀκαμάντως Hh **12** εἶτ᾽ C **13** ἑρπετὰ : πετεινὰ Ab, quod scrib. sec. Gen. 2.19 (cf. et infra cap. 12, § 1) **14** αὐτὸ : αὐτῷ C K : αὐτὰ O R_0 Ab (αὐτὸ Gen.) : om. Hh αὐτῷ : αὐτοῦ K : αὐτοῖς Hh R_0 (αὐτοῦ Gen.) **cap. 12.1** Περὶ – ζῴων om. C τῆς om. Hh ὀνομασίας post ζῴων transp. R_0 post ζῴων add. ια Hh **2** ἦν : ἐστι R_0 τὴν τιμὴν : τιμὴν K : τὴν τιμὴν τὴν Ab **3** τῆς om. Ab γεννήσεως R_0 τις om. K προκάθη^{τ} R_0 **4–5** τῶν pr. – πετεινῶν (ἑρπετῶν C : πτηνῶν Ab) om. Hh **4** καὶ τῶν κτηνῶν bis exhib. R_0 **5** τοῦτον (τούτον Hh) : τούτων C O Ab χειροτονήσει T Hh R_0 post ὃν add. ἂν O

ἰδίαν πεποιήκει. **2** καὶ ἐκεῖνος μὲν θείῳ καταπνευσθεὶς καὶ προφητικῷ πνεύματι ὀνόματα κύρια ἑκάστῳ τῶν ἀλόγων ἐπέθηκεν, τὰ δὲ ζῷα ὥσπερ τιμὴν μεγάλην ἐκ τῆς ἐπικλήσεως λαβόντα οὕτως ἐν συζυγίᾳ ὑπεχώρουν.

13 Περὶ τῆς ποιήσεως τῆς γυναικός

Ἐπειδὴ δὲ ἐξ ἁπάντων τούτων τῶν γενῶν οὐδὲν ἦν ὅμοιον τῷ Ἀδάμ, εἶπε πάλιν ὁ Θεός, καθά φησιν ἡ Γραφή, οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν, βοηθὸν λέγων τὸ θῆλυ διὰ τὸν τῆς παιδογονίας λόγον, συνεργεῖν μέλλον τῷ ἀνδρὶ πρὸς τὴν τοῦ γένους αὔξησίν τε καὶ διαμονήν. **2** αὖθις δὲ ἐπιλέγει· καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ καὶ ὕπνωσε καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσε σάρκα ἀντ' αὐτῆς καὶ ᾠκοδόμησε τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα. **3** ἔστι δὲ ὁ εἰρημένος τῆς Γραφῆς σκοπὸς οὗτος· κρίνας ὁ ἐν σοφίᾳ τὰ πάντα ποιήσας Θεὸς δοῦναι τῷ Ἀδὰμ βοηθὸν κατ' αὐτόν, ὡς ἐπηγγείλατο, οὐκ ἐκ γῆς πλάττει τὸ θῆλυ, καθάπερ τὸν ἄνδρα, ἀλλ' εἰς ὕπνον τρέπει τοῦτον, καταφορᾷ πνεύματος τὸν νοῦν αὐτοῦ φαντασιώσας, καὶ τὸν τῆς ψυχῆς ὀφθαλμὸν εἰς ἄπληστον φωτὸς ὄψιν ἐκκαλεῖται, ἵνα τῇ φαντασίᾳ τοῦ τοιούτου κάλλους κατεχόμενος μὴ γνῷ τὸ γινόμενον. εἶτα λαμβάνει μίαν τῶν πλευρῶν αὐτοῦ ἀκαμάτως αἴσθησιν ἀλγηδόνος αὐτῷ μὴ ἐπαγαγὼν καὶ εὐθύς, ὡς τεχνίτης καὶ ἰατρὸς σύντομος, τὸ λεῖπον διὰ σαρκὸς ἀνεπλήρωσεν. **4** ἐν ὅσῳ δὲ τὴν ψυχὴν †τῇ ἀκορέστῳ τῆς θείας ἡδονῆς†

---

cap. 13.2–4 εἶπε – αὐτόν: Gen. 2.18 **6–9** καὶ alt. – γυναῖκα: Gen. 2.21–22

TCOKHhR_0 Ab

---

6 πεποιήκει : ἐπεποιήκει C O K : πεποίηκεν R_0 κατεμπνευσθεὶς C **7** ὀνόματα κύρια : ὄνομα Hh ἑκάστου Hh **cap. 13.1** post Περὶ add. et expunxit τῆς ὀνομασίας τῶν ζώων O γυνῆς ιβ Hh **3** καθώς K **4** post αὐτῷ add. καὶ O κατ' αὐτόν, βοηθὸν om. O λέγων : λέγει Hh **5** τῶν … λογ΄ O μέλλον (μέλλων R_0) : μέλλοντα Ab **6** τε om. C **7** μίαν : -ν non vid. T **8** ἀντεπλήρωσε T αὐτῆς : αὐτοῦ Hh **9–10** σκοπὸς τῆς γραφῆς O K **10** οὗτος : οὕτως O Hh R_0 Ab τῷ : τὸν Hh **11** κατ' αὐτόν om. O K post ἐπηγγείλατο add. καὶ C **12** post καθάπερ add. καὶ R_0 ἄν … δα ut vid. K προτρέπει O **13** τῶν … ὀφθαλμῶν T **14** φωτὶ Hh ἐγκαλεῖται Hh τοῦ τοιούτου : τοιούτου O : τοῦτον K **16** ἀκαμάτευτον Hh ἐπάγων C **17** εὐθέως Hh ὡς : ὁ C post τεχνίτης add. ἄριστος Ab σύντομος : συντόμως in app. Tafel λοιπὸν O post διὰ add. τῆς K **18** δὲ : γὰρ R_0^2 ut vid. τὴν ψυχὴν om. O τῇ (τῷ C) – ἡδονῆς corruptum esse vid. : fort. scrib. τῇ ἀκορέστῳ τῆς θέας ἡδονῇ (Reinsch) vel sec. C τῷ ἀκορέστῳ τῆς θείας ἡδονῆς

περιέσπα, τὴν πλευράν, ἣν ἔλαβεν, ᾠκοδόμησεν εἰς γυναῖκα, μυστικῶς ἐκτυπώσας αὐτὴν εἰς ζῷον λογικόν, κάλλει ἀμηχάνῳ καὶ σχήματι εὐπρεπεστάτῳ κεκοσμημένον, καὶ ἄγει τοῦτο πρὸς τὸν Ἀδάμ. **5** εἶτα ἐκεῖνος, ἅτε θείου πνεύματος μέτοχος ὤν, ἐγνωκώς, ὅτι ἐξ αὐτοῦ ἦν, φησί· τοῦτο ὀστοῦν ἐκ τῶν ὀστῶν μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου. αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη. **6** ὁρῶν οὖν ὁ Ἀδὰμ τὴν γυναῖκα οὐχ ὡς γυναῖκα θεώμενος ἔπασχεν, ἀλλ' ὡς ἑαυτὸν ὁρῶν πνευματικῶς ηὐφραίνετο, τὴν ὁμοίαν βλέπων καὶ ταύτην ἔχουσαν κατασκευήν. ὡσαύτως δὲ καὶ ἡ γυνὴ θεωροῦσα τὸν ἄνδρα μεγάλως ἠγάλλετο, κατ' αὐτὸν οὖσαν ἑαυτὴν ἐννοοῦσα. **7** ὄντων οὖν αὐτῶν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς νόμον δίδωσιν αὐτοῖς ὁ Θεὸς ἐπ' εὐεργεσίᾳ τοῦ δεῖξαι μὲν ἐλευθέραν τὴν φύσιν ἐν τῇ αὐτεξουσιότητι, ὑποδεῖξαι δέ, ὡς ὑπὸ δεσπότην καὶ κηδεμόνα εἰσί, λέγων οὕτως· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ. ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ. ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε, τοῦτ' ἔστι θνητοὶ ἔσεσθε. οὕτω γὰρ καὶ ὁ Σύμμαχος ἑρμήνευσεν· ᾗ δ' ἂν ἡμέρᾳ φάγῃ ἀπὸ τοῦ ξύλου, θνητὸς ἔσῃ.

14 Περὶ τοῦ ξύλου τοῦ γνωστοῦ καλοῦ καὶ πονηροῦ

Ἀλλὰ μή τις ὑπολάβοι, ὅτι τὸ ξύλον τοιαύτης ἦν φύσεως, ὡς γνῶσιν παρέχειν καλοῦ καὶ κακοῦ· οὐ γὰρ δὴ βλαβερὸν ἐν παραδείσῳ τι ἦν. ὅρος δὲ ἐτέθη ἐπὶ τῷ φυτῷ πρὸς γυμνασίαν τῆς ἐλευθεριότητος. καὶ ὅτι

---

21 καὶ – Ἀδάμ: Gen. 2.22 **23–24** τοῦτο – αὕτη: Gen. 2.23 § 6: cf. Gen. 2.25 **31–34** ἀπὸ – ἀποθανεῖσθε: Gen. 2.16–17 **35** ᾗ – ἔσῃ: Symmachus

---

TCOKHhR_0 Ab

---

19 τὴν – γυναῖκα om. Hh **20** αὐτὴν om. ut vid. R_0 **21** κεκοσμημένη Hh τοῦτο om. Hh post πρὸς exhib. ut vid. πρὸς O^{ac} **22** ὅτι : ὡς Ab φασί fort. R_0 **23** post τοῦτο add. *νῦν* O K R_0^2 Ab sec. Gen. 2.23 ὀστῶν (sic ut vid. R_0) : ὀστοῦν K Hh : ὀστέων T C sec. Gen. 2.23 αὕτη T Hh **24** αὕτη ut vid. Hh οὖν om. O **25** θεώμενος : θεορῶν Hh **26** ηὐφραίνετο (εὐφρ- O Hh) – ταύτην om. T **28** κατ' αὐτὸν : καὶ τ' αὐτὸν O ἐννοοῦσαν K **29** ἐπὶ Hh **30** μὲν om. Hh ὑποδεῖξαι δέ : ἵνα δείξαι K **31** post παντὸς add. δὲ O **32** φαγῇ : φαγεῖ Hh : φάγῃ K O : φάγει R_0 : $φάγῃ^{τε}$ C (φάγῃ Gen. 2.16, sed alia mss. aliter) **33** φάγεσθε (R_0 per comp.) : φάγεσθαι T K Hh : φάγεσαι O ἡμέραν T **34** ἀποθανεῖσθαι T O K Hh R_0 ἔσεσθε (O R_0 per comp.) : ἔσεσθαι K Hh Ab **34–35** οὕτω (οὕτως T) – ἑρμήνευσεν (ἡρμήνευσεν C K R_0) om. O **35** φάγῃ : φαγῇ C : φάγει Hh **cap. 14.1** γνωστοῦ : ἐν τῶ παραδείσω τοῦ εἰδέναι γνωστὸν Hh **2** ὑπολάβοι : -λάβῃ Hh : -λάβει R_0 **3** παρέχειν : παρέχων Hh : om. O post καλοῦ add. τὲ R_0 κακοῦ : πονηροῦ T K post δὴ add. ἢ Hh post ἐν add. τῷ K Hh R_0 Ab ἐν παραδείσῳ post ἦν transp. R_0 **4** ὅρος O R_0 τῆς om. Ab

οὐ τὸ ξύλον αἴτιον γνώσεως τῷ Ἀδὰμ γέγονε, δῆλον· ἡ γὰρ ἐντολὴ ὡς πρὸς εἰδότα ἄμφω ἐδόθη, τό τε καλὸν καὶ τὸ πονηρόν, τήν τε ὑπακοὴν καὶ τὴν παρακοήν. ὥστε ἡ γνῶσις προὔλαβε τὴν ἐντολήν. **2** δέδοται δὲ αὕτη διὰ τό, ὡς εἴρηται, αὐτεξουσίῳ βουλήματι κινούμενον τὸν ἄνθρωπον ἐπ᾽ ἀδείας τε ἔχοντα ἀπὸ πάντων μεταλαμβάνειν τῶν ἄλλων δένδρων, ἑνὸς δὲ μόνου νόμῳ προσταττόμενον ἀπέχεσθαι, γινώσκειν, ὡς ὑπὸ δεσπότην ἐστί, τῷ καὶ τὴν ἐντολὴν δεδωκότι. **3** ἦσαν οὖν ἐν τῷ καθαρωτάτῳ τούτῳ τόπῳ ὅ τε Ἀδὰμ καὶ ἡ Εὔα διάγοντες καὶ τῇ ποικιλίᾳ τῶν ἀθανάτων ἀνθέων δαψιλῶς ἀπολαύοντες.

15 Περὶ τοῦ διαβόλου καὶ τοῦ ὄφεως

Ἀλλ᾽ ὁ ἐχθρὸς τῆς ἡμετέρας φύσεως βασκήνας ἐπὶ τῇ πολλῇ τιμῇ τοῦ ἀνθρώπου καὶ φθόνον ἐγκισσήσας τὸν πρὸς αὐτὸν ἤρατο πόλεμον καὶ τὸν ὄφιν ἐνδὺς ἐπέστη τῇ γυναικί, ἀπόντος τοῦ Ἀδάμ, καὶ πανούργως αὐτὴν τοῦ συμφέροντος παρατρεψάμενος διὰ ψεύδους καὶ τὸν Ἀδὰμ ταύτῃ συνεξαπατήσας παραβάτας τοῦ θείου παρεσκεύασε νόμου γεγενῆσθαι. **2** λέγει γὰρ ἡ Γραφὴ περὶ τούτων ὧδε· ὁ δὲ ὄφις ἦν φρονιμώτερος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε Κύριος ὁ Θεός. φρόνιμος δὲ ἐκλήθη ὁ ὄφις, ὅτι τὸ λογικὸν ζῷον, τὸν ἄνθρωπον, καὶ τῶν ἄλλων ἀγχινοίᾳ διαφέροντα ἐξαπατᾶν ἤμελλεν. **3** εἶτα ἐπιλέγει· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί, ὅτι εἶπεν ὁ Θεός· οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ καρποῦ

---

cap. 15.7–9 ὁ – Θεός: Gen. 3.1 **11–15** καὶ – ἀποθάνητε: Gen. 3.1–3

TCOKHhR_0 Ab

---

5 post αἴτιον add. τῆς T γνώσεως post Ἀδὰμ transp. R_0 τῷ : τοῦ K post γέγονε add. δὲ O **6** πρὸς εἰδότα : προειδότα C K R_0 τὸ alt. om. K Hh **7** καὶ τὴν παρακοήν om. O **8** αὕτη om. C **10** νόμον O προσταττόμενος Hh ἀπέχεσθαι : ἀπέχεσθαι τὸ Hh : ἀπέχεσθαι καὶ C R_0 **11** τῷ καὶ : τὸν καὶ O : τὸν K : τὸν κατὰ Hh : καὶ R_0 δεδωκότι (R_0 per comp.) : δεδωκότα O K Hh **12** post ὅ τε add. ὁ O **12–13** τῇ ποικιλίᾳ : τῆς ποικιλίας O : τῆς ποικΐλης K **13** ἀπολάβοντες K **cap. 15.2** βασκένους ut vid. Hh ἐπὶ om. O **3** ἐγκισσήσας (-κισσήσας non vid. R_0) : κινήσας Hh **4** πανούργως : πανούργος T : πανοῦργος Hh Ab **5** παρατρεψάμενος : παραδείσου τρεψάμενος O **6** ταύτην O παραβάτας (R_0 per comp.) : παραβάτην K **6–7** γενέσθαι C Ab **7** δὲ om. K **7–8** φρονιμώτατος C K Hh R_0 sec. Gen. 3.1 **8** πάντων τῶν θηρίων τῶν ἐπὶ : παρὰ πάντ(α) τὰ θηρία R_0 ὧν : ἃ R_0 **9** δὲ om. Hh **10** διαφέροντα (R_0 per comp.) : διαφέροντες Hh ἔμελλεν O R_0 Ab ἐπιλέγει : λέγει C **11** φάγηται O **12** εἶπεν om. T **12–13** καρποῦ τοῦ παραδείσου : παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ Hh R_0 Ab (καρποῦ ξύλου τοῦ παραδείσου Gen. 3.2)

τοῦ παραδείσου φαγώμεθα, ἀπὸ δὲ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός· οὐ μὴ φάγητε ἀπ᾽ αὐτοῦ οὐδὲ μὴ ἅψησθε ἀπ᾽ αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. **4** ἆρα δὲ καὶ ὁ ὄφις τῷ κατὰ προφορὰν λόγῳ ἐχρήσατο; οὐ πάντως, ἀλλ᾽ οἱ πρωτόπλαστοι, ἅτε κακίας ὄντες ἀμιγεῖς, ἀκριβεστάτας εἶχον τὰς αἰσθήσεις καὶ πολὺ τῶν ἡμετέρων διαλλαττούσας, ὥστε τὴν ἀκοὴν αὐτῶν πάσης ὑπάρχειν φωνῆς ἀκουστικήν. καὶ τὰ θηρία δὲ καὶ τὰ κτήνη λαλεῖν λέγει μιᾷ γλώσσῃ ποτέ, ὅτε δὲ Ἀδὰμ κατεδικάσθη, τότε καὶ αὐτὰ πεφιμῶσθαι, τὸν δὲ ὄφιν καὶ τοὺς πόδας ἀφαιρεθῆναι καὶ ἕρπειν ἐπὶ τὴν γῆν καὶ ἰὸν αὐτῷ ἐπὶ τὴν γλῶσσαν ἐντεθῆναι. **5** εἶτα ἐπάγει· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· οὐ θανάτῳ ἀποθανεῖσθε· ᾔδει γὰρ ὁ Θεός, ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. καὶ εἶδεν ἡ γυνή, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγε καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς, καὶ ἔφαγον, καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν.

16 Εἰς τό· διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο

Οὐχ ὡς τότε δὲ ἀναβλεψάντων τῶν πρωτοπλάστων εἴρηται τό· διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο· δείκνυνται γὰρ καὶ πρὸ τῆς βρώσεως ὁρῶντες ἐκ τοῦ λέγεσθαι· καὶ εἶδεν ἡ γυνή, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστόν ἐστι τοῖς ὀφθαλμοῖς ἰδεῖν· ἀλλ᾽ ὡς τὸ ἀπειρόκακον

22–29 καὶ – ἦσαν: Gen. 3.4–7 **cap. 16.4–5** καὶ – ἰδεῖν: Gen. 3.6

TCOKHhR_0 Ab

---

13 φαγόμεθα T R_0 post δὲ add. τοῦ Hh R_0 καρποῦ om. Ab **13–14** ὅ – παραδείσου : τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν Ab **13** ἐμμέσω Hh **14** ἅψησθαι O Ab **15** ἀπ᾽ om. O Hh R_0 sec. Gen. 3.3 : quod fort. del. ἆρα T Ab : non vid. R_0 τῷ : τὸ T : om. Hh **16** λόγου Hh ἀλλὰ Ab **17–18** διαλαγοῦσας T **18** ὑπάρχειν : εἶναι O **19–22** καὶ τὰ θηρία δὲ (δὲ om. K) – ἐντεθῆναι om. Ab **19** λέγεται O Hh μία T : non adhib. Ab **20** καὶ pr. om. T : non adhib. Ab **20** δὲ alt. om. K **21** τῆς γῆς O K **21–22** γλῶτταν C **22** ἐπάγη T **23** ἀποθανεῖσθε (R_0 per comp.) : ἀποθανεῖσθαι T O K Ab ὁ Θεός om. T ὅτι om. Hh ἐν : om. T^{pc} R_0 post ᾗ add. δ R_0 ἡμέρᾳ (R_0 per comp.) : ἡμέραν Hh **23–24** διανοιγήσονται O K **24** ἔσεσθε (R_0 per comp.) : ἔσεσθαι O K Hh Ab **27** τῷ : τὸ T **28** ἔφαγον : ἔφαγεν Hh Ab sec. Gen. 3.6 **cap. 16.1** τῶν δύο : αὐτῶν C (tit. in mg. exhib. O) **2** δὲ om. O K R_0 **2–3** post διηνοίχθησαν add. αὐτῶν Hh **3** δείκνυται K **4** τὸ ξύλον om. O **5** ἐστι om. K ἀπειρόκαλον O Hh

ἀποθεμένων διὰ παραβάσεως, ὃ καὶ τὴν γύμνωσιν ἀδιάφορον παρέσχεν, ἐρρέθη, ὅτι διηνοίχθησαν οἱ ὀφθαλμοὶ αὐτῶν. **2** πέφυκε γὰρ ὀφθαλμὸς ἅπας ὑπὸ τοῦ λογισμοῦ διεγείρεσθαι πρὸς ἃ βλέπει (σύνεσιν γὰρ αὐτὸς καθ' ἑαυτὸν οὐκ ἔχει), ὥστε πολλάκις πρὸς ἕτερα τῆς διανοίας ἀσχολουμένης τυφλοῦ δίκην ἐνίοτε παρερχόμεθα καὶ τὸν πάνυ γνώριμον, καὶ ἐπειδὰν ἐγκληθῶμεν, τῇ ἀσχολίᾳ τοῦ λογισμοῦ τὸ αἴτιον ἀνατιθέντες ἀπολογούμεθα. **3** οὕτως οὖν ὁ Ἀδὰμ καὶ ἡ Εὕα τῇ αἰσθήσει τοῦ νοῦ πρὸς τὴν ὄψιν διηγέρθησαν· τὸ γὰρ »ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν« ἀποκάλυψιν σημαίνει τὴν ἐγγενομένην τῷ λογισμῷ, οὐκ ἀνάβλεψιν ὀφθαλμῶν. **4** λεχθήσεται δὲ κἀκεῖνο, ὅτι πρώην τῆς ἀπειθείας, ἐπειδὴ καιρὸν οὐκ εἶχε τὰ τῆς παιδοποιίας, οὐκ ἐδέδοτο παρὰ Θεοῦ ἡ παρατήρησις τῆς γυμνώσεως, ἀλλὰ διετέλουν ὡς ἄσαρκοι, σαρκικῆς διαθέσεως οὔπω καιρὸν ἔχοντες. ἐπειδὴ δὲ ἡ ἀπείθεια ἐπισυμβᾶσα τὸ θνητὸν ἐπηγάγετο, εἰκότως λοιπὸν ἐνεδόθη τούτοις ἡ πρὸς ἀλλήλους αἰδῶ, καὶ νενοήκασιν ὕστατον τῶν σχημάτων τὴν διαφορὰν προθεωρηθεῖσαν τῷ πλάσαντι πρὸς τὸ ἀναγκαῖον τῆς διαδοχῆς τοῦ γένους.

17 Περὶ τῶν φύλλων τῆς συκῆς

Γυμνοὺς οὖν ὄντας ἑαυτοὺς αἰσθόμενοι ὅ τε Ἀδὰμ καὶ ἡ Εὕα μετὰ τὴν παράβασιν ἐκ φύλλων συκῆς ἐποίησαν ἑαυτοῖς περιζώματα, αἰνιττόμενοι διὰ τοῦ ξύλου τὸν τρόπον τῆς κακοπραγίας· ὡς γὰρ ἡδὺς ὁ καρπὸς τῆς συκῆς, τραχὺ δὲ καὶ πικρότατον τὸ φύλλον, οὕτως πᾶσα ἁμαρτία ἐν τῇ πράξει δείκνυται ἡδεῖα, μετὰ δὲ ταῦτα ὀδύνην παρέχει τῷ πεπραχότι.

---

13 ἔγνωσαν – ἦσαν: Gen. 3.7 cap. 17, § 1: cf. Gen. 3.7

TCOKHhR_0 Ab

---

6 post διὰ add. τῆς Hh R_0 Ab ὃ : ὅτι K ἀδιάφορον : ἀδιάφθορον O K : διάφορον Hh **7** αὐτῶν οἱ ὀφθαλμοὶ R_0 post γὰρ add. ὁ Ab **9** ἔχη Hh ἕτερον Hh **10** παρερχώμεθα Ab τὸν : τὸ R_0 **11** ἀντιθέντες O **12** ὁ om. C Hh R_0 ἡ om. Hh **13** διεγέρθησαν K **14** σημαίνη T ἐγγενομένην : ἐγγινομένην C O K : γενομένην Ab λογισμῷ : στολισμῶ T R_0 post ἀνάβλεψιν add. δὲ O **15** κακείνω T Hh Ab πρώην : πρὸ O K Hh (πρω Hh) R_0 ἀπαθείας O R_0 καιρῶν Ab **16** ἐδέδοτο : ἐδίδοτο C Hh R_0 : ἐνδέδοτω Ab **17** γυμνώσεως : γνώσεως T : γυμνότητος Hh διετέλουν : διῆγουν R_0 **18** ἡ om. O ἐπήγαγεν R_0 **19** post εἰκότως add. τὸ R_0 ἐδόθη O αἰδῶ (ἐδῶ Hh) : αἰδώς C O K R_0 recte **20** ὕστατον : τελευταῖον, ἐσχάτως Hh : ὕστερον O R_0 προθεωθεῖσαν R_0 **cap. 17.2** οὖν om. O Ab post ὅ τε add. ὁ O **3** ἑαυτῆς K **4** τοῦ ξύλου τὸν τρόπον : τὸ ξύλον τὸ πρῶτον Hh ὁ om. O **5** οὕτω C **6** δείκνυται – ὀδύνην om. O ταῦτα : τὴν πράξιν R_0

2 τί οὖν πάλιν ἡ Γραφή; καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινὸν καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου· **3** μετὰ τὸ τόλμημα εἰς συναίσθησιν ἐλθόντες τοῦ πταίσματος τῷ κριτικῷ κρατοῦνται φόβῳ καὶ κρύπτεσθαι ποιοῦνται τὸν ἀλάθητον ὀφθαλμὸν καὶ παραιτοῦνται τὴν πρόοδον καὶ ἀναδύονται τὴν παράστασιν. οὕτω δὲ αὐτοὺς κεκλονημένους ὑπὸ τοῦ δέους θεασάμενος ἀνακαλεῖται ὡς πατὴρ φιλόστοργος ὁ Θεὸς καί φησιν· Ἀδάμ, ποῦ εἶ; καὶ εἶπεν αὐτῷ· τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην.

18 Περὶ τῆς καταδίκης τῶν πρωτοπλάστων καὶ τοῦ ὄφεως

Ἦν οὖν ἰδεῖν λοιπὸν βῆμα καὶ δικαστήριον ὀξὺ καὶ φοβερὸν τὸ τρυφηλὸν γεγονὸς τοῦ παραδείσου χωρίον. ἀγαγὼν γὰρ εἰς μέσον τοὺς βλαβέντας καὶ τὸν βλάψαντα καὶ τὸν μὲν ὄφιν εὑρηκὼς ἀδικήσαντα, τὴν δὲ Εὔαν ἀδικηθεῖσαν, ὡρίσατο ἑκάστῳ τὴν προσήκουσαν τιμωρίαν· **2** τὸν γὰρ ὄφιν κατάρατον ἀποφήνας ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ κατεδίκασε σύρεσθαι καὶ γῆν ἐσθίειν ἀντὶ ἐδωδίμου τροφῆς, τὴν δὲ Εὔαν σύντροφον ἔχειν τὴν λύπην καὶ ἐν ὀδύναις τίκτειν ἐδικαίωσεν, τὸν δὲ Ἀδὰμ ἐν ἱδρῶτι τοῦ προσώπου ἐσθίειν τὸν ἄρτον ἔκρινεν ἕως τοῦ ἐπιστρέψαι αὐτὸν εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη. **3** εἶτα αὖθις ἡ Γραφή· καὶ ἐποίησεν ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς. καὶ εἶπεν ὁ Θεός· ἰδού, Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν

7–9 καὶ – παραδείσου: Gen. 3.8 **14–16** Ἀδάμ – ἐκρύβην: Gen. 3.9–10 cap. 18, § 1–2: cf. Gen. 3.11–19 **10–14** καὶ – αἰῶνα: Gen. 3.21–22

TCOKHhR$_0$ Ab

---

8 περιπατοῦντες O post ὅ τε add. ὁ O **9** ἐν μέσω Hh τοῦ ξύλου om. K Hh **10** διακριτικῶ C **10–11** κρατοῦνται : κρατοῦντες Hh **11** ποιοῦνται : πειρῶνται O Hh : οἴωνται Ab : om. R$_0$ **11–12** τὸν – παραιτοῦνται om. T **12** πρόσοδον T C O ἀναδύωνται Ab οὕτως Hh **13** δέους : φόβου Hh **14** φιλόστουργος Hh Ἀδάμ bis exhib. P **cap. 18.1** τοῦ πρωτοπλάστου R$_0$ **2** ἰδεῖν λοιπὸν : bis exhib. R$_0$: λοιπὸν ἰδεῖν Ab **3** γεγονὸς : ὑπάρξαντα Ab **5** post ἀδικηθεῖσαν add. καὶ τὸν ἀδὰμ σὺνἀδικηθέντα Ab ἑκάστου Hh **6** ἐπὶκατάρατον Ab **7** κατεδικάσθη Hh post καὶ add. τὴν Hh τρυφῆς Ab **8** ἐν om. C O Hh ὀδύναις : ὠδίναις O : ὀδύναι K **9** ἀδὰμ δὲ C Hh R$_0$ ἱδρώτητι Hh R$_0$ post προσώπου add. σου K τὸν ἄρτον post ἔκρινεν (κατέκρινεν O K R$_0$) transp. R$_0$ τοῦ alt. : ὅτου C R$_0$ Ab **10** αὐτὸν ἐπιστρέψαι O K

τοῦ γινώσκειν καλὸν καὶ πονηρόν. καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα.

19 Τίνος ἕνεκεν ἐκβάλλεται ὁ ἄνθρωπος ἐκ τοῦ παραδείσου καὶ περὶ τῶν δερματίνων χιτώνων

Ἔστι τοίνυν ἐκ τῶν εἰρημένων ἐννοεῖν, ὅτι ἠδύνατο ὁ ἄνθρωπος καὶ μετὰ τὴν παράβασιν εἰς αἰῶνας ζῆν, εἰ ἐγεύσατο τοῦ τῆς ζωῆς ξύλου. διό, ἵνα μὴ κακὸν ἀθάνατον ᾖ ὁ ἄνθρωπος, θνητὸν αὐτὸν ἀπεφήνατο ὁ Θεὸς νεκρότητι περιβαλών· τοῦτο γὰρ οἱ δερμάτινοι χιτῶνες σημαίνουσιν, ἀπὸ τοῦ λόγου τῆς τῶν ζῴων νεκρότητος, ὅπως διὰ τῆς λύσεως τοῦ σώματος καὶ τῆς δέσεως ἡ ἁμαρτία πᾶσα αὐτόπρεμνος διαφθαρῇ.

20 Εἰς τό· ἰδού, Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν

Εἴρηται δὲ ὑπὸ τοῦ Θεοῦ τὸ »ἰδού, Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν« οὐχ ὡς προκόψαντος αὐτοῦ διὰ τῆς ἀπειθείας ἐπὶ τὴν τῆς ἀρετῆς τε καὶ κακίας γνῶσιν, ἀλλ᾽ ὡς τοιούτου ἐξ ἀρχῆς πλασθέντος. φθάσασα γὰρ εἶπεν ἡ Γραφή, ὅτι· ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν. ὁ δὲ πλασθεὶς κατ᾽ εἰκόνα Θεοῦ δῆλον, ὡς προκαταβεβλημένην εἶχεν ἐν τῇ φύσει τὴν γνῶσιν τοῦ καλοῦ τε καὶ πονηροῦ. **2** διό, ἵνα μὴ τῇ αὐτεξουσιότητι

5–8 θνητὸν – διαφθαρῇ: cf. Gen. 3.11–19; Epiphan., Adversus haereses, vol. 2, p. 449, l. 10–12; p. 452, l. 1–4; Phot., Biblioth., cod. 234, p. 239b (Bekker), l. 25–28 **cap. 20.2–3** Εἴρηται – πονηρόν: cf. supra ad cap. 18.10–14 **5–6** ἐποίησεν – αὐτόν: Gen. 1.27 (cf. Gen. 5.1); cf. Georg. Mon. 6.1–2

TCOKHhR$_0$ Ab **cap. 19.3** a τοίνυν TCOP[K]HhR$_0$ Ab

---

13 μήποτε : μὴ ἄρα O ἐκτείνει K post χεῖρα add. αὐτοῦ C **14** λάβει R$_0$ φάγῃ : φαγῇ O : φάγεται K : φάγει R$_0$ post αἰῶνα : add. ἐρώ(τησις) O : add. ἄξιον δὲ διαλαβεῖν Hh **cap. 19.1–2** Τίνος – χιτώνων om. Ab **1** ἄνθρωπος : ἀδὰμ O ἐκ om. C Hh R$_0$: non adhib. Ab **2** post χιτώνων add. ἀπό(κρισις) O **3** ἐκ (περὶ O) τῶν εἰρημένων : τὸ εἰρημένον Hh : εἰρημένον T **4** αἰῶνα O εἰ – ξύλου om. R$_0$ **5** post μὴ add. καὶ O κακὸν (κακὸν ὂν C) ἀθάνατον ᾖ : ἀθάνατον ᾖ τὸ κακὸν R$_0$ θνητὸν : τοῦ παραδείσου ἐξωστρακίζεται, ὅπως μὴ γεύσηται τοῦ τῆς ζωῆς ξύλου καὶ ἀθάνατος διαμείνῃ· θνητὸν δὲ O P K αὐτὸν : αὐαὐτὸν Ab : αὐτὸ Hh ἀπέφηνεν O **6** νεκρότητι (R$_0$ per comp.) : νεκρώτητα Hh περὶβάλλων Ab **7** νεκρώσεως P Hh **8** δέσεως : δεήσεως K Hh αὐτοπρέμνως Ab διαφθαρεῖ Hh R$_0$ **cap. 20.4** τῆς om. Ab ἀκακίας Ab **7** ἐν om. T **8** τε om. Hh post καὶ add. τοῦ P

κεχρημένος λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ γένηται κακὸς ἀθάνατος, ἐξεβλήθη σὺν τῇ Εὔᾳ εἰς τὴν γῆν τῆς κτίσεως αὐτοῦ. **3** τί γὰρ μετὰ ταῦτα πάντα ἡ θεία Γραφή; καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη. καὶ ἐξέβαλε τὸν Ἀδὰμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ ἔταξε τὰ χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν, τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

21 Περὶ τῶν χερουβὶμ καὶ τῆς φλογίνης ῥομφαίας

Μετὰ τὸ ἐκβληθῆναι τὸν ἄνθρωπον ἔξω τοῦ μακαρίου χωρίου ἀκαταμάχητοι φρουροὶ καὶ λίαν ὑπέροπτοι φυλάττειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς ἐτάχθησαν, ὡς μηδένα τοῦ λοιποῦ ἰσχύειν παρελθεῖν ποσὶ βεβήλοις ἐκεῖνον τὸν τόπον· **2** καὶ γὰρ μάχαιρα φλογίνη ἐτέθη ἐκεῖ ἐπὶ τῷ τὸν πλησιάζοντα ἐξ ὕλης ὑπάρχοντα πυρὶ φλεγόμενον ἀναλίσκεσθαι παρ᾿ αὐτὰ καὶ ἀπόλλυσθαι. **3** στρέφεται δὲ ἡ ῥομφαία, ἵνα ἐν τῇ παλιγγενεσίᾳ, ὅτε καὶ ὁ ἄνθρωπος αὖθις οἰκήτωρ γίνεται τοῦ παραδείσου, τοὺς μὲν δικαίους φωτίσει παρερχομένους ἐπὶ τὸν θεῖον τῆς ἀθανασίας χῶρον, τοὺς δὲ ἀδίκους, εἴ γε προσεγγίσοιεν, καταφλέξει. **4** αὐτόματα πάντα ἡ γῆ ἔφερεν πρὸ τῆς παραβάσεως τοῦ Ἀδὰμ καὶ μετὰ τοῦτο καὶ ἡ γῆ μηδὲν φέρειν πόνου χωρὶς ἐκελεύσθη.

11–15 καὶ – ζωῆς: Gen. 3.23–24 cap. 21: cf. Gen. 3.24

TCOP[K]HhR_0 Ab

---

9 κέχρηται R_0 λάβῃ : μεταλάβη O P : καταλάβη K : καὶ λάβη R_0 τοῦ τῆς ζωῆς ξύλου P K κακῶς Ab (recte ut vid.) θάνατος T **11** post Γραφή add. φησίν R_0 **12–13** καὶ – Ἀδὰμ om. Ab recte **13–14** τοῦ – τρυφῆς : τῆς τρυφῆς τοῦ παραδείσου P K : τῆς τρυφῆς C **cap. 21.1** τῆς φλογίνης ῥομφαίας : τὴν φλογίνην ῥομφαίαν K : τῆς ῥομφ΄ R_0 **2** βληθῆναι Ab **3** λίαν : οὐ λίαν in app. Tafel **4** πρὸσἐτάχθησαν Hh μηδένα : μηδὲ Hh **5** βεβήλοις : βεβλημένοις Hh εἰς ἐκεῖνον (ἐκεῖνον : ἐκείνου T) Bekker Tafel **6** post τῷ (τὸ O P) add. τόπω Hh τὸν : τὸ ut vid. R_0 ὑπάρχοντα : ὑπάρχων, τῶ R_0 φλεγόμενον : φθειρώμενον Ab **7** παρ᾿ αὐτὰ : fort. scrib. παραυτὰ **8** ὅτε : ὅτι ut vid. Ab post corr. ex ὅτε ὁ ἄνθρωπος αὖθις : αὖθις ὁ ἄνθρωπος R_0 : ὁ ἄνθρωπος O Ab γένηται O P K R_0 **9** φωτίση C O P K **9–10** τὸ … χωρίον R_0 **10** χῶρον : χορὸν ut vid. O προσεγγίσοιεν : προσεγγίσειαν C : προσεγγίσειε P Hh : προσεγγίσει R_0 post καταφλέξει (καταφλέξη C O P K Hh) add. καὶ R_0 **10–12** αὐτόματα – ἐκελεύσθη om. Ab **10** post αὐτόματα (-ον Hh : R_0 per comp.) add. δὲ O P K : non adhib. Ab **11** ἡ γῆ πάντα O **11–12** καὶ ἡ γῆ om. O P K : non adhib. Ab **12** χωρὶς πόνου O P K : non adhib. Ab post ἐκελεύσθη (ἐκελεύσθην T : ἐξεκελευσϑ΄ R_0) add. περὶ τοῦ κάϊν, καὶ ἄβελ Hh

22

Ἐξελθὼν τοίνυν ὁ Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐκ τοῦ παραδείσου καὶ συνελθὼν αὐτῇ ἐγέννησεν τὸν Κάιν, εἶτα μετ᾽ αὐτὸν τὸν Ἄβελ. ἦν δὲ Κάιν μὲν γεωργὸς γῆς, ποιμὴν δὲ προβάτων Ἄβελ. **2** τοῦ δὲ Ἄβελ ἐκ τῶν πρωτοτόκων προβάτων δῶρα θύσαντος τῷ Θεῷ καὶ τοῦ Θεοῦ δεξαμένου, καὶ τοῦ Κάιν οὐκ ἐκ τῶν πρωτογενημάτων, ἀλλὰ μετὰ τὴν ἰδίαν καὶ κοινὴν τῶν καρπῶν ἀπόχρησιν Θεῷ προσκομίσαντος, καὶ τοῦ Θεοῦ μὴ δεξαμένου [οὐ μόνα ταῦτα, ἀλλὰ καὶ ὅσα ἐφεξῆς ἐκ τῆς Λεπτῆς Γενέσεως ἔχουσι τὰ μακρὰ ἐπὶ κακίᾳ τοῦ Κάιν] (τοῦτο δὲ ἐγένετο φανερὸν διὰ τοῦ ἐξαποσταλέντος οὐρανόθεν πυρὸς εἰς τὴν τῶν προσενεχθέντων ἐξανάλωσιν), ἐζήλωσεν οὖν ὁ Κάιν τὸν Ἄβελ. **3** ζητητέον ἐν πρώτοις, διὰ τί τοῦ Κάιν οὐ προσήκατο τὴν προσφοράν. λύει τοίνυν τὸ ἀπορούμενον αὐτὴ ἡ Γραφὴ φήσασα· καὶ ἐγένετο μεθ᾽ ἡμέρας προσήνεγκε Κάιν ἀπὸ τῶν καρπῶν τῆς γῆς· ὥστε διὰ τούτων ἐλέγχεσθαι τὸν Κάιν, ὅτι μὴ τὰ ἀκροθίνια τῶν γενημάτων μήτε τὰ πρωτογενήματα προσήνεγκε τῶν καρπῶν τῷ Θεῷ, ἀλλὰ ταῦτα μὲν ἑαυτῷ, Θεὸν δὲ ἀσεβῶς τοῖς δευτέροις ἐτίμα. **4** ἔπειτα, διὰ τί τὴν μὲν ἐκ θυμάτων τοῦ Ἄβελ προσφορὰν δῶρα ἡ Γραφὴ προσαγορεύει, τὰ δὲ τῶν καρπῶν τοῦ Κάιν δῶρα θυσίαν ὀνομάζει; ἔστι πάλιν εἰς τὸ ζητούμενον εἰπεῖν, ὀρθῷ χρησάμενον στοχασμῷ· δῶρον ἡ τοῦ Ἄβελ ὠνομάσθη θυσία, ἐπειδὴ

---

cap. 22–23: cf. Gen. 4.1–15; Georg. Mon. 6.2–8.23 **8–9** Lepte Genesis § 3: cf. Georg. Mon. 7.11–16; Hippolyt., Refut. omnium haeresium 5.16.9–10; Manass., Compendium Chronicum l. 351–353 **13–14** καὶ – γῆς: Gen. 4.3

TCOP[K]HhR$_0$ Ab **3** ab ἦν TCOP[K]Hh Ab

---

2 ὁ Ἀδὰμ post παραδείσου transp. O **3** μετ᾽ αὐτὸν (αὐτὸν : αὐτοῦ Hh) : μετὰ O : om. R$_0$ μὲν om. T **4** ἄβελ δὲ ποιμὴν προβάτων Ab **6** οὐκ ἐκ τῶν : ἐκ τῶν οὐ C Hh πρωτογεννημάτων C O **7** προσκομήσαντα Hh **8–9** οὐ μόνα (μόνον P K Hh) – Κάιν om. Ab recte **8** ἐκ τῆς om. O **9** μακρὰ : μικρὰ C Hh : non adhib. Ab **11** ἐξανάλωσιν : ἀνάλωσιν C οὖν om. O P K Ab (de usu cf. cap. 122, § 6) ὁ om. Hh post Ἄβελ add. ἀπ(ο)ρ(ία) C **11–12** ζητητέον – τί : διατί οὖν Ab **12** post πρώτοις add. ἐρώ(τησις) ἀπο′ (-κρισις vel -ρία) O post προσφοράν : add. λύ(σις) C : add. ὁ θεὸς Ab **12–15** λύει – Κάιν om. Ab **13** αὐτὴ : αὐτοῦ Hh **15** ὅτι om. C post ἀκροθίνια add. σοροὶ· ἀπαρχαὶ παντοίαι Hh γεννημάτων C O πρωτογενήματα (-γεννήματα C O) : πρῶτα γενήματα Hh **16** προσενεγκεῖν C **17** ἀσεβῶν Ab post ἐτίμα add. ἀπ(ο)ρ(ία) C ἔπειτα, διὰ τί : διατί δὲ Ab **19** δῶρα om. Hh post ὀνομάζει add. λύ(σις) C O **19–20** ἔστι – στοχασμῷ om. Ab **19** ζητούμενον : αἰτούμενον O ὀρθῷ : ὀρθὰ K : ὀρθῶς Hh **20** χρησάμενον : -μενοι P : -μενος Hh : χρησαμένοις in app. Bekker : non adhib. Ab στοχασμῷ : λογισμῶν στοχασμῶ C : στοχασμῶ λογισμοῦ O : ad στοχασμῷ add. in mg. γρ. λογισμῶ P : στοχασμῶ (sive -ῶν) γὰρ λογισμῶ K : στοχασμῶ λογισμῶν Hh : non adhib. Ab post δῶρον add. μὲν Ab ἡ τοῦ Ἄβελ post ὠνομάσθη transp. T Hh

τοὺς δωρουμένους μιμησάμενος Θεῷ προσκομίζει τὸ θῦμα· **5** ὃν γὰρ τρόπον οἱ δωρούμενοι πρὸς ἀρέσκειαν τῶν κομιζομένων καὶ τὸ μάλιστα κάλλιστον ἐπιλέγονται καὶ πᾶν ὁλόκληρον καὶ μηδὲν ἐξ αὐτοῦ τὸ σύνολον ἀποτεμόμενοι προσκομίζουσι τοῖς φίλοις τὸ δῶρον, οὕτω καὶ ὁ Ἄβελ τῶν ζῴων θύει τὰ πρωτότοκα καὶ τῶν κρεῶν προσφέρει τὰ πιότατα. **6** ἔοικεν γὰρ ἐπιδιαιρεῖν ὁ θύων καὶ τὸ μὲν αἷμα τῷ θυσιαστηρίῳ προχέειν, τὰ δὲ κρέα οἴκαδε ἀποκομίζειν. ὁ δὲ δωρούμενος παντὶ τῷ λαμβάνοντι παραχωρεῖ τὸ δῶρον. οὕτως οἶμαι τὰ πρωτότοκα καθιεροῦν τὸν Ἄβελ· φιλόθεον μᾶλλον ἢ φίλαυτον τὴν ἑαυτοῦ συνίστησι προαίρεσιν. ἑαυτῷ δὲ ὁ Κάιν ἀπονέμων τὰ πρωτογενήματα καὶ τῶν δευτερείων ἀσεβῶς τὸν Θεὸν ἀξιῶν τῷ καὶ μεθ’ ἡμέρας, ἀλλὰ μὴ εὐθέως, προσενεγκεῖν φίλαυτος μᾶλλον ἢ φιλόθεος ἐξελέγχεται. καὶ αὐτὸς μὲν εἰκότως προσκρούει, τὸ δὲ δῶρον ὡς ἀδόκιμον αὐτῷ προσρίπτεται.

23

Ὁ Κάιν πρῶτος ἄροτρον ἐπενόησε καὶ πλεονεξίαν, Ἄβελ δὲ δικαιοσύνης ἐπεμελεῖτο. κτείνας δὲ τὸν Ἄβελ ὁ Κάιν ἔκρυψε τὸν νεκρόν, λαθεῖν ἐντεῦθεν οἰόμενος. βοῶντος δὲ πρὸς τὸν Θεὸν τοῦ αἵματος ἐπακούει ὁ Θεός· δικαίων γὰρ ἐπακούει, κἂν τελευτήσαντες ὦσιν, ἀδίκων δὲ καὶ αὐτὰς ἀποστρέφεται τὰς εὐχάς· τοὺς μὲν γὰρ καὶ τεθνεῶτας νενόμικε ζῆν, τοὺς δὲ καὶ ζῶντας τὴν ἀληθῆ κέκρικε τεθνηκέναι ζωήν. **2** τιμωρεῖται τὸν Κάιν οὐκ ἀνελὼν αὐτίκα, ἀλλὰ τρόμον αὐτῷ καὶ στεναγμὸν ἐπὶ πάντα τὸν βίον ἐπαρασάμενος· διόπερ ἐκείνου θάνατον ὡς φονέως ὑφορωμένου

28–30 οὕτως – προαίρεσιν: cf. Georg. Mon. 7.8sqq.

TCOP[K]Hh Ab **21** a τοὺς TCOP[K][Cr]Hh Ab

---

22 τῶν κομιζομένων : τὸ κομιζόμενον Cr Hh καὶ om. O **23** ἐπιλέγωνται Ab καὶ πᾶν καὶ Ab ἐξ αὐτοῦ om. Hh **23–24** τὸ σύνολον om. C **24** ἀποτεμνόμενοι Ab προκομίζουσι O οὕτως P K **25** φέρει T **26** διαιρεῖν C τὸ : τῶ T **27** προχέειν : προχέει Hh : πρὸσχέειν Ab τὰ : τὸ Hh κομίζειν Ab παντὶ : ἅπαν Hh, fort. recte (sed fort. scrib. πᾶν cum Bekker) **27–28** τοῖς λαμβάνουσιν Cr Hh **28** τοῦ δώρου C O **28–29** καθιεροῦν τὸν : καθιεροῦντα τὸν P K : καθιέρωσεν Hh : καθιερῶν ὁ in app. Bekker **30** ὁ om. Ab πρωτογεννήματα C O **31** δευτερείων : δευτεριῶν P : δευτεριῶν ut vid. K ἀσεβῶς post Θεὸν transp. C τῷ (τὸ C Hh Ab) καὶ : καὶ τῶ O post ἡμέρας add. δὲ O **32** ἐξελέγχεται : ὀνομάζεται O **33** προσρίπτεται : προρρίπτεται? an ἀπορίπτεται? in app. Bekker **cap. 23. 2–4** Ὁ – οἰόμενος : τούτων οὖν ὧδε ἐχόντων ἀνέστη κάιν ἐπὶ ἄβελ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν Ab (ἀνέστη – αὐτόν: Gen. 4.8) **2** post πλεονεξίαν add. ὡς φησὶν ἰώσηπος ἐν τῇ ἀρχαιολογίᾳ C δὲ om. Hh **4** πρὸς τὸν Θεὸν om. Ab **5** αὐτὰς : αὐτὸς Ab **6–7** τοὺς pr. – ζωήν om. Ab **6** καὶ om. T C O Hh **7** καὶ om. C ἀληθῆν O τεθνηκέναι κέκρικε O τιμωρεῖ O P K **8** αὐτῷ : αὐτὸν T **9** ἐπαρασόμενος T ὑφορουμένου O Ab

φησὶν ὁ Θεός· οὐχ οὕτως, ἀλλὰ πᾶς ὁ ἀποκτείνας Κάιν ἑπτὰ ἐκδικούμενα παραλύσει, ὡς ἄν τις εἴποι· μηδὲ μικρὰν μηδὲ παρατρέχουσαν εἶναι τὴν κατὰ σαυτοῦ δίκην ὑπολάβῃς μηδὲ μεγάλα προσδοκήσῃς τῇ κατὰ τὸν θάνατον συντομίᾳ τὰ ἐπὶ τοῦ ζῆν διαδιδράσκειν κακά, ἀλλὰ χρή σε τοῦ ἁμαρτήματος ἰσόρροπον ὑφορᾶσθαι τὴν ἐπιτιμίαν. τοιγαροῦν ὁ τοῦ μεγίστου τῶν ἀδικημάτων τοῖς ἄλλοις ὑφηγητὴς ἑπταπλασίως τιμωρηθήσῃ· διὰ τοῦτο νῦν οὐ φονευθήσῃ, ὅτι πᾶς ὁ νῦν τὸν κατὰ σοῦ

10–11 οὐχ – παραλύσει: Gen. 4.15; cf. Georg. Mon. 8.9sqq.

TCOP[K][Cr]Hh Ab

10 ἀλλὰ om. Ab sec. Gen. 4.15 **11** εἴπει Hh μηδὲ pr. : μὴ C Hh **12** κατασοῦ Ab ὑπολάυεις O προσδοκήσεις O τὸν : σαυτὸν T : om. Hh **13** συντομίᾳ : προσδοκία O post ζῆν add. καὶ T χρή σε : χρῆσαι O : χρή σαι K : χρήσεως P **14** ὑφορᾶσθαι (-σθη Hh) : ὑφίστασθαι O P K **15** ὑφηγητὴς : ἐξηγητὴς Hh **16** τιμωρηθήσει O Hh **16–24** διὰ – θανάτους : ἐπειδὴ δὲ τὸ ἐκδικούμενον διχῶς νοεῖται· τό τε ἁμαρτηθὲν ἐφ᾽ ὃ ἡ ἐκδίκησις, καὶ ὁ τρόπος τῆς κολάσεως δι᾽ οὗ ἡ ἐκδίκησις, ἴδωμεν εἰ ἑπτὰ τρόποι βασανιστηρίων ἐπ᾽εἰσήχθησαν τῷ πονηρευσαμένῳ· τὰ μὲν οὖν ἑπτὰ ἁμαρτήματα τοῦ κάϊν, ταῦτά ἐστιν· πρῶτον ἁμάρτημα φθόνος, ἐπὶ τῇ προτιμήσει τοῦ ἀδελφοῦ· δεύτερον δόλος, μεθοῦ διὲλέχθη τῷ ἄβελ εἰπὼν, διέλθωμεν εἰς τὸ πεδίον· τρίτον φόνος προσθήκη τοῦ κακοῦ· τέταρτον ὅτι καὶ ἀδελφοφόνος, μείζων ἡ ἐπίτασις· πέμπτον ὅτι καὶ πρῶτος φονεὺς ὁ κάϊν πονηρὸν υπόδειγμα τῷ βίῳ καταλιπών· ἕκτον ἀδίκημα, ὃ καὶ γωνεῦσι πένθος ἐποίησεν· ἕβδομον, ὅτι θεὸν ἐψεύσατο· ἐρωτηθεὶς γὰρ ποῦ ἄβελ ὁ ἀδελφός σου εἶπεν οὐκ οἶδα· ἑπτὰ οὖν τὰ ἐκδικούμενα παρὲλύετο, ἐν τῷ ἀναιρεθῆναι τὸν κάϊν· ἐντεῦθεν ἀρίθμει τὰς τιμωρίας· ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανεν τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου· μία κόλασις· ἐργᾷ τὴν γῆν· δευτέρα αὕτη· ἀνάγκη γάρ τις ἄρρητος συνέζευκτω αὐτῷ, πρὸς τὸ ἔργον τῆς γῆς αὐτὸν κατεπείγουσα. ὥστε μηδὲ βουλομένῳ αὐτῷ ἐξεῖναι ἀναπαύεσθαι· ἀλλ᾽ ἀεὶ πρὸσταλαιπωρεῖσθαι αὐτὸν τῇ ἐχθρὰ αὐτοῦ γῇ, ἣν ἐπικατάρατον ἑαυτῷ ἐποίησε, μιάνας ἀδελφικῷ αἵματι· καὶ οὐ προσθήσει δοῦναί σοι τὴν ἰσχὺν αὐτῆς· καίτοι· εἰ καὶ τὸ τῆς ἐργασίας ἄπαυστον. εἶχέν τινα καρπὸν, αὐτὸς ὁ πόνος οὐ μετρία βάσανος ἦν τῷ κατὰτεινομένῳ ἀεὶ καὶ κοπιῶντι· ἐπειδὴ δὲ καὶ ἐργασία ἄπαυστος, καὶ ἄκαρπος ἡ περὶ τὴν γῆν ταλαιπωρία, οὐ γὰρ ἐδίδου τὴν ἰσχὺν, τρίτη αὕτη ἐστὶ τιμωρία ἡ ἀκαρπία τῶν πόνων· στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς· δύο προσέθηκεν ἄλλας, ταῖς τρισί· στεναγμὸν δι᾽ἡνεκῆ, καὶ τρόμον τοῦ σώματος (cf. Doctrina Patrum, p. 247, l. 1sqq. (etiam infra)), τῶν ἐκ τῆς ἰσχύος στηριγμὸν τῶν μελῶν οὐκ ἐχόντων· ἐπειδὴ γὰρ κακῶς ἐχρήσατο τῇ δυνάμει τοῦ σώματος, ὑφαιρέθη αὐτοῦ ὁ τόνος, ὥστε κλονεῖσθαι αὐτὸν καὶ κατασείεσθαι· ἄλλη τιμωρία ἦν αὐτὸς ἀπεκάλυψεν ὁ κάϊν εἰπὼν· εἰ ἐκβάλλεις με νῦν ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσωμαι· τί ἐστιν εἰ ἐκβάλλεις με ἀπὸ τῆς γῆς· τουτέστιν, ἡ χωρίζεις με τῆς ἀπ᾽ αὐτῆς ὠφελείας· οὐ γὰρ μετὲτίθετο ἐφ᾽έτερον τόπον, ἀλλ᾽ ἠλλοτριοῦτο τῶν ἀπαὐτῆς καλῶν· καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσωμε· ἡ βαρυτάτη κόλασις τοῖς σωφρονοῦσιν, ὁ ἀπὸ τοῦ θεοῦ χωρισμός· καὶ ἔσται φησὶ πᾶς ὁ εὑρίσκων με ἀπὸκτενεῖ με· εἰκάζει ἐκ τοῦ ἀκολούθου τῶν προαγόντων· εἰ ἀπὸ τῆς γῆς ἐκβάλλεις με καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσωμε, ἕπεται ἀπὸ παντὸς ἀναιρεῖσθαι· τί οὖν ὁ θεός· οὐχ᾽ οὕτως· ἀλλ᾽ἔθετο σημεῖον ἐπ᾽ αὐτῷ· ἑβδόμη αὕτη τῆμωρία, τὸ μηδὲ κρύπτεσθαι τὴν τῆμωρίαν, ἀλλὰ σημείῳ προδήλῳ πᾶσι προκεκηρύχθαι ὅτι οὗτος ἐστὶν ὁ τῶν ἀνοσίων ἔργων δημιουργός· καὶ γὰρ ὀρθῶς λογιζομένῳ, βαρυτάτη κολάσεως ἡ αἰσχύνη, ἣν καὶ περὶ τῆς κρίσεως μεμαθήκαμεν· ὅτι οὗτοι ἀναστήσωνται εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς αἰσχύνην καὶ ὀνειδισμὸν αἰώνιον Ab **16** νῦν : τοίνυν O P : non adhib. K φονευθήσει T O

φόνον ἀποτολμήσας, κακῶν σε τῶν κατὰ τὸν βίον ἀπαλλάξας ἑπταπλῆν τὴν κατὰ σοῦ παραλύσει τιμωρίαν. ἄλλως· οὐχ οὕτως· πᾶς ὁ ἀποκτείνας Κάιν ἑπτὰ ἐκδικούμενα παραλύσει· ἐκείνων μὲν γὰρ ἕκαστος τῷ ἑαυτοῦ ἁμαρτήματι ἀποθανεῖται· σὺ δὲ ὁ φόνου κατάρξας καὶ τοῖς ἄλλοις τοῦ ἁμαρτήματος ὑφηγητὴς γενόμενος ἑπτὰ ἐκδικούμενα παραλύσεις, τουτέστιν ἑπταπλασίως τιμωρηθήσῃ· τὸ μὲν γὰρ τελευτῆσαι τῶν ἐν βίῳ πονηρῶν ἐπάγει τὴν κατάπαυσιν, τὸ δὲ ζῆν ἐν φόβῳ καὶ λύπῃ μυρίους ἐπάγει τοὺς σὺν αἰσθήσει θανάτους. **3** τρέμων οὖν καὶ στένων ὁ Κάιν καθάπερ δαίμονι κάτοχος ἐν ἐπιληψίᾳ πάντα τὸν ἑξῆς αὐτοῦ διῆγε βίον, τοῦτο τοῦ μὴ ἀναιρεθῆναι παρὰ Θεοῦ λαβόντος σημεῖον. μετὰ γοῦν τὴν καταδίκην χειρόνως ἐβίω, ἅρπαξ καὶ πλεονέκτης γενόμενος. καὶ πρῶτος μέτρα καὶ στάθμια καὶ γῆς ὅρους ἐπενόησε καὶ πόλιν κτίσας εἰς ἓν συνελθεῖν τοὺς οἰκείους ἠνάγκασε καὶ εἰς πολέμους ἀπασχολεῖσθαι.

24

Σαύαν δὲ τὴν ἀδελφὴν αὐτοῦ λαβὼν ὁ Κάιν εἰς γυναῖκα ἐκτήσατο υἱὸν τὸν Ἐνώς. ἐκ τούτου γίνεται Γαϊδάδ, ἐξ οὗ Μαουήλ, ἐξ οὗ Μαθουσάλα. ὁ δὲ Μαθουσάλα γεννᾷ τὸν Λάμεχ. οὗτος δύο γυναῖκας ἀγόμενος, Ἀδδὰν

22–27 τὸ – σημεῖον: cf. Georg. Mon. 8.18–23 **27–30** μετὰ – ἀπασχολεῖσθαι: cf. Georg. Sync. 9.10–14; Suda κ (27), p. 3.5–11 **29** πόλιν κτίσας: cf. Gen. 4.17 **cap. 24.2–7** Σαύαν – Σελᾶς: cf. Gen. 4.17–22 (cf. etiam infra)

TCOP[K][Cr]Hh Ab

---

17 κακῶς O τῶν – βίον : τοῦ βίου Hh **18** ἀλλ' ὡς O post οὕτως add. ἀλλὰ O P K **19** ἑπτὰ (ἑπτάκις Hh) – ἐκείνων : τουτέστιν ἀποκτείνας O P K γὰρ om. O P K **20** τῷ : τὸ O ἑαυτοῦ bis exhib. T **20–21** σὲ … κατάρξαντα (κατάρξαντος K Hh) … ὑφηγητὴν (ὑφηγητὴν τοῦ ἁμαρτήματος P) γενόμενον O P K **20** ὁ om. C O P K **21** τοῦ ἁμαρτήματος om. Cr (sic ut vid. Cr) Hh post γενόμενος (-ον) add. ὁ ἀποκτείνας O P K **21–22** ἑπτὰ – τουτέστιν om. Cr Hh **21–22** παραλύσει O P K **22** τιμωρηθήσῃ (-σει Hh) : τιμωρηθῆναί σε δεῖ O P K τὸ : τῶ Hh **23** τῶν : τὸν Hh post ἐν pr. add. τῷ P K πονηρῶν : πονηρὸν O : πονηρῶ Hh **23–24** λύπη καὶ φόβω C φόβῳ καὶ om. O **24** ἐπάγη Hh ἐν συνεσθήσει Hh **25** σθένων Hh δαίμων T ἐν : τῆ O **25–26** ἑξῆς αὐτοῦ : ἐξ αὐτοῦ P : αὐτοῦ K : ἑαυτοῦ Hh **26** τοῦ : τὸ Ab λαβόντος : λαβὼν τὸ Ab (sic et Georg. Mon. 8.23) **27–30** μετὰ – ἀπασχολεῖσθαι om. Ab **27** post καταδίκην add. ὡς φησὶν ἰώσηπος ἐν τῆ ἀρχαιολογία, κάιν C ἐβίω : ἐν βίω K Cr Hh **28** στάθμα P K **cap. 24.2** Σαύαν : σαῦαν T : σάβαν O P K : σύναν Hh : σαυὰν Ab **3** τὸν om. Ab Ἐνώς : ἐνός T O : ἑνώς Ab : Ἐνώχ Gen. (e.g. Gen. 4.17) et Georg. Mon. ἐξ οὗ Μαουήλ (μαθουήλ K : μαλελεήλ C O) om. Ab Μαουήλ : Μαιήλ Gen. et Georg. Mon. **3–4** ὁ δὲ Μαθουσάλα (-ας P K) om. T **4** λάμεκ Hh ἀγαγόμενος C Ἀδδὰν : ἀδὰδ C Hh : ἀδδὰδ Ab (Αδα Gen.)

καὶ Σελάν, Ἰουβὰλ μὲν κιθαριστήν, Ἰωβὴλ δὲ κτηνοτρόφον ἐκ τῆς Ἀδδᾶς παῖδας ἐκτήσατο, Θοβὲλ δὲ σφυροκόπον χαλκοῦ καὶ σιδήρου καὶ Νοεμᾶν θυγατέρα ἐκ τῆς Σελᾶς. **2** καὶ τὸ μὲν ἐκ Κάιν γένος μέχρι τούτου μνήμης τῆς ἐν βίβλοις ἠξίωται, τοῦ δὲ ἀριθμοῦ τῶν πατέρων ἀποκεκήρυκται, ἵνα μηδὲ τοῖς πρώτοις ᾖ συνταττόμενος μηδὲ τῶν ἐφεξῆς ἀφηγούμενος. διὰ δὲ τὸ τῆς προαιρέσεως ἄγριον ὥσπερ ἐπὶ τὴν ἄλογον ἐκ τῆς λογικῆς φύσεως ἐξώρισται. Κάιν, ὡς λέγει Μωυσῆς, τῆς οἰκίας πεσούσης ἐπ᾽ αὐτὸν ἐτελεύτησεν. **3** ὁ δὲ Ἀδὰμ γενόμενος ἐτῶν σλ' ἐγέννησε τὸν Σὴθ καὶ τούτοις ἑπτακόσια ἐπιζήσας ἔτη θνῄσκει κατ᾽ αὐτὴν τὴν τῆς παραβάσεως ἡμέραν· χιλιονταετίας γὰρ τῆς τοῦ Θεοῦ ἡμέρας ἐχούσης τὸ διάστημα ἐννακόσια τριάκοντα μόνον ἔτη ζήσας τελευτᾷ. **4** τοῦτον

7–9 καὶ – ἀφηγούμενος: cf. Georg. Mon. 8.5–8 § 3: cf. Gen. 4.25; 5.3–5; Georg. Mon. 43.13–15 **15–17** τοῦτον – παράδοσις: cf. Georg. Mon. 43.16–18 (Pseudo-Ioseph., cf. Gelzer, Africanus II., p. 278sqq.)

TCOP[K][Cr]Hh Ab

---

5 Σελάν : σελλάν P K Ab : σελά Hh κιθαρωδόν O P K Ἀδδᾶς (ἀδδὰς Hh) : ἀδὰδ C **6** θόβελ Hh σφυροκοκόπος Hh νοεμᾶν : νοεμὰν T C O Hh : νοέμμὰν Ab **7** Σελᾶς : σελὰς O : σελλᾶς P K : σελλάς Hh Ab **7–8** μνήμης ἠξίωται ἐν ταῖς βίβλοις P **8** τῆς : τοῖς Hh τοῦ δὲ : καὶ τοῦ Ab πατέρων : πρώτων O P K ἀποκηρύττεται O **9** μηδὲ pr. : μὴ C ᾖ : εἴη Ab σὐνταττώμενον Ab μηδὲ alt. – ἀφηγούμενος (ἀφ᾽ἡγουμένοις Ab) om. Cr Hh τῶν : τὸν T : τὸ K ἐξῆς Ab **10** τὸ om. P **11** ἐξόριστω Hh **11–12** Κάιν – ἐτελεύτησεν : τὸ δὲ παρὰ τοῦ λάμεχ ταῖς γυναιξὶν εἰρημένον ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοί, καὶ νεανίσκον εἰς μώλωπά μοι· ὅτι εἰ ἑπτάκις ἐκδεδίκηται ἐκ κάϊν, ἐκ δὲ λάμεχ ἑβδομηκοντάκις ἑπτᾶ, νομίζουσι τινὲς ὑπὸ τοῦ λάμεχ ἀναιρεῖσθαι τὸν κάϊν, ὡς μέχρι τῆς γενεᾶς ἐκείνης δι᾽ ἀρκέσαντος αὐτοῦ, ἐπὶ τῶ μακροτέραν δοῦναι τὴν τιμωρίαν, ἔστι δὲ οὐκ ἀληθές· δύο γὰρ φαίνεται πεποιηκῶς ἐξ᾽ ὧν αὐτὸς διηγεῖται, ὅτι ἄνδρα ἀπέκτεινα καὶ νεανίσκον· τὸν ἄνδρα εἰς τραῦμα, καὶ τὸνεανίσκον εἰς μώλωπα· ἄλλο οὖν τραῦμα, καὶ ἄλλο μώλωψ· καὶ ἄλλο ἀνὴρ, καὶ ἄλλο νεανίσκος· ὅτι εἰ ἐκ κάϊν ἐκδεδίκηται ἑπτάκις, ἐκ δὲ λάμεχ ἑβδομηκοντάκις ἑπτά· τετρακοσίας καὶ ἐνενήκοντα τιμωρίας ὑποσχεῖν εἰμὶ δίκαιος, εἴπερ δικαία ἡ κρίσις τοῦ θεοῦ ἐπὶ τῶ κάιν ὥστε ἑπτὰ αὐτὸν ὑποσχεῖν κολάσεις· ὁ μὲν γὰρ ὥσπερ οὐκ ἔμαθεν παρἄλλου τὸ φονεύειν, οὕτως οὐδὲ εἶδεν τιμωρίαν ὑποσχῶντα φονευτὴν· ἐγὼ δὲ ἐν ὀφθαλμοῖς ἔχον τὸν στένωντα καὶ τρέμοντα, καὶ τὸ μέγεθος τῆς ὀργῆς τοῦ θεοῦ, οὐκ ἐσωφρονίσθην τῶ ὑπὸδείγματι· ὅθεν ἄξιός εἰμι ῦ καὶ ♀ δοῦναι κολάσεις· ἔνιοι δέ τινες πρὸς τοιοῦτον ὅρμησαν λόγον. οὐκ᾽ ἀπάδωντα τοῦ ἐκκλησιαστικοῦ δόγματος· ὅτι ἀπὸ τοῦ κάϊν ἕως τοῦ κατακλυσμοῦ, ἑπτὰ παρ᾽ἐληλύθασι γενεαὶ, καὶ εὐθὺς ἐπῆχθη πάση τῆ γῆ ἡ τιμωρία διὰ τὸ πολλὴν γενέσθαι σύγχυσιν τῆς ἁμαρτίας· τὸ δὲ ἁμάρτημα τοῦ λάμεχ οὐ κατακλυσμοῦ δεῖται πρὸς θεραπείαν, ἀλλ᾽ αὐτοῦ τοῦ αἴρωντος τὴν ἁμαρτίαν τοῦ κόσμου· ἀρίθμησον τοίνυν ἀπὸ ἀδὰμ μέχρι τῆς παρουσίας τοῦ χριστοῦ τὰς γενεᾶς, καὶ εὑρήσεις κατὰ τὴν τοῦ λουκᾶ γενεαλογίαν. τῆ ἑβδομηκοστῆ καὶ τῆ ἑβδόμη διαδοχὴ γεγενημένον τὸν κύριον· καὶ ταῦτα μὲν ἐπὶ τοσοῦτον Ab **11** μωσῆς C O Hh πεσούσης post αὐτὸν (**l. 12**) transp. C **12** post ἐτελεύτησεν add. περὶ ἀδὰμ, καὶ πότε ἀπέθανεν· καὶ ποῦ ἐτάφη· καὶ περὶ τοῦ σώματος ἄβελ Hh ὁ δὲ Ἀδὰμ : ἀδὰμ τοίνυν Hh σλ ετῶν T **13** ἑπτακόσια (ἑπτὰ T) ἐπιζήσας ἔτη : ἐπιζήσας ἑπτακόσια ἔτη C : ἑπτακόσια ἐπιζήσας ἔτη ἑπτακόσια P[ac] τὴν om. O Hh **14** χιλιονταετίαν C **15** τριάκοντα om. P ἔτη μόνον C Hh

λέγεται πρῶτον εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθη, ταφῆναι, καὶ μνῆμα αὐτῷ κατὰ τὴν Ἱεροσολύμων γεγονέναι γῆν ἑβραϊκή τις ἱστορεῖ παράδοσις. ἦν δὲ ἄρα πρὸ πάντων ἀκόλουθον εἰς τὴν γῆν τὸν Ἀδὰμ ταφῆναι, ὅτι πρῶτος ἀκούει παρὰ Θεοῦ· γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. ἀφανὲς γάρ φησι τὸ τοῦ Ἄβελ γεγενῆσθαι σῶμα, τοῖς μετέπειτα δικαίοις ἀγαθὰς ὑποφαίνων ἐλπίδας. **5** Σὴθ Ἀζουρὰν ἀγόμενος τὴν ἀδελφὴν διακοσίων πέντε ὑπάρχων ἐτῶν ἐγέννησε τὸν Ἐνώς. πρῶτος οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ, τουτέστιν ἐν Θεοῦ ὀνόματι προσαγορεύειν τὸν Θεόν. **6** οὗτος ὁ Σὴθ ἔθηκεν ὀνόματα τοῖς πέντε πλανήταις· Κρόνον, Δία, Ἄρεα, Ἀφροδίτην, Ἑρμῆν (τοὺς γὰρ δύο φωστῆρας, Ἥλιον καὶ Σελήνην, Θεὸς ἐκάλεσεν)· πρῶτος γὰρ τὴν τῶν οὐρανίων κινήσεων σοφίαν ἐπενόησεν. **7** τοῦ γὰρ Ἀδὰμ προειπόντος φθορὰν ἔσεσθαι τοῦ παντὸς κόσμου ἢ δι᾽ ὕδατος ἢ διὰ πυρὸς στήλας δύο ἐπινοήσαντες οἱ ἐκ τοῦ Σήθ, μίαν ἐκ πλίνθου καὶ ἄλλην ἐκ λίθου, τὰ τῆς ἐπιστήμης ἐνεκόλαψαν. οὗτος ὁ Σὴθ πρῶτος τὰ ἑβραϊκὰ γράμματα ἐξευρὼν συνεγράψατο. **8** Ἐνὼς ἐγήματο Ἐμμὰν τὴν ἀδελφήν. ρϙ' γενόμενος ἐτῶν γεννᾷ τὸν Καϊνᾶν. Καϊνᾶν ἑκατὸν ἑβδομήκοντα ἐτῶν ὑπάρχων ἐγέννησε τὸν Μαλελεήλ. Μαλελεὴλ ἐτῶν ἑκατὸν ἑξήκοντα πέντε γενόμε-

---

21–22 Σὴθ – Ἐνώς: cf. Gen. 4.26; 5.6; Georg. Mon. 43.20 § 6–7: cf. Georg. Mon. 10.5–24 § 8: cf. Gen. 4.17–18; 5.9–24 **31–32** ρϙ' – Καϊνᾶν pr.: cf. Georg. Mon. 44.18 **32–33** Καϊνᾶν alt. – Μαλελεήλ pr.: cf. Georg. Mon. 44.22 **33** Μαλελεὴλ alt. – Ἰάρεδ pr.: cf. Georg. Mon. 45.4

TCOP[K][Cr]Hh Ab

---

16 post καὶ add. τὸ P αὐτοῦ P **17** post τὴν add. τῶν O P K Ab γέγονε O ἱστορεῖ : ἐρεῖ O **18** ἄρα (ἆρα T Hh) post πάντων transp. C τὸν (τὸν om. O) Ἀδὰμ om. P K **19** ἀκούῃ Hh ἀπελεύσει T Hh φασὶ Ab **20** σῶμα γεγενῆσθαι C **20–21** ὑποφαίνων (-φαίνον O K Hh) : ὑποφαῖνον τὰς C **21** post ἐλπίδας add. περὶ τοῦ σὴθ καὶ τῶν ἀστέρων, καὶ προφητία περὶ τοῦ κατακλυσμοῦ· καὶ τίς πρῶτον ἐξεῦρε τὰ ἑβραϊκὰ γράμματα· καὶ περὶ τῶν γιγάντων Hh Ἀζουρὰν : ut vid. scrib. Ἀσουὰμ (Ἀζουρὰν uxor Cain erat) **21–22** Ἀζουρὰν (ἀγζουρὰν O) – ὑπάρχων : γενόμενος σε Ab (cf. Georg. Mon. 43.20) **21** ἀγαγόμενος C ἀδελφικὴν P **21–22** ὑπάρχων ἐτῶν σε Hh **22** post Ἐνώς (ἐνὸς O) add. καὶ μετὰ τοῦτο, ἔζησεν ἔτη ψζ, καὶ ἀπέθανεν· ζῆσας τὰ πάντα ἔτη ἐννακόσια δώδεκα Hh (Georg. Mon. 43.20–44.1) post οὗτος add. ὁ σὴθ Hh **23** τοῦ Θεοῦ om. Ab ἐν om. Ab **24–31** οὗτος – συνεγράψατο om. Ab **24** post Σὴθ add. ὡς φησὶν ἰώσηπος ἐν τῇ ἀρχαιολογία C **25** δίαν Cr Hh **26** Θεὸς : θεοὺς P : ὁ θεὸς K τὴν om. Cr Hh **27** κινήσεως O γὰρ : δὲ O P K : non adhib. Ab **28** ἢ pr. : ἣ Hh **31** post συνεγράψατο (ἐγράψατο Cr Hh : om. O) add. Hh = Georg. Mon. 44.2–17 ἐνῶς O ἐγήματο Ἐμμὰν (ἐγήμα, τὸνεἐμὰν Hh) τὴν ἀδελφήν (post ἀδελφήν add. αὐτοῦ O P K) om. Ab **31–32** ρϙ' (ρς O) γενόμενος ἐτῶν : ρϙ ἐτῶν γενόμενος P K : γενόμενος δὲ ἐτῶν ρϙ Hh **32** γεννᾷ : καὶ γεννᾷ O : ἐγέννησε Hh (cf. Georg. Mon. 44.18) post Καϊνᾶν (καινὰν O) pr. add. Hh = Georg. Mon. 44.18–21 **32–34** Καϊνᾶν alt. (καινὰν O) – Ἰάρεδ pr. : Hh = Georg. Mon. 44.21–45.7 **33** ἐτῶν : post γενόμενος in **l. 33–34** exhib. C : ante γενόμενος in **l. 33–34** exhib. O ἐτῶν ἑκατὸν ἑξήκοντα πέντε (ἑκατὸν ἑξήκοντα πέντε : ξε T) : ρξε ἐτῶν Ab

νος ἐγέννησε τὸν Ἰάρεδ. Ἰάρεδ γενόμενος ἐτῶν ρξβ' ἐγέννησε τὸν Ἐνώχ. οὗτος πρῶτος γράμματα μανθάνει καὶ διδάσκει καὶ θείων μυστηρίων ἀξιοῦται ἀποκαλύψεις. Ἐνὼχ γενόμενος ἐτῶν ρξε' ἐγέννησε τὸν Μαθουσάλα καὶ σ' πρὸς τούτοις ἐπιβιώσας ἔτη καὶ τοῖς ἐγρηγόροις τὴν ἐκ παραβάσεως ἐπιμαρτυρούμενος τιμωρίαν μετατίθεται εἰς Ἐδέμ, ἔνθα ὁ παράδεισος. **9** σημειωτέον, ὅπως ἡνίκα ἄγγελοι τὴν ἐπὶ τὸ φαῦλον διολισθαίνουσι τροπήν, τηνικαῦτα ἄνθρωπος τῆς εἰς τὸ ἄμεινον καταξιοῦται μεταβολῆς· ἐν γὰρ ταῖς ἡμέραις τούτου καταβεβηκέναι λέγεται οἱ ἄγγελοι ἐπὶ τῆς γῆς, οἳ καὶ ἐγρήγοροι ὠνομάσθησαν. **10** Μαθουσάλα ρπζ' ἐτῶν γενόμενος ἐγέννησε τὸν Λάμεχ. Λάμεχ ἐτῶν ρπη' ὑπάρχων ἐγέννησε τὸν Νῶε. Νῶε ἐτῶν φ' γενόμενος ἐγέννησε τὸν Σὴμ καὶ μετ᾽ αὐτὸν τὸν Χὰμ καὶ μετ᾽ αὐτὸν τὸν Ἰάφεθ. **11** οἱ ἐγρήγοροι πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων ἐπιμιξίαν ποιησάμενοι γεννῶσι τοὺς γίγαντας, μαντείας τε αὖ καὶ γοητείας ἀνθρώποις εἰσηγηταὶ γενόμενοι, ἔτι δὲ ἀστρονομίας τε καὶ ἀστρολογίας καὶ πάσης ὑψηλῆς καὶ μετεώρου κινήσεως, καὶ ταῖς γυναιξὶ τούτων ἁπάντων παραδεδωκότες τὴν γνῶσιν εἰς ἄκρον ἐλθεῖν πονηρίας τοὺς ἀνθρώπους παρεσκεύασαν. [τέκνα τῶν ἐγρηγόρων λέγει πνεύματα πονηρὰ φιλήδονά τε καὶ φιλοσώματα

---

34 Ἰάρεδ alt. – Ἐνώχ: cf. Georg. Mon. 45.8 **36–37** Ἐνὼχ – Μαθουσάλα: cf. Gen. 5.21 (cf. supra ad cap. 24.1); Georg. Mon. 45.12 § 10: cf. Gen. 5.25–32 (cf. supra ad cap. 24.1) **42–43** Μαθουσάλα – Λάμεχ pr.: cf. Gen. 5.25 (cf. supra ad cap. 24.1); Georg. Mon. 45.16 **43–44** Λάμεχ alt. – Νῶε pr.: cf. Gen. 5.28; Georg. Mon. 45.20–26 **44–45** Νῶε alt. – Ἰάφεθ: cf. Gen. 5.32; Georg. Mon. 47.7–8 § 11: cf. Gen. 6.4

TCOP[K][Cr]Hh Ab

---

34 post Ἰάρεδ alt. (ἰάρεδ O) add. δὲ O Hh Ab (cf. Georg. Mon. 45.8) γενόμενος ἐτῶν ρξβ' : γενόμενος ἑκατὸν (διακοσίων (de O vide infra) P K) ἑξήκοντα δύο ἐτῶν C O P K : ρξβ ἐτῶν γενόμενος Ab γενόμενος σξβ ἐτῶν (pro γενόμενος ἐτῶν ρξβ') post Ἐνώχ transp. O **36** post ἀποκαλύψεις (ἀποκαλύψεων Hh : ἀποκαλύψεως Bekker Tafel) add. Hh = Georg. Mon. 45.8–11 post Ἐνὼχ add. δὲ Hh (sic et Georg. Mon. 45.12) γενόμενος ἐτῶν ρξε' (sic et Georg. Mon. 45.12) : ἑκατὸν ἑξήκοντα πέντε ἐτῶν γενόμενος C P K Ab : ἐτῶν γενόμενος ρξε O **36–37** μαθουσάλαν O P (sic fort. P) **37–38** σ' – τιμωρίαν om. C **38** ἐπιμαρτυράμενος Ab **39–42** σημειωτέον (σημειωτέων T Hh) – ὠνομάσθησαν om. C **40** τῆς : τοῖς Hh **41** τούτου : αὔταις O : ἐκείναις Hh λέγεται : λέγοντες O : λέγονται (-ωνται Ab) Hh Ab : non adhib. C K **42–45** Μαθουσάλα – Ἰάφεθ : Hh ~ Georg. Mon. 45.13–47.8 **43** ρπζ' : ἑκατὸν ὀγδοήκοντα P K : ρξε Ab (ρξζ' Gen. et Georg. Mon.) ἐτῶν post ρπη' transp. C O Ab **45** καὶ pr. – Χὰμ om. O post αὐτὸν pr. add. ἐγέννησε P K **47** αὖ : οὖν Ab : om. C εἰσηταὶ ut vid. O **48** ἔτι : ἐπὶ O post δὲ add. καὶ O Ab τε om. Hh post ὑψηλῆς add. τὲ O **50** post παρεσκεύασαν add. τὰ δὲ C **50–52** τέκνα – ὑπάρχειν om. Ab recte **51** λέγει : ὑπῆρχον C : λέγονται Cr Hh : non adhib. Ab φιλοσώματα : φιλοσοφώτατα O

ὑπάρχειν] ἐφ᾽ οἷς εἰς τὴν καθ᾽ ἑαυτῶν ἀγανάκτησιν παροργίσαντες τὸν Θεὸν εἰς τοὺς τῆς γῆς καταταρταροῦνται πυθμένας.

25

Κατακλυσμῷ δὲ τοὺς πάντας διαφθεῖραι βουληθεὶς ὁ Θεὸς προστάσσει τῷ Νῶε μόνῳ διὰ δικαιοσύνην εὐαρεστήσαντι κιβωτὸν κατασκευάσαι πρὸς τὴν αὐτοῦ τε καὶ τοῦ γένους διατήρησιν. **2** καὶ ἡ μὲν κιβωτὸς ἐφ᾽ ὅλοις ρ' ὑπ᾽ αὐτοῦ κατασκευάζεται ἔτεσιν, μηκύνονται δὲ οἱ χρόνοι τῆς κατασκευῆς διὰ τὴν πολλὴν αὐτοῦ ἀγαθότητα· τὴν γὰρ τῆς φθορᾶς ἐπαγωγὴν διὰ μακροθυμίας ἀναβαλλόμενος ἐποιεῖτο τὸν εἰς μετάνοιαν τοῖς συνιοῦσιν ἐπιμετρεῖν καιρόν. **3** εἰσελθόντος δὲ εἰς τὴν κιβωτὸν τοῦ Νῶε καὶ τῶν τριῶν αὐτοῦ υἱῶν καὶ εἰσαγαγόντος κατὰ θείαν ἐπιτροπὴν ἀπὸ μὲν τῶν καθαρῶν ζῴων ἑπτὰ ἑπτά, ἀπὸ δὲ τῶν ἀκαθάρτων δύο δύο, ὥστε φυλαχθῆναι ἀπαρχὴν εἰς τὴν ἑκάστου γένους διαμονήν, ἐπῆλθε δὲ ὁ κατακλυσμὸς ἐπὶ τὴν γῆν ἑξακοσιοστὸν ἔτος ἄγοντος τοῦ Νῶε, καὶ ἐγένετο ἐφ᾽ ὅλας μ' ἡμέρας καὶ νύκτας ἴσας τῶν ὑδάτων ἡ καταφορά. **4** κεκοπακότος δὲ ἤδη τοῦ ὕδατος καὶ τῆς κιβωτοῦ τῶν τῆς

---

cap. 25: cf. Gen. 6–9; Georg. Mon. 47.8–51.10 (de Noe et cataclysmo)

TCOP[K][Cr]Hh Ab

---

52 ὑπάρχειν : ὄντα C   οἷς : ἧς Hh   **53** τοὺς : τὸν Hh   καταροῦνται Hh   post πυθμένας (πυθμένα Hh) add. ἄλλοι δὲ τοιουτόν τινα διήγοῦνται λόγον περὶ τοῦ ἰδῶντες δὲ οἱ υἱοὶ τοῦ θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς παρ᾽ ἑαυτῶν γυναῖκας· ὅτι τὸ γένος ἦν τηνικαῦτα τὸ τοῦ κάϊν καὶ τοῦ σὴθ· καὶ τοῦ μὲν κάϊν, ἐπἄρατον ἦν· τὸ δὲ τοῦ σὴθ, εὐσεβείας ἐπεμελεῖτω· ἐνὼς γὰρ ὁ τούτου υἱὸς ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ:- ἐντεῦθεν οἱ ἐκ τούτου φύντες, υἱοὶ θεοῦ ἐχρημάτιζον, διὸ καὶ ἔφευγον τὴν πρὸς τὸ γένος τοῦ κάϊν ἐπιμιξίαν· παμπόλλων δὲ ἐληλυθότων ἐτῶν, εὐπρεπεῖς θεασάμενοι τὰς ἐκείνων θυγατέρας οἱ τῶν εὐσεβῶν ἀπόγονοι, ἡττήθησαν τοῦ κάλλους· καὶ τὸν πατρῶον παραβάντες νόμον, τὸ πρὸς ἐκείνους ἠσπάσαντο κῆδος· εἶτα ἡ ἐπιμιξία τὴν πονηρίαν εἰσήγαγεν, ὅθεν καὶ ὁ κατακλυσμὸς γέγονεν Ab   **cap. 25.2** Κατακλυσμῷ – προστάσσει (-η Hh) : προστάσσει οὖν ὁ θεὸς Ab   βουληθεὶς ὁ θεὸς διαφθεῖραι O   **3** διὰ om. O K Hh Ab   **4** ἑαυτοῦ C   **5** ἔτεσι κατασκευάζεται ὑπ᾽ αὐτοῦ Ab   μηκύνονται : μικύνοῦνται Hh : μηκύνωνται Ab   **6** αὐτοῦ : τοῦ θεοῦ Ab   τὴν γὰρ τῆς : τῆς γὰρ τῆς T   post φθορᾶς add. αὐτοῦ C   **7** μακροθυμίαν P   post ἀναβαλλόμενος add. οὐκ O P K   τὸν : τῶν Hh Ab   **8** τοῖς : αὐτοῖς C   συνιοῦσιν : an scrib. συνοῦσιν?   ἐπιμετρῶν C O P K   εἰσελθόντων Hh   τοῦ om. P K   **9** υἱῶν αὐτοῦ C   **10** post ἀκαθάρτων add. ἀνα Ab   **11** ὥστε φυλαχθῆναι : ὡς περιφυλαχθῆναι O P K   **12–13** ἐπῆλθε – Νῶε : Hh = Georg. Mon. 47.8–10 **12** δὲ om. O P K Ab, fort. recte; cf. autem ind. graecitatis s.v. *particularum positio* : non adhib. Hh ἄγοντος om. Ab   **13** σαράκοντα O Hh   ἡ τῶν ὑδάτων Hh   **14** post καταφορά (καταφθορὰ Hh) add. πάσα οὖν ἡ γῆ ἐκαλύφθη ἐπὶ ἡμέρας ρν· παντὸς δὲ ὅρους ὑψηλοτάτου τὸ ὕδωρ ὑπεράνω γέγωνεν πήχεις ιε Ab   τῶν : τοῖς O   **14–15** τῆς Ἀρμενίας : τἀρμενίας Ab

Ἀρμενίας ἐπικελσάσης ὀρῶν ἐξέρχεται Νῶε καὶ οἱ τρεῖς υἱοὶ αὐτοῦ μετὰ τῶν γυναικῶν αὐτῶν καὶ πάντων ἐξ αὐτῆς ἐκβάλλει τὰ ζῷα. Νῶε δὲ θυσίαν προσαγαγὼν τῷ Θεῷ ἱκετεύει μηκέτι ποιῆσαι κατακλυσμόν. ἀποδεξάμενος οὖν ὁ Θεὸς τὴν τοῦ ἀνδρὸς ἀρετὴν ὑπέσχετο, σημεῖον ἐπιθείσας τὸ τόξον τῆς ἴριδος. **5** ἐγένετο ὁ κατακλυσμὸς τῷ ἑξακοσιοστῷ ἔτει τοῦ Νῶε. γίνονται ἀπὸ Ἀδὰμ μέχρι Νῶε καὶ τοῦ κατακλυσμοῦ ἔτη δισχίλια διακόσια τεσσαράκοντα δύο.

26

Ἐν δὲ τῷ δευτέρῳ ἔτει μετὰ τὸν κατακλυσμὸν Σὴμ γενόμενος ρ' ἐτῶν ἐγέννησε τὸν Ἀρφαξάδ. **2** Ἀρφαξὰδ δὲ γενόμενος ρλε' ἐτῶν ἐγέννησε τὸν Σάλα. **3** τοῦτον ὁ πατὴρ αὐξηθέντα γράμμασιν ἐξεπαίδευσε· καὶ δή ποτε ὁ Σάλα ἑαυτῷ πορευθεὶς ἀποικίαν κατασκέψασθαι ἐλθὼν κατὰ τὴν Χαλδαίων γράμματα ἐπί τινων εὑρίσκει διακεχαραγμένα πετρῶν. τάδε ἦν ἄρα τῶν ἐγρηγόρων αἱ παραδόσεις. ταῦτα δὲ ἐγγραψάμενος ὁ Σάλα αὐτός τε ἐν αὐτοῖς ἐξημάρτανε καὶ τοὺς ἄλλους τὴν ἐν αὐτοῖς ἀτοπίαν ἐξεπαίδευε. **4** Σάλα γενόμενος ρλ' ἐτῶν ἐγέννησε τὸν Ἔβερ.

---

§ 1: cf. Gen. 11.10; Georg. Mon. 51.12–13 § 2: cf. Gen. 11.12–13; Georg. Mon. 51.20
9 Σάλα – Ἔβερ: cf. Gen. 11.14; Georg. Mon. 52.2

TCOP[K][Cr]Hh Ab

---

15 ἐπικελσάσης : ἐποικειλάσης O : ἐπικλυσάσης P K : ἐπεκιλάσης Ab : fort. scrib. ἐποκειλάσης (vide introd. III.3.1.1) ἐπικελσάσης post ὀρῶν (ὄρεσιν O) transp. Hh post ἐξέρχεται add. ὁ Ab **16** αὐτῶν om. Hh πάντα Ab recte post πάντων add. καὶ O P K ἐξ αὐτῆς : ἐξ ἧς C : ἐξῆς Ab **16–19** Νῶε – ἴριδος om. Ab **17** προσαγαγὼν θυσίαν C **18** τοῦ ἀνδρὸς τὴν O **19** ἐπιθείσας (-θεῖσας T : -θήσας Hh) : ἐπιθεὶς C O P K : non adhib. Ab **19–20** ἐγένετο (ἐγένετο δὲ O : ἐγένετο οὖν C Ab) – Νῶε pr. om. Hh **20** γίνονται : γίνονται (-ωνται Ab) οὖν C Ab : καὶ γίνονται O : γίνονται δὲ K Hh Νῶε καὶ om. Ab **21** δισχίλια διακόσια τεσσαράκοντα (σαράκοντα K Hh) δύο : βσμη T post δύο add. γενεαὶ ϊ Ab **cap. 26.2–3** ἐν – Ἀρφαξάδ pr. : Hh (34v–37r) ~ Georg. Mon. 47.15–51.19 **2** ρ' : ρβ Ab (sic et Georg. Mon.; vide autem Gen. 11.10) **3** Ἀρφαξάδ pr. : ἀρφάξδ T : καϊνᾶν (κάϊναν O) C O P K : ἀρφαξὰδ. ἀφ᾽ οὗ πρώτη βασιλεία χαλδαίων Ab : non adhib. Hh Ἀρφαξὰδ alt. : καϊνᾶν (καϊνὰν O) C O P K Hh δὲ om. O P K Ab ρλε' (sec. Gen. 11.12) : ἑκατὸν τριάκοντα C O P K (sic de Cainan Gen. 11.13) : ρλζ' Hh Ab (sic et Georg. Mon. 51.20) ἐτῶν post γενόμενος exhib. Hh (sic etiam Georg. Mon. 51.20) **4** Σάλα (hic et infra σαλά Ab) : sec. Septuaginta Καϊνᾶν filius Ἀρφαξάδ erat (cf. introd. III.3.1.1) **4–9** καὶ – ἐξεπαίδευε om. C (homoeotel.) **5** ἑαυτῷ : ἑαυτὸν Hh **6** τὴν (sic ut vid. Hh) χάλδον Hh (τὴν γῆν in app. Tafel) διακεχαραγμένων O **7** τὰ δὲ T P K Hh Ab γρηγόρων O post παραδόσεις add. ταῦτα δὲ ἦν ἄρα αὐτῶν ἐγρηγόρων αἱ παραδόσεις T **8** αὐτοῖς alt. : ἑαυτοῖς Hh **9** ἀποτοπίαν O post ἐξεπαίδευε add. Hh (37r, col. 2, l. 6–9) ~ Georg. Mon. 51.21–22 (post haec multa add. Hh) Σάλα – Ἔβερ : Hh = Georg. Mon. 52.2

ἐπὶ τούτου πάλιν οἱ ἄνθρωποι εἰς ἄπειρον πληθύνονται ἀριθμὸν καὶ εἰς ἄκρον αὐξηθέντες πονηρίας πύργον ἐννοοῦσι κατασκευάσαι οὐρανομήκη, τὴν εἰς οὐρανὸν ἑαυτοῖς ἄνοδον διὰ τούτου προμηθούμενοι. **5** πύργον τόνδε οἰκοδόμουν προστάξει Νεβρὼδ πρὸς ἀποφυγὴν τῶν ἐπομβριῶν, ὡς ἐπιβουλεύοντος αὐτοῖς τοῦ Θεοῦ δι᾽ ὕδατος. ἦσαν δὲ τὰ πάντα τῶν οἰκοδομούντων ἔθνη ο', φωνὴ δὲ αὐτοῖς πᾶσιν ἐνυπῆρχε μία. Νεβρὼδ δὲ αὐτοῖς ὁ γίγας, Χουσὲ τοῦ Αἰθίοπος υἱός, εἰς βρῶσιν ἀγρεύων ἐχορήγει ζῷα, ὁ δὲ Ἔβερ ὁ τοῦ Σάλα υἱὸς ἐπείγειν ἐγκεχείριστο τὴν οἰκοδομήν. **6** δοκοῦντος δὲ αὐτοῖς ἤδη τοῦ ἔργου προκόπτειν συγχέει τὰς γλώσσας ὁ Θεός, εἰς εἴδη φωνῶν κατατεμών. φασὶ δὲ μόνον τὸν Ἔβερ τὴν ἀρχαίαν διατετηρηκέναι φωνήν, καὶ ταύτην οἱ τούτου διαδεξάμενοι ἀπόγονοι ἑαυτοὺς μὲν πατρωνυμικῶς Ἑβραίους προσηγόρευσαν, Ἑβραΐδα δὲ τὴν φωνὴν ἐκάλεσαν. **7** τεκμήριον δὲ τοῦ ταύτην εἶναι τὴν πρὸ τῆς συγχύσεως φωνὴν τὰ τῶν παλαιῶν ὀνόματα· ἐφ᾽ ὧν γὰρ κατ᾽ οὐδεμίαν ἐστὶ γλῶσσαν τὸ σημαινόμενον ἐπιλύσασθαι, κατ᾽ αὐτὴν τὸ ζητούμενον ἑρμηνεύεται, οἷον τοῦ Ἀδὰμ καθ᾽ ἑτέραν μὲν οὐδεμίαν φωνὴν τὸ δηλούμενον εὑρίσκεται, κατὰ δὲ ταύτην ἄνθρωπος νενόηται. καὶ ἡ τοῦ Νῶε προσηγορία δι᾽ ἑτέρας μὲν οὐδεμιᾶς διαλέκτου ἑρμηνεύεται, κατὰ δὲ ταύτην δικαιοσύνη σημαίνεται, καὶ Χοῦς Αἰθίοψ καὶ Μεσραεὶμ Αἴγυπτος καὶ Φαλὲκ μερισμός. **8** ὁ μὲν οὖν πύργος ἐφ᾽ ὅλα μγ' οἰκοδομηθεὶς ἔτη ὑπὸ τῆς κατὰ τὴν σύγχυσιν διαφωνίας ἔμεινεν ἡμι-

§ 5–8: cf. Gen. 11.1–9; Georg. Mon. 11.2–5 (de Nebrod); 52.7–54.6 (de turri Babylonensi) **16–17** Νεβρὼδ – ζῷα: cf. Chron. Pasch. 64.13–18

TCOP[K][Cr]Hh Ab

10 εἰς ἄπειρον post πληθύνονται transp. C **11–12** οὐρανομήκη – τούτου om. Hh **13–14** πύργον – ὕδατος om. Ab **13** πύργον τόνδε (τὸν δὲ πύργον O P K) – Νεβρὼδ : ὡς δὲ φησὶ μωυσῆς ἐν τῇ λεπτῇ γενέσει· προστάξει νεβρὼδ τοῦ γίγαντος· χουσὲ τοῦ αἰθίοπος υἱοῦ, τοῦτον ὠκοδόμουν C ᾠκοδόμουν (C) O P K Hh : non adhib. Ab νεβρὼθ Cr Hh ἀποφυγεῖν T K **14** ἐπομβριῶν : ἐπομβρίων C Cr Hh : ἐπομβρίων ὑδάτων O P K : non adhib. Ab ἐπιβουλεύσαντος Hh διὰ τοῦ ὕδατος O P K **15** τῶν om. T ὑπῆρχε C K Hh **16** Νεβρὼδ : νεβρὼμ T : νεβρὼθ Hh δὲ om. C αὐτοῖς : αὐτῶν Hh Χουσὲ (χουσαὶ O : χοσὲ Hh) – υἱός : ὁ υἱὸς χοῦς τοῦ αἰθίωπος Ab **17–22** ὁ pr. – ἐκάλεσαν : Hh (37v, col. 2, l. 12 – 38r, col. 1, l. 26) ~ Georg. Mon. 52.3–4; cf. etiam Georg. Mon. 52.6–53.7 **17** ἐκεχείριστο P K **21** δεξάμενοι C μὲν om. C πατρωνυμικῶς (πατρο- Ab) : πατρωνομικῶς T K (-νυμικῶς Georg. Mon. 53.3) **22** ἐβαΐδα P ἐκάλεσε C post δὲ alt. add. ἐναργὲς Hh (cf. Georg. Mon. 53.12) **23** πρὸ om. P φωνὴν ante πρὸ exhib. Hh (cf. Georg. Mon. 53.12–13) **24** ἐπιλήσασθαι Hh **25** κατ᾽ αὐτὴν (sic etiam Georg. Mon. 53.14) : κατὰ ταύτην C Ab ἀδὰμ O **26** ταῦτην δὲ Hh **27** νόε T δι᾽ – οὐδεμιᾶς : οὐδὲ μιᾶς δι ἑτέρας Hh **28** δικαιοσύνη (-σύνην P) : ἀνάπαυσις C χοὺς T Hh **29** Μεσραεὶμ (-αῒμ Ab) : μεσρὲμ C : μεσραῆλ ut vid. Cr : μεσραήλ Hh αἴγυπος C φάλεκ Ab post μερισμός (διαμερισμὸς P) add. Hh (38r, col. 2, l. 20 – 38v, col. 1, l. 7) εἰ – ὠνόμαζον = Georg. Mon. 53.17–54.2 **29–31** ὁ – ἡμιτελής : Hh = Georg. Mon. 54.3–4 **30** τὴν om. T

τελής. Σύγχυσις δὲ ἀπὸ τοῦ συμβεβηκότος ἡ περὶ τὸν τόπον ὠνομάσθη πόλις, ἡ αὐτόθι κτισθεῖσα Βαβυλών· Βαβυλῶνα γὰρ Ἑβραῖοι τὴν σύγχυσιν ὀνομάζουσιν. ὑστέροθι δὲ ὁ Θεὸς ἀνέμῳ τὸν πύργον ὅλον ἀνατρέπει, καὶ ἔστιν ἀνὰ μέσον Ἀσοὺρ καὶ Βαβυλῶνος εἰς ἔτι τοῦ πύργου φυλασσόμενα τὰ ἴχνη.

27

Ἔβερ γενόμενος ρλδ' ἐτῶν ἐγέννησε τὸν Φαλέκ. ἐν ἀρχῇ τῶν ἡμερῶν Φαλὲκ οἱ τοῦ Νῶε υἱοὶ διχονοήσαντες τῆς γῆς εἰς ἑαυτοὺς ποιοῦνται τὴν διανέμησιν. [Φαλὲκ γενόμενος ρλ' ἐτῶν ἐγέννησε τὸν Ῥαγαῦ καὶ ἐπιβιώσας ἔτη σθ' ἐτελεύτησεν. **2** συνάγεται τὰ πάντα ἔτη ἀπὸ Ἀδὰμ ἐπὶ τὴν τοῦ Φαλὲκ τελευτὴν ἔτη ͵γ] ὥστε εἰκότως ταύτης ἔτυχε τῆς ὀνομασίας ὁ Φαλέκ· μερὶς γὰρ ἑρμηνεύεται, ἑκατέρας προαναφωνῶν τὰς διαιρέσεις· τῆς τε γῆς τὴν διακλήρωσιν οἱ τοῦ Νῶε παῖδες ἐπὶ τούτῳ ποιοῦνται, καὶ τοῦ ὑπονοουμένου τῶν ἑξακισχιλίων ἐτῶν χρόνου ἡ διαίρεσις ἐπὶ τῆς τελευτῆς τῶν ἡμερῶν γίνεται τούτου, †ὁ μὲν ἐν ἀρχῇ, †ὁ δὲ ἐπὶ τῷ τέλει τῆς ζωῆς αὐτοῦ. **3** τότε μεταστέλλονται οἱ τρεῖς υἱοὶ τοῦ Νῶε πάντας τοὺς ἐξ αὐτῶν, καὶ δίδωσιν αὐτοῖς ἔγγραφον τῶν τόπων τὴν

---

2 Ἔβερ – Φαλέκ pr.: cf. Gen. 11.16; Georg. Mon. 52.6–7 **4–5** Φαλὲκ – ἐτελεύτησεν: cf. Gen. 11.18–19; Georg. Mon. 54.8–9 § 2: cf. Georg. Mon. 54.11–17 **11–cap. 28.6** τότε – Εὐφράτης: cf. Georg. Mon. 55.4–19

TCOP[K][Cr]Hh Ab

---

31 ἀπὸ τοῦ συμβεβηκότος om. O **32** Βαβυλών : βαβυλωνία P **33** ὑστέροθι – Θεὸς : ὁ δέ γε θεὸς, ὑστερωθι Hh (ὁ δέ γε θεὸς sec. Georg. Mon. 54.4) post ἀνέμῳ add. βιαίω Hh (sec. Georg. Mon. 54.4) τὸν πύργον : τούτον Hh (sec. Georg. Mon. 54.5) **33–34** ἀνατρέπει ὅλον C **34** ἀσοῦρ T O **34–35** τοῦ (τοῦ om. O) – ἴχνη : φυλασσόμενα τὰ ἴχνη αὐτοῦ Hh (sec. Georg. Mon. 54.6) **cap. 27.2** Ἔβερ – Φαλέκ pr. om. Hh φάλεκ (pr.) Ab **2–4** ἐν – διανέμησιν transp. Hh : vide f. 38ᵛ, col. 2, l. 21–26 **2** post ἀρχῇ add. δὲ Hh **2–3** φάλεκ Ab **3** post Νῶε add. οἱ Hh ποιοῦντες T **4–6** Φαλὲκ – ͵γ om. Ab recte **4–5** Φαλὲκ – ἐτελεύτησεν : Hh (38ᵛ, col. 1, l. 25 – col. 2, l. 2) = Georg. Mon. 54.8–10 (post haec multa add. Hh) **5** σθ' : non certe vid. O **5–6** συνάγεται (συνάγονται C) – ͵γ : Hh (38ᵛ, col. 2, l. 26 – 39ʳ, col. 1, l. 6) ~ Georg. Mon. 54.11–14 **6** ἔτη om. C **6–7** ὥστε (ὅστε Hh) – ἑρμηνεύεται post ἔκθεσιν (**l. 15**) transp. Ab **6** εἰκότος P K ταύτης post ὀνομασίας transp. C ὁ om. O **7** Φαλέκ : φαφαλὲκ Hh : φάλεκ Ab μερισμὸς C K (sic et Georg. Mon. 54.13) **7–11** ἑκατέρας – αὐτοῦ om. Ab **8** τῆς τε : τῆς τε γὰρ C O P K : τάχος δὲ τῆς Cr Hh : non adhib. Ab τούτῳ : τούτου C O P K : τοῦτο Hh : non adhib. Ab **10–11** ὁ pr. – αὐτοῦ : Hh (39ʳ, col. 1, l. 21 – col. 2, l. 20) = Georg. Mon. 54.14–55.5 **10** ὁ μὲν … ὁ δὲ : ἡ μὲν … ἡ δὲ in app. Bekker (vide introd. III.3.1.1) **11** τότε μεταστέλλονται : μετὰστέλλωνται γοῦν Ab § 3–cap. 28, § 1 Hh = Georg. Mon. 55.4–19 τοῦ om. Ab **12** post αὐτῶν add. γενομένους (γενω- Ab) C Ab : non adhib. Hh δίδωσιν : διδοῦσιν C P K : δίδουσιν O

κατανέμησιν, καὶ τυγχάνουσιν ἑκάστῳ καὶ ταῖς ἑκάστου φυλαῖς καὶ πατριαῖς τόποι καὶ κλίματα καὶ χῶραι καὶ νῆσοι καὶ ποταμοὶ κατὰ τὴν ὑποκειμένην ἔκθεσιν· **4** τῷ μὲν οὖν Σήμ, τῷ πρωτοτόκῳ υἱῷ Νῶε, ἀπὸ Περσίδος καὶ Βάκτρων ἕως Ἰνδικῆς καὶ Ῥινοκορούρων· τῷ δὲ Χάμ, τῷ δευτέρῳ υἱῷ τοῦ Νῶε, ἀπὸ Ῥινοκορούρων ἕως Γαδείρων τὰ πρὸς νότον· τῷ δὲ Ἰάφεθ, τῷ τρίτῳ υἱῷ Νῶε, ἀπὸ Μηδείας ἕως Γαδείρων τὰ πρὸς βορρᾶν.

28

Εἰσὶ δὲ αἱ λαχοῦσαι χῶραι κατ᾽ ὄνομα τῷ Σήμ, τῷ πρωτοτόκῳ υἱῷ τοῦ Νῶε, αἵδε· Περσίς, Βακτριανή, Ὑρκανία, Βαβυλωνία, Κορδύνη, Ἀσσυρία, Μεσοποταμία, Ἀραβία ἡ ἀρχαία, Ἐλυμαΐς, Ἰνδική, Ἀραβία ἡ εὐδαίμων, Κοίλη Συρία, Κομμαγηνὴ καὶ Φοινίκη πᾶσα. ἔστι δὲ ἐν τῷ μέρει αὐτοῦ ποταμὸς ὁ Εὐφράτης. **2** ἐκ δὲ τῆς φυλῆς τοῦ Σὴμ ἀνεφάνη ἄνθρωπος γιγαντογενὴς ὀνομασθεὶς ὑπὸ τοῦ πατρὸς Κρόνος εἰς ἐπώνυμον τοῦ πλανήτου ἀστέρος. ὃς πρῶτος κατέδειξεν ἄρχειν καὶ βασιλεύειν Ἀσσυρίων. ἔσχε δὲ γυναῖκα Σεμίραμιν, τὴν καὶ Ῥέαν καλουμένην, ἐξ ἧς ἔσχεν υἱόν, ὃς ἐπεκλήθη Ζεύς, ὁ καὶ Πίκος, γήμας τὴν ἰδίαν ἀδελφὴν Ἥραν. ἔσχε δὲ Κρόνος καὶ ἕτερον υἱὸν ὀνόματι Ἄφρον, ᾧ ἀπεκλήρωσε τὴν πρὸς Λιβύην γῆν. ὃς ἔγημε τὴν Ἀστυνόμην, γεννήσας ἐξ αὐτῆς θυγατέρα, ἣν ἐκάλεσεν Ἀφροδίτην. **3** ὁ δὲ Κρόνος ἐξωσθεὶς τῆς βασιλείας ὑπὸ τοῦ ἰδίου υἱοῦ Διὸς κατέλιπε Δία καὶ Νῖνον, υἱοὺς αὐτοῦ, μετὰ τῆς μητρὸς

---

§ 4: cf. Chron. Pasch. 53.17–19 (sec. Epiphanium); 55.10–13; 56.3–5; 52.9–11 cap. 28, § 1: cf. Chron. Pasch. 56.7–11; Georg. Sync. 50.2–5 **6–10** ἐκ – Ἥραν: cf. Georg. Mon. 11.17–12.8 (fort. e Iulio Africano, vide app. crit.) **13–19** ὁ – Κρήτῃ: cf. Georg. Mon. 12.10–13.2

TCOP[K][Cr]Hh Ab

---

13 τυγχάνουσιν : λαγχάνουσιν O P K **15** ἔκθησιν T **16** Ῥινοκορούρων (ῥην- Ab) : ῥινοκουρούρων C K **17–18** ἀπὸ – Νῶε om. O **17** Ῥινοκορούρων (ρινω- T : ῥην- Ab) : ῥινοκουρούρων K C τὰ : τὸ C : τῶν T **18** ἰάφετ C K τὰ : τῶν O : τὸ K : om. C **cap. 28. 2–3** πρωτοτόκῳ υἱῷ τοῦ Νῶε : υἱῶ τοῦ νῶε τῶ πρωτοτόκω O **3** πέρσαι T ὑρκανία O P Κορδύνη : κορδήνη O : κορδυνά Ab : Κόρδυνα Georg. Mon. 55.16 ἀσυρία C O P **4** ἐλυμαής T Ab **5** Κομμαγηνὴ : κομμαγίνη T : κομαγηνὴ C : κομμαγινὴ Ab post Φοινίκη add. τε Ab **6–24** ἐκ – ἀνθρώποις om. Ab **6** post Σὴμ add. ὡς φησῒν ἀφρϊκανὸς ὁ σοφώτατος C **7** ὀνομασθεὶς post πατρὸς transp. Cr Hh **8** πλανήτος T **8–9** ἀσυρίων C P **9** σεμιράμην T καλουμένην : ὀνομαζομένην O **10** πῖκος O P K Ab ἰδίαν : οἰκείαν C ἤραν O **11** ἕτερον (ἄλλον O) – ᾧ (ὃ Hh) : ἑτέρους δύο υἱούς· ἄφρον ἐξ οὗ καὶ οἱ ἄφροι· καὶ νῖνον· τῶ δὲ ἄφρω C ὀνόματι om. Hh ἄφρων T P **12** λιβοιὴν O Ἀστυνόμην : ἀστινόμην O : ἀστηνόμην Hh **13** ἐξώσθη Hh **14** κατέλειπε Hh υἱοὺς : υἱὸν Hh

αὐτῶν Ῥέας βασιλεύειν Ἀσσυρίων. αὐτὸς δὲ κατιὼν ἐν τῇ δύσει κρατεῖ καὶ βασιλεύει πάσης Ἰταλίας. Ζεὺς οὖν ὑποχωρήσας τῶν Ἀσσυρίων παρεγένετο πρὸς τὸν πατέρα. ὁ δὲ παραχωρεῖ αὐτῷ βασιλεύειν πάσης Ἰταλίας, καὶ κρατήσας πολλοῖς ἔτεσι καὶ τελευτήσας κατατίθεται ἐν Κρήτῃ. **4** μετὰ δὲ Νῖνον ἐβασίλευσεν Ἀσσυρίων Θούρρας, ὃν μετωνόμασαν Ἄρεα, ὡς πολεμικώτατον καὶ γενναῖον ὄντα· ὃν οἱ Ἀσσύριοι Βάαλ θεὸν μετονομάσαντες καὶ ἀναστηλώσαντες σέβονται. **5** μετὰ δὲ τὴν τοῦ Διὸς τελευτὴν Φαῦνος, υἱὸς αὐτοῦ, ἐβασίλευσεν, ὃς μετωνομάσθη Ἑρμῆς· ἦν γὰρ λογιώτατος πάνυ καὶ μαθηματικός· ὅστις καὶ τὴν τοῦ χρυσοῦ ποίησιν ἐφεῦρεν ἐκ μετάλλων ἀνθρώποις.

29

Τῷ δὲ Χάμ, τῷ δευτέρῳ υἱῷ τοῦ Νῶε, ἔλαχον χῶραι κατ' ὄνομα αἵδε· Αἴγυπτος, Αἰθιοπία ἡ βλέπουσα κατὰ Ἰνδούς, ἑτέρα Αἰθιοπία, ὅθεν ἐκπορεύεται ὁ τῶν Αἰθιόπων ποταμός, Ἐρυθρὰ ἡ βλέπουσα κατὰ ἀνατολάς, Θηβαΐς, Λιβύη ἡ παρεκτείνουσα μέχρι Κυρήνης, Μαρμαρίς, Σύρτις, Λιβύη ἡ ἀπὸ Ποταμέως παρεκτείνουσα μέχρις ἄκρας Σύρτεως, Νουμμηδία, Μασσυρίς, Μαυριτανία παρεκτείνουσα μέχρις Ἡρακλεωτικῶν Στηλῶν κατέναντι Γαδείρων. **2** ἔχει δὲ ἐν τοῖς κατὰ βορρᾶν τὰ παρὰ θάλασσαν Κιλικίαν, Παμφυλίαν, Πισιδίαν, Μυσίαν, Λυκαονίαν, Φρυγίαν, Καμαλίαν, Λυκίαν, Καρίαν, Λυδίαν, Μυσίαν ἄλλην, Τρῳάδα, Αἰολίδα, Βιθυνίαν, τὴν ἀρχαίαν Φρυγίαν. ἔχει δὲ καὶ νήσους Σαρδανίαν, Κρήτην, Κύπρον καὶ ποταμὸν Γηών, τὸν καλούμενον Νεῖλον.

19–21 μετὰ – σέβονται: cf. Georg. Mon. 13.4–10; Chron. Pasch. 68.1–11 **21–24** μετὰ – ἀνθρώποις: cf. Chron. Pasch. 69.5–7 cap. 29: cf. Georg. Mon. 55.19–56.7; Chron. Pasch. 52.11–53.15

TCOP[K][Cr]Hh Ab

---

15 ἀσυρίων C P κρατῆ Hh **16** post Ἰταλίας add. κρατήσας πολλοῖς ἔτεσιν Hh **16–18** Ζεὺς – Ἰταλίας om. O **16** ἀσυρίων C P **18** καὶ pr. om. Hh **19** ἀσυρίων P C θούρας Hh **19–20** μετωνόμασεν C Hh **20** ἀσύριοι P C **21** μετονομάσαντες : ὀνομάσαντες C : μετωνόμασαν P **22** φαύνος O **23** μαθητικὸς Hh **cap. 29.2** τοῦ νῶε υἱῶ O αἵδε : αὗται T **3** post ὅθεν add. καὶ T **5** κυρίνης T Ab **6** συρτίς Ab (sic Georg. Mon.) **6–7** ἄκρας – μέχρις om. C : in mg. exhib. O (homoeotel.) **6** συρτέως Ab **7** Νουμμηδία : νουμμιδία T : νουμηδία O P K : non adhib. C Hh post Μασσυρίς exhib. σύρτις· λιβύη P^{ac} Μαυριτανία ⟨ἡ⟩ Bekker, fort. recte **8** κατὰ : κατέναντι P **9** πισσιδίαν O **9–10** φρυγίαν, μυσίαν, λυκαονίαν O **11** σαρδίαν Ab **12** Γηών : γειὼν C : γεὼν O : γῆων Ab

30

Τῷ δὲ Ἰάφεθ, τῷ τρίτῳ υἱῷ τοῦ Νῶε, ἔλαχον χῶραι κατ᾽ ὄνομα αἵδε· Μηδία, Ἀλβανία, Ἀμαζονίς, Ἀρμενία Μικρά τε καὶ Μεγάλη, Καππαδοκία, Παφλαγονία, Γαλατία, Κολχίς, Βοσπόρη, Μαιῶτις, Δερβίς, Σαρματίς, Ταυριανίς, Βαστρανίς, Σκυθία, Θρᾴκη, Μακεδονία, Δαλματία, Μολοσσίς, Θεσσαλία, Λοκρίς, Βοιωτία, Αἰτωλία, Ἀττική, Ἀχαΐα, Πελλήνη ἡ καλουμένη Πελοπόννησος, Ἀρκαδία, Ἠπειρῶτις, Ἰλλυρίς, Λυχνιτίς, Ἀδριακή, ἀφ᾽ ἧς τὸ πέλαγος τὸ Ἀδριακόν. **2** εἰσὶν δὲ αὐτῷ καὶ νῆσοι αἵδε· Βρεττανία, Σικελία, Εὔβοια, Ῥόδος, Χῖος, Λέσβος, Κύθηρα, Ζάκυνθος, Κεφαληνία, Ἰθάκη, Κέρκυρα καὶ αἱ Κυκλάδες καὶ μέρος τι τῆς Ἀσίας ἡ καλουμένη Ἰωνία. ποταμὸς δέ ἐστιν ἐν τοῖς αὐτοῦ μέρεσιν Τίγρις ὁ διορίζων μεταξὺ Μηδίας καὶ Βαβυλῶνος. **3** ἐκ δὲ τῶν τοῦ Ἰάφεθ υἱῶν ἀπὸ μὲν τοῦ Γάμερ Γομαρεῖς, οἱ νῦν Γαλάται· ἐκ δὲ τοῦ Μαγὼθ οἱ νῦν Σκύθαι, καὶ ἀπὸ Μάδου Μῆδοι· ἐκ δὲ Ἴωνος Ἴωνες καὶ οἱ λοιποὶ Ἕλληνες· ἐκ δὲ τοῦ Θόβελ Θοβηλοί, οἱ νῦν Ἴβηρες· ἀπὸ δὲ Μεσὼχ Μεσχηνοί, οἱ

---

§ 1–2: cf. Georg. Mon. 56.7–18; Chron. Pasch. 48.9–49.5 § 3: cf. Chron. Pasch. 46.9–47.6

TCOP[K][Cr]Hh Ab **7** ab Ἀρκαδία TCP[K][Cr]Hh Ab

---

§ 1–2 : Hh = Georg. Mon. 56.7–18 **2** Τῷ (pr.) : τὸν T υἱῷ om. O τοῦ : τῶ T αἵδε : αὗται T **3** Ἀλβανία : ἀλαμανία C : σαλβανία Ab **4** παμφλαγονία Ab βοσπορίς C Μαιῶτις (μεώτης Ab) : ματαιῶτης T Δερβίς : δέρβϊς C **5** Ταυριανίς : ταυριανί K : ταυριάνης Ab Βαστρανίς : βάσταρνης Ab : om. C (βουταρνίς Georg. Mon.) θράκης Ab **5–6** Μολοσσίς – Βοιωτία om. C **6** λώκρις Ab Αἰτωλία : αἰπωλία P K Πελλήνη : πελληνῒς C : πελλινὴς Ab **7** Ἀρκαδία : Ἀκαρνανία in app. Tafel Ἠπειρῶτις : ἡπιρωτίς T : ἡπειρώτης Ab Λυχνιτίς : λυχνίτις C P K (sic Georg. Mon. 56.13) : λυχνητίς Ab : non adhib. Hh **8** Ἀδριακόν : ἀδραϊκόν P : ἀδρικόν K **9** βρετανία T : non adhib. Hh **11** αὐτοῦ : αὐτοῖς P K **12–cap. 31.2** ἐκ – διανεμήσεως : ἀπὸ δὲ ἑκάστου υἱοῦ τοῦ νῶε, εὑρέθησαν ἐν τῆ πυργοποιΐα, ἅπερ καὶ εἰς ἔθνη διῄρέθησαν· ἐκ μὲν τοῦ σὴμ κε· καὶ τοῦ χὰμ λβ· καὶ τοῦ ἰάφεθ ιε· τούτοις δι᾽ἐμερίσθησαν αἱ γλῶσσαι, καὶ γεγόνασιν εἰς φυλὰς ἤγουν ἔθνη· ἐβραῖοι· σύροι· χαλδαῖοι· μῆδοι· πέρσαι· ἄραβες· μαδηναῖοι ἔθνη δύο· ἀδιβδηνοὶ δύο· ταΐνοι· ἀλμωσίνοι· συρακοί· μάγοι· κάσπιοι· ἀλβανοί· ἰνδοὶ δύο· αἰθίοπες δύο· αἰγύπτιοι· λίβυες· χετταῖοι· χανναναῖοι· φερεζαῖοι· εὐαῖοι· γεργεσαῖοι· ἀμορραῖοι· ἰεβουσαῖοι· ἰδουμαῖοι· σαμαραῖοι· φοίνικες· σύροι· κίλικες· γαβαωνῖται δύω· ἀρμένιοι· βιβρανοί· ἴβηρες· σκύθαι· κόλχοι· σάνοι· ἴσαυροι· λυκάωνες· πισίδαι· γαλάται δύο· παμφλαγώνες· φρύγες· ἕλληνες· θεσσαλοί· μακεδώνες· θράκες· μήσοι· βέσσοι· δάρδαροι· σαρμάται· γερμάνοι· πανόνιοι· νόρικοι· δελματεῖς· γίπιδες· λίγυρες· κέλται· ρωμαῖοι δύο· κίτιοι δύο· ἀκίντανοι· βρετανοί· σπάνιοι δύο· μαῦροι· μακουάκοι· γετούλοι· ἄφροι· μάζικες· μάραντες οἱ καὶ ἄβαροι· ὁμοῦ ἔθνη οβ· γεγώνασι δὲ ἐξ αὐτῶν φυλαὶ, ρμε· ἀπὸ τῶν κε τοῦ σὴμ φυλαὶ μη· ἀπὸ τῶν λβ τοῦ χὰμ. φυλαὶ μ· ἀπὸ τῶν ιε τοῦ ἰάφεθ φυλαὶ νζ Ab **12** τοῦ Ἰάφεθ : ἄφεθ K : τοῦ ἄφεθ Hh **13** Γάμερ : γάβερ ut vid. T Γομαρεῖς T : γαμαρεῖς C P K : γωμαρὴς Hh : non adhib. Ab Μαγὼθ : γαμὼθ C : an scrib. Μαγὼγ? (sic Gen.) **14** μύδοι Hh **15** θώβελ· θωβηλοὶ Hh Ἴβηρες (ἴβηρες P K) : οἴβηρες T μεσχὼ P K (Μέσοχ Gen.) οἱ alt. : ἡ Hh

νῦν Καππάδοκες (διὸ καὶ Μάζακα ἡ παρ᾽ αὐτοῖς μητρόπολις)· ἀπὸ δὲ Θῆρα Θρᾷκες· ἀπὸ δὲ Θάρρων Θαρσεῖς, οἱ νῦν Κίλικες· ἀφ᾽ οὗ καὶ Ταρσός, ἡ παρὰ Κίλιξιν πόλις ἀξιολογωτάτη.

31

Γενομένης δὲ τῆς δηλωθείσης διανεμήσεως ὁ μὲν Σὴμ ἔνθα καὶ ὁ πατὴρ αὐτοῦ κατοικισθεὶς τὴν τῆς κληρονομίας αὐτοῦ μοῖραν εἰς τοὺς παῖδας κατατέμνει τοὺς ἑαυτοῦ. ὁ δὲ τοῦ Χὰμ υἱὸς Χαναὰν ἰδὼν τὴν πρὸς τῷ Λιβάνῳ γῆν, ὅτι ἀγαθή τέ ἐστιν καὶ εὔφορος καὶ κατὰ πολὺ τῆς ἑαυτοῦ διαλλάττουσα, αὐτόθι κατασκηνοῖ, τῶν τοῦ Σὴμ ἐγγόνων ταύτην ἀποτεμνόμενος τὴν μοῖραν, καί γε τοῦ πατρὸς αὐτῶν καὶ τῶν ἀδελφῶν κωλυόντων καὶ ὑπόμνησιν παρεχομένων, ὧν ὁ πατὴρ Νῶε τοῖς παραβαίνουσιν αὐτοῦ τὴν κρίσιν ἐπηράσατο. ἐντεῦθεν πᾶσα ἡ γῆ ἐκείνη Χαναναία προσηγορεύετο.

4–7 ὁ – μοῖραν: cf. Georg. Mon. 57.1–5 **9–10** ἐντεῦθεν – προσηγορεύετο: cf. Georg. Mon. 57.5–6

TCP[K][Cr]Hh Ab

---

16 Καππάδοκες (-δώκες Hh) : καππαδόκαι C Μάζακα ἡ : μάζακαι οἱ Hh **17** θρᾴκης Hh δὲ om. Hh Θάρρων : θάρρου (θάρου K) C P K : θάρων Hh : non adhib. Ab **18** ἀξιολογότατος Hh **cap. 31.2** post διανεμήσεως add. καὶ τούτων οὕτω κληρωδωτηθέντων Hh (cf. Georg. Mon. 57.1) μὲν : δὲ Ab Σὴμ : σὴθ T καὶ om. Hh **4** κατατέμνη T Hh **4–10** ὁ – προσηγορεύετο : ἐπεὶ οὖν οἱ τοῦ χὰμ μὴ φοβηθέντες τὸν ὅρκον καὶ τὴν ἀρὰν τοῦ νῶε τὴν δοθεῖσαν τοῖς τρισὶν αὐτοῦ υἱοῖς τοῦ μὴ ἐπιβαίνειν ἕνα παρ᾽ αὐτοῖς τοῖς ὅροις τοῦ ἀδελφοῦ ἐπέβησαν χρόνοις ὕστερον τοῖς ὅροις τοῦ σὴμ καὶ κατοικίσθησαν οἱ χαναναῖοι καὶ τὰ λοιπὰ ὅμοια αὐτῶν ἔθνη, ὁ δὲ σὴμ προπάτωρ ἦν τοῦ ἀβραὰμ ἐξ᾽ οὗ ὁ ἰσραήλ, τούτου χάριν μετὰ υλ ἔτη τῆς παρ᾽οἰκίας· κατὰ τὸν ῥηθέντα ἀβραὰμ ὑπὸ τοῦ θεοῦ, ἐξήγαγεν τοὺς ἐξ ἰσραὴλ ἐξ᾽ αἰγύπτου καὶ ἀπέδωκεν αὐτοῖς τὰ ἴδια τὴν γῆν τῆς ἐπαγγελίας ἐξ᾽ὀλοθρεύσας τὰ ἐκ τοῦ χὰμ κατοικισθέντα ἐκεῖσε ἔθνη, δίκαιος καὶ ἐν τούτω δειχθὴς ὁ θεός Ab **4** τοῦ om. P χαναάμ P Hh **4–5** τῷ Λιβάνῳ : τὸν λιβάνων Hh **5** τέ om. T : non adhib. Ab **6** post διαλλάττουσα add. γῆς Hh (cf. Georg. Mon. 57.3) post κατασκηνοῖ add. ἐκ Cr Hh ἐκγόνων T : non adhib. Ab **6–7** ἀποτεμόμενος C P K Hh : non adhib. Ab **7** καί γε : καίτοι P K αὐτῶν : αὐτὸν P **8** παρασχομένων Hh ὧν : ὃν Hh **9** post ἐπηράσατο add. Hh ~ Georg. Mon. 57.3–5 (τυραννικῶς – ἐξήλασεν) post ἐκείνη add. τῆς ἐπαγγελίας Hh **9–10** χανανέα Hh **10** post προσηγορεύετο (προσηγόρευται C : προσηγορεύθη P) add. Hh ~ Georg. Mon. 57.5–9

32

Τῶν τριῶν τοίνυν τοῦ Νῶε υἱῶν τριχῇ, καθὼς εἴρηται, τὸν κόσμον διανειμαμένων καὶ τῶν ἑκάστου μερῶν δεδηλωμένων ἀναγκαῖόν ἐστι λοιπὸν ἀναδραμεῖν ἐπὶ τὸ προκείμενον. καταλήξαντες δὲ ἐπὶ τὴν ἐκ Φαλὲκ τοῦ Ῥαγαῦ γένεσιν ἀρξώμεθα πάλιν ἀπ᾿ αὐτοῦ· **2** Ῥαγαῦ γενόμενος ρλβ' ἐτῶν ἐγέννησε τὸν Σερούχ. ἐπὶ τούτου οἱ ἄνθρωποι τὸν κατ᾿ ἀλλήλων αὐξήσαντες τῦφον στρατηγούς τε ἑαυτοὺς κατεστήσαντο καὶ βασιλεῖς. καὶ τότε πρώτως πολεμικὰ κατασκευάσαντες ὄργανα πολεμεῖν ἀλλήλους ἐνήρξαντο. καὶ εὐθὺς οἱ ἀπὸ Χαναὰν ἡττῶνται καὶ πρῶτοι τῆς δουλείας ὑποπίπτουσι τῷ ζυγῷ κατὰ τὴν τοῦ Νῶε κατάραν. **3** Σεροὺχ γενόμενος ρλ' ἐτῶν ἐγέννησε τὸν Ναχώρ. ᾤκει δὲ ὁ Σεροὺχ ἐν γῇ Χαλδαίων καὶ ἐν Ὢρ τῇ πόλει. αὐξηθέντα δὲ τὸν Ναχὼρ ἐξεδίδαξεν ὁ πατὴρ παντὸς ἐπίλυσιν οἰωνῶν τῶν τε ἐν οὐρανῷ σημείων διακρίσεις καὶ τῶν ἐπὶ γῆς ἁπάντων καὶ πᾶσαν χαλδαϊκὴν μαντείαν. **4** καὶ Ναχὼρ γενόμενος οθ' ἐτῶν ἐγέννησε τὸν Θάρρα. Νίνου δὲ τοῦ πρώτου βασιλέως Ἀσσυρίων τεσσαρακοστὸν τρίτον ἄγοντος ἔτος τῆς βασιλείας γεννᾶται Ἁβραάμ.

5–6 Ῥαγαῦ alt. – Σερούχ: cf. Gen. 11.20; Georg. Mon. 57.11 **10–11** Σεροὺχ – Ναχώρ: cf. Gen. 11.22; Georg. Mon. 57.15 **12–14** αὐξηθέντα – μαντείαν: cf. Georg. Mon. 57.17sqq. **14–15** καὶ alt. – Θάρρα: cf. Gen. 11.24; Georg. Mon. 92.14

TCP[K][Cr]Hh Ab

---

2 υἱῶν τοῦ Νῶε P καθὰ Hh **3** καὶ – δεδηλωμένων om. P K Ab (homoeotel.) **4** post προκείμενον add. περὶ ραγάβ· καὶ ὅτι ἐπὶ τοῦτο οἱ ἄνθρωποι ἤρξαντο ποιὴν ἑαὐτοῖς στρατηγούς τε καὶ β$^{\tilde{\alpha}}$ κατασκευασίαν ὄργανα πολεμικά+ ιζ Hh **4–5** καταλήξαντες – αὐτοῦ om. Hh **4** ἐκ om. C **4–5** Φαλὲκ τοῦ Ῥαγαῦ : τοῦ ἔβερ τοῦ φάλεκ Ab **5** ἀρξόμεθα T K post αὐτοῦ add. φάλεκ γενόμενος ρλ ἐτῶν, γεννᾶ τὸν ῥαγαῦ· τῶ κθ ἔτη τοῦ φάλεκ. ἦρξεν πρῶτοις ἡ βασιλεία χαλδαίων βαβυλῶνος, ὧν πρῶτος ἐβασίλευσεν νεβρὼδ ὁ γήγας· αἰγύπτου δὲ, μεστραεὶμ ἐβασίλευσεν Ab post Ῥαγαῦ (ῥαγὰβ K Hh) add. τοίνυν Hh **5–6** ρλβ' (ρλ T) ἐτῶν : ἐτῶν· ρλβ Hh sec. Georg. Mon. 57.11 **6** τούτου : τοῦτοι Ab τὸν alt. : τῶν Hh **7** τύφων T ἑαυτοὺς : ἑαυτοῖς C K Hh, ut vid. recte (vide introd. III.3.1.1) : ἑαυτῶν Ab καταστήσαντες Hh **8** πρώτως (T sic fort. pc) : πρῶτος P K Ab : πρῶτον Hh ἀλλήλοις C **9** ἐνήρξαντο ut vid. T[2pc] (fort. ex ἐπ-) Χαναὰν : χαναὰμ P Hh : τοῦ χαναὰμ K **10** post κατάραν : add. Hh ~ Georg. Mon. 57.11–12 (post haec multa add. Hh) : add. τῶ ριε ἔτη ῥαγαῦ, ἦρξεν ἡ βασιλεία ἀράβων, κρατήσασα ἔτει σ Ab post Σεροὺχ add. δὲ Hh (cf. Georg. Mon. 57.15) **11** τὸν om. C ὤκησε Hh ὁ om. ut vid. T χάλδων Hh **12** ἐν Ὢρ (ὦρ Ab) : ἐνὼρ P Hh ἐδίδαξεν P K Ab **13** οἰωνῶν : οἰωνΐου C : οἰωνοῦ Ab : forma singularis scrib. post οὐρανῷ add. καὶ P K post ἐπὶ add. τῆς P K Hh **14** post μαντείαν add. τῶ λς ἔτη ναχὼρ ἦρξεν ἡ βασιλεία τῶν ἀσσυρίων, ὧν πρῶτος ἐβασίλευσεν νίνος, κρατήσασα ἔτει αφ· καὶ τῶ οη ἔτη ναχὼρ. ἦρξεν ἡ βασιλεία σικυωνίων, ὧν πρῶτος ἐβασίλευσεν ἐγιαλεὺς Ab post μαντείαν add. Hh ~ Georg. Mon. 57.15–16 **14–15** καὶ alt. (om. Ab) – Θάρρα (θάρα Ab) om. Hh **15–22** Νίνου – Θηβαῖοι : vide introd. III.3.1.1 **15** δὲ om. Ab ἀσυρίων C P **16** τεσσαρακοστὸν τρίτον : σαρακοστὸν ἕκτον P : σαρακοστὸν ἕκτος K : σαρακοστὸν τρίτον Hh ἄγοντος (ἄγων Hh) ἔτος : ἔτος ἄγοντος K Ab

οὗτος γήμας τὴν ἑαυτοῦ μητέρα Σεμίραμιν, τὴν καὶ Ῥέαν, κτίζει πόλιν Νινευί, ἐπονομάσας αὐτὴν Νῖνον. ἀφ᾽ οὗ Πέρσαις νόμος τὰς ἑαυτῶν μητέρας γαμεῖν καὶ ἀδελφάς, καθὼς καὶ Ζεὺς τὴν ἰδίαν ἀδελφὴν Ἥραν. μεθ᾽ ὃν ἐβασίλευσεν Ἀσσυρίων ἡ τούτου γυνὴ Σεμίραμις, ἥτις κατεσκεύασε τὰ χώματα διὰ τοὺς κατακλυσμούς. κατὰ δὲ τοὺς αὐτοὺς χρόνους παρ᾽ Αἰγυπτίοις ἦν ἑξκαιδεκάτη δυναστεία, καθ᾽ ἣν ἐβασίλευον Θηβαῖοι. **5** Θάρρα γενόμενος ἐτῶν ο' ἐγέννησεν ἐκ γυναικὸς Ἔδνας, θυγατρὸς Ἁβραὰμ πατραδέλφου αὐτοῦ, τὸν Ἁβραάμ, ὅντινα ἡ μήτηρ ἐκάλεσεν ἐπ᾽ ὀνόματι τοῦ ἑαυτῆς πατρός. ἔφθη γὰρ ἐκεῖνος πρὸ τῆς τούτου γενέσεως τετελευτηκέναι. ἐγέννησε δὲ ἔτι ὁ Θάρρα τὸν Ἄρραν καὶ τὸν Ναχώρ. ὁ δὲ Ἁβραὰμ λαμβάνει παρὰ τοῦ πατρὸς γυναῖκα τὴν Σάρραν. οὗτος μόνος τῶν πανταχῇ τὴν ἐπὶ τὰ εἴδωλα πλάνην νοσούντων τὸν ἀληθῆ θεὸν ἐπέγνω. καὶ ὁ Ἄρραν δὲ ἀγόμενος γυναῖκα, υἱὸν ἐκτήσατο τὸν Λώτ, θυγατέρα δὲ Μελχάμ. ταύτην ἑαυτῷ ὁ Ναχὼρ λαμβάνει εἰς γυναῖκα.

23–26 Θάρρα – Ναχώρ: cf. Gen. 11.26; Georg. Mon. 92.18–19 **26–30** ἐγέννησε – γυναῖκα: cf. Gen. 11.27–29

TCP[K][Cr]Hh Ab **22** ab ἑξκαι]δεκάτη TCPH[K][Cr]Hh Ab

---

17 post οὗτος add. δὲ ὁ *νῖνος* C γήμας – Ῥέαν om. Ab σεμηράμην Hh κτίζη Hh **17–18** πόλιν Νινευί (*νηνευεὶ* T : *νηνευῆ* Hh) : τὴν *νινευῆ* Ab **18** ὀνομάσας Ab ἑαυτὴν Hh *νίνον* Hh Ab **18–19** ἀφ᾽ – Ἥραν (ἧραν Hh) om. Ab **20** ὃν : ὧν K : ὼν Hh ἀσυρίων C P σεμηράμης Hh Ab **21** τὰ χώματα : τειχώματα Hh post κατακλυσμούς add. μετὰ δὲ *νῖνον*, ἐβασίλευσαν καὶ ἄλλοι βασιλεῖς ἀσυρίων μέχρι περσέως υἱοῦ πίκου τοῦ καὶ διός· ὅς γε πολεμήσας καὶ νικήσας τοὺς λυκάονας. καὶ πόλιν κτίσας ἐκεῖ καὶ τὴν ἑαυτοῦ στήλην κτίσας, ἐκάλεσεν αὐτὴν ἰκόνιον ἐκ τοῦ ἰδίου ἀπεικονίσματος. ὑποτάξας δὲ καὶ τὰς ἄλλας χώρας· καὶ πρὸς τὴν ἰσαυρίαν καὶ κιλικίαν ἐλθὼν, καὶ ἀπὸ τοῦ ἵππου κατελθὼν, καὶ πήξας τὸν ταρσὸν τοῦ ποδὸς ἐν τῆ γῆ, ἐν ᾗ καὶ πόλιν κτίσας ἐπωνόμασεν αὐτὴν ταρσόν, ἐκ τοῦ οἰκείου ποδός. τοὺς δὲ ἀσυρίους πέρσας ἐκάλεσεν ἐπὶ τῶ ὀνόματι αὐτοῦ· ἐφ᾽ οὗ καὶ πῦρ ἐκ τοῦ οὐρανοῦ κατῆλθεν ἐν περσίδι. καὶ τοῦτο θαυμάσας. ἐξ οὗ καὶ ἀνάψας καὶ κτίσας ἱερὸν, ἔθηκε τὸ πῦρ ἐν αὐτῶ· καλέσας τὸν ναὸν πυρὸς ἀθανάτου· καταστήσας δὲ ἄνδρας εὐλαβεῖς διακονεῖν αὐτῶ· καὶ φυλάττειν ἄσβεστον, ἐκάλεσεν αὐτοὺς μάγους· ὅπερ ἕως ἄρτι ἐν πολλῆ τιμῆ ἔχοντες οἱ πέρσαι, πυρσολατροῦσι κατὰ τὴν παράδοσιν τοῦ βασιλέως αὐτῶν περσέως C **22** αἰγυπτίους P K ἦν om. Hh καθ᾽ ἣν : καθὰ H ἐβασίλευσαν Hh post Θηβαῖοι (θυβαῖοι Hh) add. Hh (f. 42r, col. 1, l. 16–60r, col. 1, l. 19) ~ Georg. Mon. 57.17–92.17 **23** post Θάρρα (θάρα H K Ab (sic et Gen.)) add. δὲ Hh **23–26** ἐκ – τετελευτηκέναι : τὸν ἁβραὰμ Ab **23** Ἔδνας : ἔσδρας Hh **24** ἄβραμ (pr.) Hh πατραδέλφου (πατράδελφον P) – Ἁβραάμ om. T (homoeotel.) post Ἁβραάμ add. περὶ τῆς γεννήσεως ἀβραὰμ τοῦ δικαίου Hh ἐκάλεσεν : ἐκάλει Hh : ἐπωνόμασεν C **25** πρὸς T τούτου : αὐτοῦ H : τοῦ K γεννήσεως Hh **26** τετελευτηκέναι : καὶ τελευτηκέναι H : προτετελευτηκέναι C θάρα H Hh Ab τὸν pr. – Ναχώρ : Hh (f. 60r, col. 2, l. 2–6 = Georg. Mon. 92.18–20) (post haec multa add. Hh) ἄραν H Ab **27** σάρρα H **28** τῶν : τὸν T H K Hh παντουχῆ H ἀληθῆθῆ P **29** ἄραν H ἀγόμενος : προαγόμενος K : ἀγαγόμενος P post υἱὸν add. μὲν C Ab **30** θυγατέραν H Μελχάμ : μαλχὰλ Hh post ταύτην add. δὲ P H K ἑαυτῷ : ἑαυτὴν Hh εἰς om. Ab

33

Ἤδη δὲ ἑξηκοστὸν ἔτος ἄγων ὁ Ἁβραάμ, ὡς οὐκ ἐδόκει τὸν πατέρα πείθειν καὶ τοὺς ἄλλους οἰκείους τῆς πρὸς τὰ εἴδωλα δεισιδαιμονίας μεταθέσθαι, λανθάνει νυκτὸς τῶν εἰδώλων ἐμπυρίσαι τὸν οἶκον. ἤδη δὲ αὐτῶν ἐξαναλουμένων οἱ ἀδελφοὶ περινοήσαντες ἀναπηδῶσι, βουλόμενοι ἐκ μέσου τοῦ πυρὸς ἐξελέσθαι τὰ εἴδωλα. **2** φιλοτιμότερον δὲ ὁ Ἄρραν τῷ πράγματι προσφερόμενος ἐν μέσῳ διαφθείρεται τοῦ πυρός, καὶ θάψας αὐτὸν ὁ πατὴρ ἐν Ὢρ τῇ πόλει τῶν Χαλδαίων μετανίσταται πάντας ἀποφερόμενος τοὺς οἰκείους εἰς Χαρρὰν τῆς Μεσοποταμίας. **3** ἐνταῦθα δὲ Ἁβραὰμ δέκα τῷ πατρὶ καὶ πέντε συνοικήσας ἔτη ἐννοεῖ ποτε νυκτὸς ἐκ τῆς τῶν ἄστρων κινήσεως τοῦ ἐπιόντος καιροῦ κατασκέψασθαι τὴν ποιότητα· ἦν γὰρ οὐ μετρίως ὑπὸ τοῦ πατρὸς ἅπασαν τὴν τοιαύτην ἐξασκηθεὶς ἐπιστήμην. καὶ δὴ μετὰ τὴν ἑκάστου τῶν ζητουμένων διάγνωσιν συνίησι περιττὴν ἅπασαν εἶναι τὴν τοιαύτην περιεργίαν· δύνασθαι γὰρ αὖθις τὸν Θεόν, εἰ βούλοιτο, μετασκευάσαι πρὸς τὸ οἰκεῖον βούλημα τὰ προδιεγνωσμένα. **4** πᾶσιν οὖν τούτοις καὶ τοῖς τοιούτοις ἐξ ὅλης ἀποταξάμενος ψυχῆς καὶ τελείαν τῆς περὶ τὸ θεῖον εὐσεβείας δοὺς τὴν ἀπόδειξιν ἀκούει παρὰ Θεοῦ· ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου. καὶ ἐξελθὼν ἅμα τῇ γυναικὶ Σάρρᾳ καὶ Λώτ, τῷ ἀδελφιδῷ, μετοικίζεται εἰς τὴν Ἀρφαξάδ, τοῦ πατρὸς αὐτοῦ, μερίδα, ἣν οἱ Χαναναῖοι κατασχόντες γῆν Χαναναίαν

---

§ 1–4: cf. Georg. Mon. 93.12sqq. § 2: cf. Gen. 11.28; 31 **18–19** ἔξελθε – σου alt.: Gen. 12.1; cf. Georg. Mon. 94.16–17 **19–22** καὶ alt. – οε': cf. Gen. 12.4–5

TCPH[K][Cr]Hh Ab

---

2 ὡς : ὃς Hh **3–4** πρὸς – νυκτὸς : ἀπὸ Hh **4** ἐμπυρίσαι : ἐμπϋρΐσας C : ἐμπρῆσαι P K : ἐμπρίσαι H **5** αὐτῶν ἐξαναλουμένων : ἐξ αὐτῶν ἀναλωθέντων P : ἐξ αὐτῶν ἀναλουμένων H K **6** μέσω Hh δὲ om. Ab **7** Ἄρραν : άρραν T : ἄραν H πράγματι : προστάγματι P Hh διαφθείρεται : συμφθήρεται Hh **8** θάψας : ἔθαλεν Hh ἐνὼρ T H Hh Ab χάλδων Hh in loco vocis μετανίσταται, quam om., add. Hh (f. 60v, col. 2, l. 16–61v, col. 2, l. 3) ~ Georg. Mon. 93.1–94.20 **9** χαρὰν T H **10** post δὲ add. ὁ Ab δέκα καὶ πέντε τῶ πατρὶ T post ἔτη add. ἐτελεύτησεν ὁ πατὴρ αὐτοῦ Hh (Georg. Mon. 94.21) post ἐννοεῖ add. δὲ Hh **12** ποιότητα : πιότητα P H Hh **14** ἅπασαν περιττὴν Hh **15** εἰ : ἡ Hh μετασκευῆσαι ut vid. P **16** προεγνωσμένα P H K **16–17** τούτοις καὶ τοῖς τοιούτοις : τοῖς τοιοῦτοις καὶ τοιοῦτοις T : τούτοις T[2] in mg. : τούτοις H **17** ἐξ – ψυχῆς : ἀποταξάμενος ψυχῇ Hh **18** post παρὰ add. τοῦ H K **19–20** ἅμα – ἀδελφιδῷ : Hh (f. 62r, col. 1, l. 8–13) ~ Georg. Mon. 94.21–95.1 (ἐκεῖθεν – ἀποσκευῆς) **20** σάρα T post καὶ add. τῷ P H K ἀδελφιδῷ : ἐξαδελφῶ T[2] (T[2] in rasura) Ab : τῶ ἀνεψιῶ T[3] (?) in mg. (non vid. T[1]) καὶ μετοικίζεται Hh **20–21** ἀρφαξάδ – κατασχόντες om. T **21** αὐτοῦ om. H K ἣν οἱ Χαναναῖοι : Hh (f. 62r, col. 1, l. 16–21) = Georg. Mon. 95.1–3 (εἰς – βία) καὶ κατασχόντες Hh

προσηγόρευσαν, ὧν ἐτῶν οε'. **5** ὁμοῦ τοίνυν γίνεται ἔτη μέχρι τῆς παροικεσίας Ἀβραὰμ τοσαῦτα· ὁ διαμερισμὸς τῆς γῆς γέγονε τῇ ἀρχῇ τῶν ἡμερῶν τοῦ Φαλέκ· ἀπὸ δὲ τοῦ διαμερισμοῦ τῆς γῆς ἔτη χις'· ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἔτη ͵αιε'· ἀπὸ δὲ Ἀδὰμ ἔτη ͵γσοζ'. **6** διατρίψας δὲ ὁ Ἀβραὰμ μετὰ τὴν ἔξοδον ἐν τῇ γῇ τῶν Χαναναίων ἔτη κε' γεννᾷ τὸν Ἰσαάκ. πρὸ τοῦ Ἰσαὰκ γεννᾶται ἐκ τοῦ Ἀβραὰμ ὁ Ἰσμαὴλ ἀπὸ τῆς Ἄγαρ, ἀφ' οὗ τὸ τῶν Ἰσμαηλιτῶν γένος (οἱ δὲ αὐτοὶ Ἀγαρηνοὶ οἱ καὶ Σαρακηνοὶ καλούμενοι). **7** κατὰ τοῦτον ὁ Θεὸς τὸν καιρὸν πῦρ κατὰ τῆς Πενταπόλεως ὑετίζει καὶ ἀναλίσκει μὲν ἐξ αὐτῆς ἅπαν τὸ γένος τῶν ἀνθρώπων, διαφθείρει δὲ καὶ αὐτὸ ἅπαν τῆς γῆς τὸ ἀνάστημα, καὶ τῆς προσκειμένης θαλάσσης νεκροῦται τὰ ὕδατα. **8** ὀλίγῳ δὲ ὕστερον ἀπὸ τῆς κατὰ Μαμβρὴ δρυὸς μεταναστὰς ὁ Ἀβραὰμ ἐπὶ τὸ φρέαρ κατασκηνοῖ τοῦ ὅρκου ἑαυτῷ τε ἰδίᾳ καὶ τοῖς οἰκέταις αὐτοῦ κατὰ συγγενείας πηξάμενος σκηνὰς τότε πρῶτον Ἀβραὰμ τῆς σκηνοπηγίας ἐφ' ἑπτὰ ἡμέρας ἐπιτελεῖ τὴν ἑορτήν, ἣν εἰσέτι καὶ νῦν ὁ Ἰσραὴλ ἑορτάζει σκηνοπηγῶν.

34

Εἰκοσιπέντε δέ φησιν ἐτῶν ἦν ὁ Ἰσαάκ, ὅτε πρὸς θυσίαν ἀνήχθη. εἰς ἐκεῖνον δὲ τὸν τόπον τὸ θυσιαστήριον ᾠκοδόμησεν Ἀβραάμ, ἔνθα ὕστερον Δαυὶδ τὸ ἱερὸν ἱδρύσατο. Ἰσαὰκ δὲ γενόμενος ἐτῶν ξ' τὸν Ἡσαῦ γεννᾷ

---

§ 6: cf. Gen. 21.2–3; 16.15–16; Georg. Mon. 100.15sqq. (**27–29** πρὸ – καλούμενοι: cf. Georg. Mon. 107.18–20) § 7: cf. Gen. 19.24–25; Georg. Mon. 105.1–6 **33–34** τὸ – ὅρκου: cf. Gen. 21.31 **cap. 34.2–4** Εἰκοσιπέντε – ἱδρύσατο: cf. Gen. 22.1–14 **4–5** Ἰσαὰκ – Ἰακώβ: cf. Gen. 25.19–26; Georg. Mon. 112.5

TCPH[K][Cr]Hh Ab

---

22 προσηγόρευσαν : ἐκάλεσαν P ὧν (ὦν Ab) : ἦν δὲ ἁβραὰμ C **22–32** ὧν – ὕδατα : Hh ~ Georg. Mon. 95.4–105.6 (περὶ – ὕδατα) **22–25** ὁμοῦ – ͵γσοζ' : γίνονται οὖν ἀπὸ τῆς πυργοποιΐας ἕως οὗ ἦλθεν ἀβραὰμ εἰς γῆν χαναὰν ἔτη χις Ab (cf. Georg. Mon. 100.11–14) **22–23** ἔτη – τῇ om. T **22–23** ἔτη – παροικεσίας : εἰς τὴν παροικεσίαν C **23** τοσαῦτα om. C διαμερισμὸς : διαμεριμὸς H : δὲ μερισμὸς C post γέγονε add. ἐν C **24** τοῦ pr. om. C P H K : non adhib. Hh Ab μερισμοῦ C χις' : ας' P H K **25** Ἀδὰμ : ἁβραὰμ H K τρισχίλια διακόσια, ἑπτά C **26** μετὰ (κατὰ C) τὴν ἔξοδον om. H γεννάει H **27** πρὸ (post πρὸ add. δὲ P K) τοῦ Ἰσαὰκ om. H **28** ἅγαρ T **30** τὸ om. H K **31** διαφθείρη Ab ἅπαν : ἀπὸ P H K **32** προκειμένης P H K **33** Μαμβρὴ : μαμβρῆ C K Ab : μαμβρὴν P : μαβρῆ H : μανβρὴ Hh **34** ἰδίω Hh **35** σκηνὴν C **36** ἡμέραις C P ἐπιτελεῖ : τελεῖ C : ἐπετέλει Hh ἣν om. P **cap. 34.2–4** Εἰκοσιπέντε – ἱδρύσατο om. Ab (vide introd. III.3.1.1) **2** δέ – ἦν (ἢν Hh) : ἐτῶν ἦν φησίν P H K ὁ om. Hh ἀνηνέχθη Hh **3** post ᾠκοδόμησεν add. ὁ H K post ὕστερον add. ὁ C **4–8** Ἰσαὰκ – Ἰακώβ : Hh (f. 67v, col. 1, l. 13–71r, col. 2, l. 26) ~ Georg. Mon. 105.6–113.2 **4** γεννᾷ τὸν ἡσαῦ P H K

καὶ τὸν Ἰακώβ. **2** ἤδη δὲ ὁ Ἰακὼβ ἑβδομηκοστὸν καὶ πέμπτον ἄγων ἔτος φεύγει μὲν Ἡσαῦ, τὸν ἀδελφὸν αὐτοῦ, καταντᾷ δὲ πρὸς Λάβαν εἰς Χαρρὰν τῆς Μεσοποταμίας. ἀδελφὸς δὲ ἦν ὁ Λάβαν τῆς Ῥεβέκκας, τῆς μητρὸς Ἰακώβ. **3** τούτου νέμει τὰ πρόβατα ἐφ᾽ ὅλοις ἔτεσιν εἴκοσι, δεκατέσσαρα μὲν Λίαν λαβὼν καὶ Ῥαχήλ, τοῦ Λάβαν θυγατέρας, πρὸς γάμον, ἐπὶ δὲ τοῖς ἓξ ῥητὸν μισθὸν ποιησάμενος σύμφωνον. ὑστέροθι δὲ κομίζεται παρὰ τῶν γυναικῶν Βάλλαν καὶ Ζελφάν, τὰς παιδίσκας, καὶ παιδοποιεῖται ἐκ τῶν τεσσάρων γυναικῶν ἐν τοῖς δέκα καὶ τρεῖς ἔτεσιν, οἷς ἐπὶ τῆς Μεσοποταμίας μετὰ τὴν πρώτην διέτριψεν ἑπταετίαν, υἱοὺς μὲν ἕνδεκα καὶ θυγατέρα μίαν, ἐκ μὲν οὖν τῆς Λείας γεννήσας τὸν Ῥουβὶμ καὶ τὸν Συμεὼν καὶ τὸν Λευὶ καὶ τὸν Ἰούδαν καὶ τὸν Ἰσάχαρ καὶ τὸν Ζαβουλὼν καὶ τὴν Δίναν, ἐκ δὲ τῆς Ῥαχὴλ τὸν Ἰωσήφ, ἐκ δὲ τῆς Βάλλας τὸν Δὰν καὶ τὸν Νεφθαλείμ, ἐκ δὲ τῆς Ζελφᾶς τὸν Γὰδ καὶ τὸν Ἀσήρ. **4** εἰκοστὸν τοίνυν ἔτος διαφυγὼν τὸν Λάβαν ὁ Ἰακὼβ ἑβδόμῃ ὑπ᾽ αὐτοῦ καταλαμβάνεται ἡμέρᾳ ἐν τῷ ὄρει Γαλαάδ. ἐνταῦθα ἐνωμότους ποιησάμενοι συνθήκας χωρίζονται, ὁ μὲν Λάβαν εἰς Χαρράν, ὁ δὲ πλησίον Σικήμων εἰς πόλιν Σαλήμ. **5** ἐνταῦθα ὑφίσταται ὑπὸ Συχὲμ τὴν βίαν ἡ Δίνα. ἔτι δὲ τίκτει ἡ Ῥαχὴλ τῷ Ἰακὼβ τὸν Βενιαμὶν καὶ τελευτήσασα θάπτεται ἐν γῇ Ἐφραθᾷ, ἔνθα νῦν ἐστιν ἡ Βηθλεέμ. Συμεὼν δὲ καὶ Λευὶ

---

§ 2–7: cf. Georg. Mon. 112.11–113.19 § 2–4: cf. Gen. cap. 28–33 § 5: cf. Gen. cap. 34; 35.16–19 (de Rachel et Beniamin)

TCPH[K][Cr]Hh Ab

---

5 καὶ τὸν Ἰακώβ om. H ἤδη δὲ ὁ Ἰακὼβ om. P **5–6** ἑβδομηκοστὸν – ἔτος : μετὰ τὴν γενομένην πρὸς αὐτὸν εὐλογίαν ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ Ab **6** Ἡσαῦ, τὸν ἀδελφὸν : ἀπὸ προσώπου ἡσαῦ τοῦ ἀδελφοῦ Ab **7** χαρὰν T ῥεβέκας T P H **8** τούτου – πρόβατα : νέμει τοίνυν ἰακὼβ τὰ πρόβατα τῶ πενθεροθείω αὐτοῦ Hh **8–9** δεκατέσσαρα (-ας Hh) : fort. scrib. dat. vel gen., sed fort. addenda est praepositio ante numerum (⟨ἐπὶ⟩ ιδ' vel sim.) **9** μὲν om. Cr Hh λείαν C K λαβὼν om. Hh post Ῥαχήλ (ῥαχιήλ C P H Ab) add. τὰς P H K τοῦ – θυγατέρας om. Hh **10** ἐπὶ : ἐπεὶ H Hh **10–17** ὑστέροθι – Ἀσήρ om. Hh **11** κομίζονται H Βάλλαν : βαλλὰν T C : βάλαν H Ζελφάν : δελφάν P H K : ζέλφαν Ab **12** παιδοποιῆται H **12–14** ἐν – μίαν om. Ab **12** τρεῖς : τέσσαρσιν P H K **14** θυγατέραν H οὖν om. P H K Ab λίας T P H Ab γεννήσας om. H Ῥουβὶμ : ῥουβεὶμ C K : ῥουβὴμ P : ῥουβὴν Ab **14–16** τὸν ῥουβὶμ· τὸν συμεὼν· τὸν λευὶ· τὸν ἰοῦδαν· τὸν ἰσάχαρ· τὸν ζαβουλὼν T **15** συμεῶν Ab ἰούδα Ab ἰσσάχαρ Ab **15–16** ζαβουλὼμ P **16** Δίναν : δῖναν T H Ab ῥαχιὴλ C H Ab Βάλλας : βαλλᾶς T C : βάλας H **17** νεφαλεὶμ Ab Ζελφᾶς : δελφᾶς C P : δελφὰς H K : ζέλφας Ab ἀσσὴρ Ab **17–18** εἰκοστὸν τοίνυν ἔτος : τῷ εἰκοστῷ δὲ ἔτει P H K : μετὰ εἴκοσι τοίνυν ἔτη Ab **18–19** καταλαβάνεται H **19** ἐνωμότους : ἐνωμοτάτους H : ἐνωμοτάτους K : ἐνόρκους Cr Hh **19–20** post ποιησάμενοι (-μένους T : -μενος Hh) add. τὰς πρὸς ἀλλήλους Ab **20** χαράν T H post δὲ add. Ἰακὼβ Ab, fort. recte (vide introd. III.3.1.1) **21** σικίμων C H K Συχὲμ : σιχὲμ C Hh : σεχὲμ H **22** δῖνα H Ab ῥαχιὴλ C H Ab Βενιαμὶν : βενιαμῖν T : βενιαμὴν H **23** Ἐφραθᾷ (ἐφραθά C H K) : ἐφθραθᾶ P Βηθλεέμ : βιθλεὲμ T : βιβλεὲμ Hh συμεῶν Ab

τῆς ἀδελφῆς ἐκδικοῦσι τὴν ὕβριν, παντὶ δόλῳ διαχρησάμενοι τοὺς περὶ τὸν Συχέμ. **6** ὁ δὲ Ἰακὼβ τῆς ὁράσεως ὑπομνησθείς, ἧς ἐθεάσατο κατὰ τὴν ἄφιξιν τὴν εἰς Μεσοποταμίαν, ἀνέρχεται εἰς Βαιθὴλ (τοῦτο γὰρ ἦν ὄνομα τῷ τόπῳ, ἐφ᾽ ᾧ κατακοιμηθεὶς εἶδεν τὸ ὅραμα) καὶ πάντα ἀποδεκατώσας, ἃ ἐκέκτητο, τελευταίους ὑποβάλλει κλήρῳ τοὺς παῖδας. λαχόντα δὲ τὸν Λευὶ τῷ Θεῷ ἀφιεροῖ καὶ καθίστησιν ἱερέα τοῦ Θεοῦ, καὶ προσκομίζει πρῶτον τῷ Θεῷ θυσίαν τὴν τοῦ πατρὸς ἀποδεκάτωσιν. **7** ἐπειδὴ τοίνυν τὸ Λευιτικὸν γένος ἐπὶ Ἀαρὼν κατατρέχει καὶ Μωυσῆν, ὧν ὁ μὲν ἱερατεύει, ὁ δὲ στρατηγεῖ τῷ Ἰσραήλ, εἰκότως ἐξ αὐτοῦ λαμβάνεται ἡ ἐκ τοῦ Ἰακὼβ γενεαλογία. **8** Ἰακὼβ γενόμενος πζ' ἐτῶν ἐγέννησε τὸν Λευί. Ῥεβέκκα ἠξίωσε τὸν Ἰσαὰκ ἀγαγεῖν Ἡσαῦ καὶ Ἰακὼβ καὶ διαλλάξαι αὐτοὺς παρακαλέσαι τε ἅμα καὶ ἐνορκίσαι εἰρήνην ἄγειν πρὸς ἀλλήλους καὶ τῆς ἀδελφικῆς οἰκειότητος ἀσπάζεσθαι τὴν διάθεσιν· ὃ δὴ καὶ ποιήσας προεῖπε τῷ Ἡσαῦ, ὅτι ἐὰν ἐπαναστῇς τῷ Ἰακώβ, ἐμπέσῃ εἰς χεῖρας αὐτοῦ. **9** τελευτῶσι προτέρα μὲν ἡ Ῥεβέκκα, μετ᾽ οὐ πολὺ δὲ καὶ ὁ Ἰσαάκ, τῷ Ἰακὼβ τῆς πρωτοτοκίας καταλιπόντες τὰ γέρα. **10** οἱ δὲ υἱοὶ τοῦ Ἡσαῦ παρώξυναν τὸν πατέρα αὐτῶν κατὰ Ἰα-

---

25–27 ὁ – ὅραμα: cf. Gen. 35.1–7 (–15) **33–34** Ἰακὼβ alt. – Λευί: cf. Georg. Mon. 112.9 **34–47** Ῥεβέκκα – ἀνεῖλον: cf. Georg. Mon. 113.20–114.17

TCPH[K][Cr]Hh Ab

---

52 τούτους : τούτου H θάλης T **53** Σίβυλλα : σιβύλλα C : σιβύλα H **54–58** ἀνὴρ – ις' (sim. C) : οὗτος παρανομώτατος ὑπὲρ πάντας γενόμενος, ἐν εἰδωλομανίᾳ καὶ αἱματοχυσίᾳ δικαίων αἱμάτων, δέσμιος κατὰ θείαν ὀργὴν παρελήφθη παραμαροδὰχ τοῦ ἀσσυρίων βασιλέως· καὶ δεσμοῖς πεπεδημένος σιδηροῖς, καὶ ἐν ἀγάλματι χαλκῶ καθ'εἰργμένος, δέησιν ἀνέτεινεν μετανοίας· δι' ἧς ὁ ἱκετευθεὶς, διέρρηξεν τοὺς δεσμοὺς αὐτοῦ καὶ τῆ ἰδία γῆ καὶ βασιλεία ἀποκατέστησεν· ἐπὶ αὐτοῦ προεφήτευον, ἰωὴλ· καὶ ἀβδιοῦ· καὶ ἰωνὰς· καὶ ναοὺμ· καὶ ἀμβακοὺμ οἱ προφῆται Ab **55** εἰδωλολατρήσας : οἰδωλωλατρείας ποιησάμενος H **56–57** κατὰ τοὺς χρόνους τούτους (τούτους τοὺς χρόνους P H K) : ἐν τοῖς χρόνοις ἐζεκίου Hh **57** ῥώμυλος Hh μελιστὶ : κατὰ μέλος Hh **58** ἐξεφοράθη H K βασιλεύειν Hh λη' : ιη Hh **58–59** Ἀμῶς (ἀμὼς T P K : ἀμμῶς H : ἀμμὼς Ab : non adhib. C) – ἔτη β' : Hh ~ Georg. Mon. 235.9–241.15 **58** ὁ om. P H K : non adhib. C Hh **59–61** κατὰ – ἔλεγον om. Ab **60** post Μίδας (μήδας Hh) add. ὁ C H K **61** ὄνου post ἔχειν transp. Hh ἔλεγεν Hh **61–79** Ἰωσίας – ια' : Hh (116v, col. 2, l. 24–118v, col. 1, l. 8) ~ Georg. Mon. 241.16–245.13 **61–62** Ἰωσίας – λα' : ἰωσίας υἱὸς ἀμμὼς ὁ εὐσεβέστατος, ἐβασίλευσεν τοῦ ἰούδα ἔτη λα Ab **61** Ἀμῶς : ἀμὼς T P : om. H **62** ὀκταέτης T ἔτος τριακονταὲν H post λα' add. οὗτος δικαιώτατος ὑπερπάντας γενόμενος, τὸν ἐπιτῆ εὐσεβεία ζῆλον μειζόνως ἀνῆψεν Ab post ἐν add. δὲ C Ab **63** τούτου om. H **63–64** εὑρὼν – ἱερῷ : βιβλίον ἐν τῶ ἱερῶ χελκίας εὑρὼν ὁ ἱερεὺς Ab **65** ἐπιτελεῖ C Ab **66** υἱοῦ om. H τοῦ om. C Ab **66–67** τῶν alt. – ἐξεληλυθότων : τὰ πανταχοῦ εἴδωλα καὶ σεβάσματα ὀλόθρευσεν, ἀλλὰ καὶ τοὺς εἰδωλολάτρας· τοὺς μὲν ἔτι ζῶντας ἀπολέσας, τοὺς δὲ ἤδη τελευτήσαντας Ab **67** ὀστέα Ab **67–68** τῶν θυσιαστηρίων : τῷ θυσιαστηρίῳ P : τὸ θυσιαστήριον H K

τηρίων κατέκαυσεν τῶν εἰδώλων καὶ πάντα καταστρεψάμενος εὐσεβείας τῷ λαῷ παρεῖχεν ὑπόδειγμα. φασὶ δὲ τὸν Χελκίαν ἀναγνόντα τὸ βιβλίον παραυτίκα διαπεφωνηκέναι. προεφήτευον δὲ ἐπὶ τούτου Ἱερεμίας ὁ τοῦ Χελκίου καὶ Σοφονίας καὶ Ἡλιβά, γυνὴ Σελείμ, τοῦ ἱματιοφύλακος τοῦ ἱερέως. ἦν δὲ καὶ ψευδοπροφήτης Ἀνανίας. κατὰ τούτους τοὺς χρόνους Σίβυλλα ἐν Σάμῳ ἐγνωρίζετο, καὶ Βυζάντιον ἐκτίσθη ὑπὸ Μεγαρέων. **16** Ἰωάχας, υἱὸς Ἰωσίου, τὸν πατέρα διαδεξάμενος βασιλεύει μῆνας γ'. Νεχαὼ δέ, βασιλεὺς Αἰγύπτου, ἐπιστρατεύσας τῇ Ἰερουσαλὴμ καὶ χειρωσάμενος τὸν Ἰωάχας εἰς Αἴγυπτον αἰχμάλωτον ἀπάγει καὶ καθίστησιν ἀντ' αὐτοῦ βασιλέα ἐπὶ Ἰερουσαλὴμ τὸν Ἰωακεὶμ τὸν καὶ Ἐλιακείμ. **17** †ἀδελφὸς Ἰωάχας τὴν βασιλείαν διαδεξάμενος βασιλεύει ἔτη ια'. ἐπὶ τούτου Ναβουχοδονόσορ ἐξάρας ἀπὸ Βαβυλῶνος πάσης Αἰγυπτίας ἐπεκράτησε γῆς, ἐν ᾧ Αἰγυπτίοις τῶν πλησιοχώρων ἀποσπάσας ἐκέκτητο, τουτέστιν ἀπὸ τοῦ χειμάρρου Αἰγύπτου ἕως τοῦ ποταμοῦ Εὐφράτου, καὶ τὴν Ἰουδαίαν ὑπόφορον ἅπασαν κατέστησε, καὶ ἐδούλευσεν Ἰωακεὶμ τῷ Ναβουχοδονόσορ ἔτη

72–74 κατὰ – Μεγαρέων: cf. Georg. Mon. 243.22–244.2 § 16: cf. Regn. IV.23.29–34; Par. II.36.1–5; Georg. Mon. 244.4–20 § 17: cf. Regn. IV.23.36; 24.1sqq.; Par. II.36.6; Georg. Mon. 244.22–245.15

T[C]PH[K] Ab **79** ab ἐπὶ T[C]PH[K]Hh Ab

---

68 τῶν εἰδώλων κατέκαυσεν T **68–69** καὶ – ὑπόδειγμα (ὑπόδειγμα C : ὑποδείγματα P H K) : καθ' ἃ πάλαι προηγόρευσεν περὶ αὐτοῦ ὁ προφήτης, ὁ καὶ τὸ ὄνομα αὐτοῦ προειρηκὼς προέτῶν τριακοσίων Ab **70** παραυτίκα : πάραυτα Ab ἐπροεφήτευον T **71** σοφωνίας H post καὶ alt. add. ἡ H Ἡλιβά (ἡλιβὰ post Σελείμ transp. H) : ὀλδά Ab recte (cf. Georg. Mon. et Regn.) Σελείμ : σελὴμ C : σελλὴμ Ab **73** τούτους : τούτου H Σίβυλλα : σιβύλλα C : σιβύλα H Σάμῳ : σώματι Ab post καὶ add. τὸ C P H K **74** post Μεγαρέων ((-αίων Ab) μαγαρέων T : μηγαρέων H) add. τούτου τὸν εὐσεβῆ και δίκαιον ζῆλον δυσωπηθεὶς ὁ θεὸς, τὴν ἐξοργῆς ἴδη ἀποφανθεῖσαν κατὰ τοῦ λαοῦ αἰχμαλωσίαν, ἀνεβάλετο τὸν σύμπαντα χρόνον· τῆς αὐτοῦ βασιλείας· συμβαλὼν δὲ φαραῶ βασιλεῖ αἰγύπτου εἰς πόλεμον, κατετοξεύθη, καὶ ἐκ τῆς πληγῆς τελευτᾶ Ab Ἰωάχας (sic et C sed fort. e Georg. Mon., de quo autem vide infra) : ἰωάχαζ P K Ab (sic Georg. Mon. 244.4) : ὁ ἄχαζ H **75** μῆνας γ' om. Ab **75–79** Νεχαὼ (νεχὰβ P K : νεχὰζ H) – βασιλεύει : τοῦτον νεχαῶ βασιλεὺς αἰγύπτου αἰχμάλωτον παραλαβών, κατέστησεν ἀντ αὐτοῦ ἰωακεὶμ τὸν ἀδελφὸν αὐτοῦ· ἰωακεὶμ βασιλεύει τοῦ ἰούδα Ab **76** Ἰωάχας : ἰωάχαζ P : ἄχαζ H : ἰώχαζ K **78** τὸν καὶ Ἐλιακείμ : καὶ τὸν ἐλιακείμ (ἐλιακείμ P) P K : om. H ἀδελφὸς (ὁ ἀδελφὸς P H K) Ἰωάχας (ἰωάχαζ P H : ἰώχαζ K) τὴν (οὗτος τὴν P H K) : textus corruptus esse vid. : fort. scrib. Ἐλιακείμ. ⟨Ἐλιακείμ⟩ **79** post τούτου add. ἀνῆλθεν Ab post Ναβουχοδονόσορ (-ωρ H Hh Ab) add. ὁ χαλδαίων βασιλεὺς Ab **79–82** ἐξάρας – Εὐφράτου om. Ab **80** ἐπεκράτει Hh ἐν ᾧ : ἐν ᾗ C : καὶ τῶν P H K : ἐξ οὗ Hh Αἰγυπτίοις : αἰγυπτίους C : αἰγυπτίων H : αἰγύπτου Hh **80–81** post τῶν πλησιοχώρων (τῶν (τῶν om. P H K) πλησιοχώρων : τοὺς πλησιοχόρους Hh) add. οὐκ ὀλίγην P H K **82** Αἰγύπτου : αἰγυπτίου P **82–84** καὶ – γ' : καὶ ἐπόρθησεν τὴν ἰουδαίαν, καὶ ὑποφόρους αὐτοὺς ἐποίησεν Ab **82** ἰουδαίαν Hh **82–83** ἅπασαν ὑπόφορον C Hh **83** ἰωακεὶμ Hh τῷ Ναβουχοδονόσορ om. Hh

γ'. ἐπὶ τούτου προφητεύουσιν Ἱερεμίας καὶ Βουζὶ καὶ Οὐρίας ὁ τοῦ Σαμέου, ὃν καὶ φυγόντα εἰς Αἴγυπτον ὁ Ἰωακεὶμ συλλαβόμενος ἀναιρεῖ. τοῦτον τὸν Ἰωακεὶμ δήσας χαλκέοις δεσμοῖς ὁ Ναβουχοδονόσορ εἰς Βαβυλῶνα ἀπήγαγε, μεθ' οὗ ἀπῆλθον αἰχμάλωτοι Δανιὴλ καὶ Ἀνανίας Μισαήλ τε καὶ Ἀζαρίας. κατὰ τούτους τοὺς χρόνους Ἐπίδαμνος ἐκτίσθη καὶ μετωνομάσθη Δυρράχιον. **18** Ἰωακεὶμ ὁ καὶ Ἰεχονίας τὸν πατέρα Ἐλιακεὶμ τὸν καὶ Ἰωακεὶμ διαδεξάμενος βασιλεύει μῆνας γ'. πολιορκοῦντι τὴν Ἰερουσαλὴμ τῷ Ναβουχοδονόσορ ἐν ἔτει ὀγδόῳ τῆς αὐτοῦ βασιλείας ὑπεξελθὼν ὁ Ἰωακεὶμ τῆς πόλεως σὺν Ἐσθᾷ τῇ μητρὶ καὶ πᾶσι τοῖς ἑαυτοῦ προσπίπτει τῷ Ναβουχοδονόσορ. ὁ δὲ καὶ τὴν πόλιν ἐδαφίζει καὶ τούτους αἰχμαλώτους ἀπάγει σὺν ἄλλοις πολλοῖς, μεθ' ὧν ἀπήχθη καὶ ὁ προφήτης Ἰεζεκιήλ. **19** καθίστησιν δὲ ἀντ' αὐτοῦ τῶν ὑπολοίπων ἡγεμόνα τὸν Μανθανίαν, πατράδελφον αὐτοῦ, Σεδεκίαν αὐτὸν μετονομάσας, ὅρκους κατὰ τοῦ Θεοῦ περὶ τοῦ μὴ ἀποστῆναι κομισάμενος. **20** συνάγεται τοίνυν ἀπὸ πρώτου ἔτους Ἄχαζ καὶ πρώτης Ὀλυμπιάδος

---

§ 18: cf. Regn. IV.24.10–16; Georg. Mon. 245.17sqq. § 19: cf. Regn. IV.24.17; Par. II.36.13; Georg. Mon. 246.10sqq. § 20: cf. Georg. Mon. 250.19–251.9

T[C]PH[K]Hh Ab **90** a Ἰωακεὶμ T[C]PH[K] Ab

84–88 ἐπὶ – Ἀζαρίας om. Hh **84** post τούτου add. τοῦ ἰωακεὶμ Ab ἱερεμίας T Βουζὶ : βαροὺχ Ab (ad Ab cf. Georg. Mon. 251.5) **84–85** σαμαίου Ab **85** ὁ om. P H K post ἀναιρεῖ add. ἀθετήσαντα δὲ ἰωακεὶμ τὴν φορολογίαν καὶ πρὸσφυγῶντα εἰς αἴγυπτον. ἐξᾶρας ἀποβαβυλῶνος ναβουχοδονόσωρ πάσης αἰγυπτιακῆς ἐπ'ἐκράτησε γῆς χειρωσάμενος τὸν ταύτης βασιλέα Ab (ad quae cf. supra, **l. 1–2**) **86** τοῦτον : καὶ Ab τὸν om. H δύσας H χαλκέοις scripsi : χαλκαίοις T Ab : χαλκείοις C P H K : non adhib. Hh ὁ Ναβουχοδονόσορ (-ωρ H) om. Ab **88** Μισαήλ (σαμουὴλ T) τε καὶ Ἀζαρίας : ἀζαρίας τὲ (τὲ om. K) καὶ μισαὴλ K Ab τούτους (τούτου H) τοὺς (τοὺς om. K) : τοὺς τότε Hh **89** καὶ μετωνομάσθη : τὸ H : ἣ λέγεται Hh : ἣ καὶ μετωνομάσθη Ab : fort. scrib. ἣ μετωνομάσθη (cf. Hh et Ab) Δυρράχιον : δυρ- T : διρρ- H **89–cap. 44.20** Ἰωακεὶμ (post Ἰωακεὶμ add. δέ T) – Ἄδερ : Hh (118v, col. 1, l. 22–123r, col. 1, l. 30) ~ Georg. Mon. 245.13–256.6 (τότε – δίκαια) **89** ἰεχωνίας H **90** τὸν καὶ Ἰωακεὶμ om. P H μῆνας γ' om. Ab **90–94** πολιορκοῦντι (πολιορκοῦντος P) – πολλοῖς : ἀγνωμονήσαντος δὲ αὐτοῦ περὶ τοὺς φόρους· τῶ δεκάτω ἔτη αὐτοῦ, ἀνῆλθεν ναβουχοδονόσωρ καὶ ἔλαβεν αὐτὸν μετὰ τῆς μητρὸς καὶ τῶν ἐν ἰερουσαλὴμ ἀρχόντων καὶ δυνατῶν Ab (sim. exhib. C f. 10v, l. 3–5) **91** τῷ Ναβουχοδονόσορ ἐν ἔτει ὀγδόῳ : τοῦ ναβουχοδονόσορ ἐν ἔτει ὀγδόω P K : ἔτει ὀγδόω τοῦ ναβουχοδονόσωρ H ἑαυτοῦ T H K : non adhib. C Ab **92** ὁ om. C P H K σὺν Ἐσθᾷ : συνεσθὰ T : σὺν ἐσθά H **93** ναβουχονόσωρ H ἐδαφιεῖ T **94** τούτους – πολλοῖς : τοὺς τοῦ ἰωακεὶμ πάντας σὺν αὐτῷ αἰχμαλώτους ἀπάγει H **95** post Ἰεζεκιήλ (ἰεζεκιὴλ Ab) add. καὶ κατήγαγεν ἐν βαβυλῶνι καὶ ἐμφρουρίους ἐποίησεν, μέχρι τῆς αὐτοῦ ζωῆς Ab ἀντ' αὐτοῦ : ἀντὶ τούτου Ab **97** post ὅρκους add. παρ' αὐτοῦ P H K περὶ om. H post κομισάμενος exhib. Ab cap. 45, § 2–6 **98–101** συνάγεται (συνάγαγε T) – ,δωοβ' om. Ab **98** post ἀπὸ add. τοῦ C H πρῶτος T ὀλυπιάδος T

μέχρι τῆσδε τῆς μετοικεσίας ἔτη ρμδ', ἀπὸ δὲ Σαούλ, τοῦ πρώτου βασιλεύοντος Ἑβραίων, ἔτη υς', ἀπὸ δὲ τῆς τελευτῆς Ἰησοῦ τοῦ Ναυῆ ἔτη ,αρ', ἀπὸ δὲ Νῶε καὶ τοῦ κατακλυσμοῦ ἔτη ,βχι', ἀπὸ δὲ Ἀδὰμ ἔτη ,δωοβ'.

43

Φυλαττομένης δὲ ἡμῖν τῆς τῶν χρόνων ἀκολουθίας διὰ τῆς τῶν ἐκ Δαυὶδ ἡγεμονίας οὐκ ἄτοπον οἶμαι τῶν ἐπὶ Σαμάρειαν ἡγησαμένων ἐν παρεξόδῳ τοὺς χρόνους ἐπιδραμεῖν. **2** τελευτήσαντος τοῦ βασιλέως Σολομῶντος Ῥοβοὰμ ὁ τούτου παῖς ἀνέρχεται εἰς Σίκιμα (ἐκεῖ γὰρ ὁ λαὸς συνήθροιστο), ὥστε καταστῆναι ὑπ' αὐτῶν βασιλεύς. **3** μέλλοντι δὲ αὐτῷ χρίεσθαι προσῆλθεν ὁ λαὸς παρακαλῶν ἀπὸ τοῦ πλήθους κουφισθῆναι τῶν τελεσμάτων, ὧν ὁ πατὴρ αὐτοῦ Σολομῶν ἐφορολόγει τὸν λαόν. ὁ δὲ τρεῖς ἡμέρας πρὸς διάσκεψιν καὶ τὴν τοῦ δέοντος ἀπόκρισιν λαβὼν καὶ παρὰ μὲν τῶν πρεσβυτέρων ἀκούσας κουφίσαι τὸν λαόν, παρὰ δὲ τῶν ὁμηλίκων ἐπιφορτίσαι, μᾶλλον τούτοις πεισθεὶς κατὰ τὴν τρίτην ἡμέραν τὴν τῶν νεωτέρων συμβουλίαν πρὸς τὸν λαὸν ἀποκρίνεται. **4** οἱ δὲ ἀναχωροῦσιν, ἀποταξάμενοι τῇ ὑπ' αὐτῷ ἀρχῇ. καὶ αἱ μὲν δέκα φυλαὶ καθιστῶσιν ἐφ' ἑαυτῶν τὸν Ἱεροβοάμ, τὸν τοῦ Ναβὰτ καὶ Σαρίρας, γυναικὸς ἑτέρας, υἱόν, ἐκ φυλῆς ὁρμώμενον τῆς Ἐφραίμ, βασιλέα. παραμένουσι δὲ τῷ Ῥοβοὰμ ἡ τοῦ Ἰούδα καὶ τοῦ Βενιαμὶν φυλή. ἐξ ἐκείνου διαιρεθεὶς ὁ λαὸς ἰδίᾳ ἕκαστον μέρος καὶ τὸ ὄνομα καὶ τὸν τῆς βασιλείας οἶκον ἐκέκτητο, καθάπερ ἐν τοῖς ἀνωτέρω εἴρηται.

---

cap. 43, § 2: cf. Regn. III.11.43–12.1; Par. II.9.31–10.1 § 3: cf. Regn. III.12.3–21; Par. II.10.3–19 **14–15** Ἱεροβοάμ – ἑτέρας: cf. Regn. III.11.26

T[C]PH[K] Ab **cap. 43** TCPH[K] Ab

---

99 μετοἰκοισίας H ἔτη : ἔτος H ρμδ' : ρμα P : ἑκατοστὸν σαρακοστὸν πρῶτον H : ἑκατὸν σαράκοντα ἕν K post δὲ add. βασιλέως H **99–100** βασιλεύοντος (βασιλεύσαντος C P H K) Ἑβραίων : τοῖς ἑβραίοις βασιλεύσαντος H **100** υς' : υϙ T **101** ,βχι' : δισχίλια δέκα C : βχ' P H K : non adhib. Ab ἔτη alt. om. T (quod exhib. C) : non adhib. Ab **cap. 43.2** ἀκουλουθίας Ab **3** οἶμαι : ἤμαι H τῶν : τὸν T fort. ἡγεσαμένων H **4** παρόδω C § 2–4 om. C (sim. autem exhib. C (f. 9r, l. 14–29) ad cap. 41, § 3) **5** Σίκιμα : σίκυμα H : σίκημα C Ab **6** συοήθροιστο fort. T βασιλέα P **8** αὐτοῦ om. H **10** κουφισθῆναι P **11** ἐπιφορτίσαι : ἐπιβαρῦσαι H **12** *νεωτέρων* : *νεωλαίων* P : *νεολέων* H K **13** τὴν … ἀρχὴν Ab **14** ἑαυτῶν : ἑαυταῖς H : ἑαυτῶν βασιλέα K Ἱεροβοάμ : ῥοβοάμ T **15** ἑτέρας : ἑταίρας P : an scrib. χήρας (cf. Regn.)? **15–16** βασιλέως P H K **16** Ἰούδα : ἰοῦ H τοῦ alt. om. Ab βενιαμὴν H **18** ἐν τοῖς om. H post εἴρηται (i.e. ad cap. 44) add. περὶ τῶν ἐν σαμαρείᾳ βασιλευσάντων P H K

44

Ἱεροβοὰμ τοίνυν ὁ τοῦ Ναβὰτ βασιλεύει ἐν τῇ Σαμαρείᾳ ἔτη κβ'. ἐπὶ τούτου προφητεύει ὁ Σιλωνίτης. ἐπὶ αὐτοῦ Σουσακεὶμ ὁ Αἰγύπτιος στρατεύσας ἐπὶ Ἰερουσαλὴμ πάντας ἀφαιρεῖται τοῦ ναοῦ τοὺς θησαυροὺς καὶ τοὺς τοῦ βασιλέως αὐτῶν Ῥοβοάμ. **2** Ναβὰτ τὸν Ἱεροβοὰμ διαδεξάμενος ὁ υἱὸς βασιλεύει ἔτη β'. **3** Βαασά, υἱὸς Ἀχιάμ, τὸν Ναβὰτ ἀποκτείνας βασιλεύει ἐν Σαμαρείᾳ ἔτη κδ'. προφητεύει ἐπὶ τούτου Ἰούς, υἱὸς Ἀνανίου. **4** Ἤλα τὸν πατέρα Βαασὰ διαδεξάμενος βασιλεύει ἔτη β'. **5** Ζαμβρῆ, ὁ τῶν ἁρμάτων τὴν ἡγεμονίαν ὑπὸ τοῦ Ἤλα ἐγχειρισθείς, ἀναιρεῖ τοῦτον καὶ πάντα αὐτοῦ διαφθείρας τὸν οἶκον βασιλεύει μῆνας ζ'. **6** Ζαμβρῆ, ὁ τῆς στρατηγίας ἡγεμών, τῷ Ζαμβρῇ βασιλεύοντι ἐπανίσταται. ὡς δὲ πολλοῖς ἐδόκει κατὰ κράτος νικᾶν, πυρὶ τὰ ἑαυτοῦ ὑφάψας ὁ Ζαμβρῆ συναπόλλυται. στασιάζοντος δὲ τοῦ Ἰσραὴλ περὶ βασιλέως καὶ τοῦτον μὲν ἐνίων αἱρουμένων, ἑτέρων δὲ Θαμνῆ, υἱὸν Γονάθ, καὶ τῶν τοῦ Ζαμβρῆ κρατησάντων, βασιλεύει ἐπὶ Σαμαρείᾳ ἔτη ιβ'. **7** Ἀχαὰβ τὸν πατέρα Ζαμβρῆ διαδεξάμενος βασιλεύει ἔτη κβ'. τοῦτον Ἰεζάβελ ἡ γυνὴ (θυγάτηρ δὲ ἦν αὕτη Εἰσβαάλ, βασιλέως Σιδωνίων) τὴν

---

§ 1: cf. Regn. III.14.20; 14.25–26; Georg. Mon. 251.12–17 (**2** Ἱεροβοὰμ – κβ') § 2: cf. Regn. III.15.25; Georg. Mon. 252.6–8 § 3: cf. Regn. III.15.27–28; 33; 16.7; Georg. Mon. 252.10–12 (**6–7** Βαασά – κδ') § 4: cf. Regn. III.16.8–10; 15; Georg. Mon. 252.14–16 § 5–6: cf. Regn. III.16.16–18; 21; Georg. Mon. 252.18–20 § 7: cf. Regn. III.16.29; 31; 34; 18.4; 19.16; Georg. Mon. 252.22sqq.

TCPH[K] Ab

---

2 ἱεροβοὰμ T τῇ om. C post κβ' add. καθὼς ἀνωτέρω ἐπὶ ῥοβοὰμ υἱοῦ σολομῶντος, λεπτομερῶς ἱστορήκαμεν C **3** προφητεύει : βασιλεύει (s.l. m^2 (?) προφητεύει) ἀχιὰ^μ C : ἀχιᾶ προφητεύει Ab σιλονίτης T **3–5** ἐπὶ – Ῥοβοάμ om. C **3** Σουσακεὶμ (-ὶμ Ab) : σουλακεὶμ P H K **5** Ῥοβοάμ : ἱεροβοὰμ P τὸν Ἱεροβοὰμ : ἱεροβοὰμ τὸν πατέρα C **6** ὁ υἱὸς (ὁ υἱὸς om. H) post Ναβὰτ (**l. 5**) exhib. C post βασιλεύει add. ἐν Σαμαρείᾳ C (cf. § 3) post Βαασά (βασαὰ C : βασὰ Ab) add. ὁ P H K Ab Ἀχιάμ (Αχια Regn.) : ἀχεὶμ T : ἐχεὶμ P H K **7** ἐν Σαμαρείᾳ om. C (cf. § 2) **7–8** προφητεύει (post προφητεύει add. δὲ H K) – Ἀνανίου om. Ab **7** τούτοις P H K Ἰούς : ἰοῦς C P : υἱούς K : om. H **8** Ἤλα : ἵλα T : ἰλλὰ C : ἡλὰ Ab Βαασὰ (βασαὰ C) διαδεξάμενος : διαδεξάμενος βαασὰ (βασὰ K) P K : διαδεξάμενος H **9** Ζαμβρῆ : ζαμβρὴ T C : ζαμβρὶ Ab Ἤλα : ἰλλὰ C : ἡλὰ Ab **10–15** μῆνας (ἡμέρας sec. Regn. III.16.15) – Σαμαρείᾳ om. Ab **11** Ζαμβρῆ (pr.) : ζαμβρὴ C στρατηγίας : στρατείας P (sic fort. P ac m^2 in στρατήας) K : στρατίας H Ζαμβρῇ (alt.) : βαμβρῆ P K : γαμβρῆ H **12** δὲ : δ' ἐν P H K **13** post Ζαμβρῆ (ζαμβρή C) add. τούτοις (τούτων P) P H K **14** τοῦτον : τοῦ T : non adhib. Hh Ab ἕτερον H θαμνὴ T C Γονάθ : νάθ H **15** ζαμβρὴ C post βασιλεύει add. ζαμβρὴ C σαμάρειαν C P H (σαμαρείαν H) K : non adhib. Hh Ab **16** αχαὰβ Ab Ζαμβρῆ : ζαμβρὴ C : ζαμβρὶ Ab **16–20** τοῦτον – Ἄδερ : τούτου γυνὴ ἰεζάβελ· αὕτη πασῶν γυναικῶν ἀσεβεστέρα ὑπάρχουσα, τοὺς προφήτας ἐδίωκεν Ab **16–17** τοῦτον – γυνὴ : τούτω δὲ ἦν γυνὴ ἰεζάβελ C (cf. Ab) **17** ἡ ἐζάβελ T Εἰσβαάλ : ἰσβαάλ C : εἰσβάαλ P H K : non adhib. Ab βασιλέα P post Σιδωνίων (σιδονίων T) add. ἥτις C

θεοσέβειαν ἠπάτησεν ἐξορχήσασθαι. Μιχαίας ὁ προφήτης ἦν ἐπὶ Ἀχαὰβ διαδησάμενος τὴν κεφαλὴν τελαμῶνι καὶ ὀνειδίσας αὐτὸν διὰ τὸν Ἄδερ. κατὰ τοῦτον τὸν καιρὸν συμβαίνει κτισθῆναι τὴν Ἱεριχῶ. κτίζει δὲ αὐτὴν Ἄχαρ ἀπὸ Βεθήλ, ἐν τῇ θέσει τοῦ θεμελίου Ἀβειρὼν τὸν πρωτότοκον ἀποβαλὼν υἱόν, κατὰ τὴν τοῦ Ἰησοῦ χρησμῳδίαν, Σεγοὺρ δὲ τὸν *νεώτερον* ἐπὶ συντελείᾳ τῆς πόλεως. ἐπὶ τούτου προφητεύουσιν Ἡλίας καὶ Ἀβδιοῦ. κρυπτόμενος δὲ ἀεὶ Ἀβδιοῦ διετέλει καὶ τοὺς ἄλλους ἀποκρύπτων προφήτας, τὴν Ἰεζάβελ δεδιὼς ἐπιβουλήν. χρίει δὲ ἐπὶ τέλει ὁ Ἡλίας τὸν Ἐλισσαῖον εἰς προφήτην. ἐπροεφήτευεν δὲ ἔτι καὶ Μιχαίας. **8** Ὀχοζίας τὸν Ἀχαὰβ διαδεξάμενος ὁ υἱὸς ἐβασίλευσεν ἔτη δύο. καὶ ἐπὶ τούτου προφητεύουσιν Ἡλίας καὶ Ἐλισσαῖος. **9** Ἰωρὰν ὁ τούτου ἀδελφὸς διαδεξάμενος τὴν ἀρχὴν βασιλεύει ἔτη ιβʹ. ἐπ᾽ αὐτοῦ Ἡλίας ἀνελήφθη ἀπὸ τῆς γῆς. ἐπὶ τούτου λιμώξαντες οἱ κατ᾽ ἐκείνην τὴν περίμετρον, τὰ ἴδια σφάξαντες τέκνα τῶν σαρκῶν ἀπεγεύσαντο καὶ ἐν κόπρῳ περιστερᾶς ἀντὶ ἁλὸς ἀποβαπτόμενοι ἐχρῶντο. **10** Ἰούς, υἱὸς Σαφὰτ τοῦ Ναμεσῆ, ὑπὸ Ἐλισσαίου χρισθεὶς εἰς βασιλέα ἐπὶ Σαμαρείας πάντα τοῦ Ἀχαὰβ ἐτιμωρήσατο τὸν οἶκον· αὐτὸν μὲν γὰρ τὸν βασιλέα

---

27 Ὀχοζίας – δύο: cf. Regn. III.22.40; 52; Georg. Mon. 256.8–11 **28–29** Ἰωρὰν – ιβʹ: cf. Regn. IV.1.17; 3.1; 2.1–14; Georg. Mon. 256.13–15 **29–32** ἐπ᾽ – ἐχρῶντο: cf. Regn. IV.6.24–29; Georg. Mon. 256.17sqq. § 10: cf. Regn. IV.9.1–8; 24; 33–36; 10.6–8; 19–28; 36; Georg. Mon. 260.2–21

TCPH[K] Ab **20** a κατὰ TCPH[K]Hh Ab **23** ab ἐπὶ alt. TCPH[K] Ab

---

18 post ἐξορχήσασθαι (ἐξορχίσασθαι H) add. ὡς φησὶν ἰώσηπος ἐν ἀρχαιολογία C μηχαίας T **19** post Ἀχαὰβ add. ὃς C καὶ ὀνειδίσας : ὠνείδισεν C **20** ἅδερ T κατὰ – καιρὸν : ἐπὶ τοῦτο Hh συνέβη Hh Ἱεριχῶ : ἰεριχῶ T : ἱεριχώ C P : ἱερυχῶ H **21** αὐτὴν : ταύτην P H K βαιθὴλ C P H K Ἀβειρὼν : ἀνείρων Hh : ἀβειρῶν Ab **22** ὑποβαλὼν C υἱὸν ἀποβαλὼν H Hh τοῦ om. C Hh post χρησμῳδίαν add. τὴν λέγουσαν· μηκέτι εἰς τὸ παλαιὸν θεμέλιον κτισθῆναι τὴν ἱεριχώ C **22–23** Σεγοὺρ (σὲ γοῦρ T : σαγοὺρ H : σὲ γὰρ Hh) – πόλεως ante κατὰ transp. C **23** post *νεώτερον* add. υἱόν Hh **23–cap. 48.2** ἐπὶ alt. – ἀριθμεῖν : Hh (123r, col. 2, l. 9–138v, col. 2, l. 11) ~ Georg. Mon. 256.7–293.12 (– μονάρχης (μόναρχος Hh)) **24** Ἀβδιοῦ pr. : ἀβδίου T : ἀβδϊού C post ἀεὶ (ἀεὶ om. C) add. ὁ Ab ἀβδιοὺ (alt.) C καὶ τοὺς ἄλλους post ἀποκρύπτων (**l. 25**) transp. C **25** post τὴν add. ἐξ C P H K ἱεζάβελ K Ab post ἐπιβουλήν add. οὗτος δὲ ὁ ἀβδϊοὺ ἦν ὁ τρίτος πεντηκόνταρχος· οὗ ἐφείσατο ἠλίας. καὶ κατέβη μετ᾽ αὐτοῦ πρὸς ὀχοζίαν, μετὰ ταῦτα ἀπολιπὼν τὴν λειτουργίαν τοῦ βασιλέως C **26–27** ἐπροεφήτευεν (προεφήτευε C P H K) – Μιχαίας om. Ab **26** ἔτι : ἔτη P **27** Ὀχοζίας : ὁ χουζίας T τὸν – υἱὸς (υἱὸς αὐτοῦ P H K) : ὁ υἱὸς τοῦ ἀχαὰβ τὸν πατέρα διαδεξάμενος C δύο : ιβ T **28** Ἰωρὰν : ἰωρᾶν C : ἰώραμ Ab (Ιωραμ Regn.) **29** ἐπὶ Ab **30** ἀνελείφθει T post γῆς add. καὶ μιχαίας ὁ προφήτης κρημνωθεὶς ἀνηρέθη· ἐλέγχων αὐτὸν ἐπὶ ταῖς ἀσεβείαις τῶν πατέρων αὐτοῦ C τούτου : τοῦτο H **31** περίμετρον : περίχωρον P H K τέκνα σφάξαντες H **32** post ἐχρῶντο add. ὡς ὑάκρέη H Ἰούς (sine spir. T) : ἰοῦς C P : υἱοὺς K : ἰοῦ Ab (Ιου Regn.) ὁ υἱὸς C **32–33** υἱὸς Σαφὰτ (ex haplographia) : scrib. υἱὸς ⟨Ἰω⟩σαφάτ **33** Ναμεσῆ : τανεμεσῆ H : ναμεσσὶ Ab (Ναμεσσι Regn.) ἐλισσαίου T post Σαμαρείας add. βασιλεύει ἔτη εἰκοσιοκτώ· καὶ C

Ἰωρὰν κατατοξεύσας ἀναιρεῖ εὑρὼν θεραπευόμενον τὰ τραύματα· κρημνῷ δὲ Ἰεζάβελ τὴν τούτου διαχειρίζεται μητέρα καὶ ο' τοῦ Ἀχαὰβ υἱοὺς διαχειρισάμενος προὔθηκεν αὐτῶν ἐπὶ τὰς διεξόδους τὰς κεφαλάς. ἔπειτα συναγαγὼν ἅπαντας τοὺς τῆς Βαὰλ προφήτας καὶ ἱερεῖς καὶ δήμους δημοτελῆ θυσίαν ἐπιτελεῖν προσποιησάμενος πάντας ὑφ' ἓν ἀποσφάττει καὶ τὸ εἰδωλεῖον κατασκάπτει καὶ καθίστησιν αὐτὸ λύτρωμα. ἐβασίλευσε δὲ ἔτη κη'. ἐπροεφήτευε δὲ ἔτι καὶ ἐπὶ τούτου Ἐλισσαῖος. **11** Ἰωάχας τὸν πατέρα Ἰοῦ διαδεξάμενος βασιλεύει ἔτη ιζ'. ἔτι καὶ ἐπὶ τούτου Ἐλισσαῖος προεφήτευε, καὶ ἐτελεύτησεν. **12** Ἰωάς, υἱὸς Ἰάχαζ, βασιλεύει μετ' αὐτὸν ἔτη ις'. **13** Ἱεροβοὰμ τὸν Ἰωὰς διαδεξάμενος ὁ υἱὸς ἐβασίλευσεν ἔτη μα'. ἐπροεφήτευον δὲ ἐπ' αὐτοῦ Ἰωνὰς καὶ Ἀμῶς. **14** Ζαχαρίας τὸν πατέρα Ἱεροβοὰμ διαδεξάμενος ἐβασίλευσεν μῆνας ἕξ. **15** Σελοὺμ τὸν Ζαχαρίαν ἀνελὼν ἐβασίλευσεν μῆνα ἕνα. **16** Μαναεὶμ τῷ Σελοὺμ ἐπαναστὰς ὁ τοῦ Γαδῆ ἐβασίλευσεν ἔτη ι'. οὗτος

---

§ 11: cf. Regn. IV.13.1; 14–20; Georg. Mon. 261.2–4; 261.8–10 § 12: cf. Regn. IV.13.10; Georg. Mon. 261.6–7 **44–45** Ἱεροβοὰμ – μα': cf. Regn. IV.14.23; Georg. Mon. 261.20–22 § 14: cf. Regn. IV.15.8; Georg. Mon. 261.24–262.2 § 15: cf. Regn. IV.15.10; Georg. Mon. 262.4–6 § 16: cf. Regn. IV.15.14; 16–17; Georg. Mon. 262.8–10

TCPH[K] Ab

---

35 Ἰωρὰν : ἰωρὰμ T : ἰωρᾶν C : ἰώραμ Ab (cf. supra) κατατοξεύσας – τραύματα : ἀναιρεῖ μετὰ καὶ ὀχοζίου βασιλέως ἱερουσαλὴμ· ἐν τῇ μερίδι ναβουθαὶ τοῦ ἰσραηλίτου ὅπου αὐτῷ ὑπήντησαν C τὰ om. H **36** Ἰεζάβελ : ἡ ἐζάβελ T : ἰεζάβελ Ab **37** ἑαυτῶν H ἐπὶ τὰς διεξόδους (τῆς διεξόδου Ab) post κεφαλάς transp. C **38** τῆς Βαὰλ : τῆς βάαλ C (accentus sic ut vid. C) P H K : τοῦ Βάαλ Bekker (vide introd. III.3.1.1) καὶ pr. om. C **40** αὐτὸν T **41** λύτρωμα : λυτρῶνα Bekker, ut vid. recte (sic Regn.) **41–42** ἐβασίλευσε – Ἐλισσαῖος : διὸ καὶ εἶπε κύριος ὁ θεὸς πρὸς ἑαυτόν· ἀνθ' ὧν ἐποίησας πάντα τὰ ἐν τῇ καρδία μου τῶ οἴκω ἀχαὰβ, υἱοί σου τέταρτοι καθίσονται ἐπὶ θρόνου ἰσραὴλ C **41** ἐπροεφήτευε : προεφήτευε H K Ab : ἐπροεφήτευσε P : non adhib. C **42** Ἰωάχας : ἰωάχαζ P H : ἰώχαζ K ἰοῦδα P K **42–43** ἔτι – ἐτελεύτησεν : ἐπὶ τούτου ἐλισσαῖος ὁ προφήτης ἐτελεύτησεν C Ab **43** προεφήτευε : ἐπροεφήτευε P H : non adhib. C Ab post ἐτελεύτησεν (ἐτετέλευσεν H) add. ἐν δὲ τῶ μνήματι αὐτοῦ μονόζωνοι μωαβιτῶν νεκρῶν ἔρριψαν· ὃς τῶν ὀστῶν τοῦ μακαρίου προφήτου ἁψάμενος, ἔζησε καὶ ἀνέστη ἐπὶ τοὺς πόδας αὐτοῦ C Ἰωάς : ἰωὰς ὁ C : ἰώας ὁ Ab **44** Ἰάχαζ : ἄχαζ H K : ἰωάχας C Ab recte post τὸν add. πατέρα C Ἰωὰς : ἱωὰς T : ἰώαν Ab **45** ὁ υἱὸς om. C ἔτος H μβ Ab ἐπροεφήτευον : προεφήτευον C Ab δὲ om. T H K, fort. recte post αὐτοῦ add. ὡσηὲ Ab Ἰωνὰς : ἰωνᾶς C P H Ab **46** post Ἀμῶς (ἀμμώς H Ab : ἀμώς C P K) add. ὁ δὲ ἰωνᾶς υἱὸς ἦν τῆς χήρας. ὃν ἀνέστησεν ἠλίας ἔτι παιδίον ὄντα. ὁ ἐκβρασθεὶς ἐκ τοῦ κήτους. καὶ κηρύξας εἰς νινευὶ τὴν πόλιν τῶν ἀσυρίων C Ζαχαρίας : Ἀχαρίας apud Georg. Mon. ἱεροβοὰμ T **47** μῆνας – ἐβασίλευσεν om. H post ἕξ add. ἥμισυ C Σελοὺμ : σελλοὺμ T (sic Regn.) μῆνα ἕνα (ἕν H) (sec. Regn.) : ἔτος α Ab **48** Μαναεὶμ : μαναΐμ C : μανιεὶμ T (Μαναημ Regn.) τῷ Σελοὺμ (σελλοὺμ T) ἐπαναστὰς ὁ τοῦ Γαδῆ (γαδὶ C Ab (Γαδδι Regn.)) : ὁ τοῦ γαδῆ (γαδὴ T : γαδδὴ H) τῷ (τῷ om. P H K) τὸν σελοὺμ ἐπαναστὰς P H K

μὴ δεξαμένου αὐτὸν τοὺς ἐν Θερσᾷ χειρωσάμενος ἀναιρεῖ καὶ τὰς ἐν γαστρὶ ἐχούσας διαρρήσσει. **17** Φαλκίας ὁ τοῦ Μαναεὶμ υἱὸς τὸν πατέρα διαδεξάμενος ἐβασίλευσεν ἔτη β'. **18** Φακεὲ ὁ τοῦ Ῥομελίου τὸν Φαλκίαν ἀνελὼν ἐβασίλευσεν ἔτη κ'. ἐπὶ τούτου Θεγλαφαλασάρ, ὁ Ἀσσυρίων βασιλεύς, εἰς τὴν Ἰουδαίαν ἐπιστρατεύσας τὰ πλεῖστα τῆς γῆς αὐτῶν σφετερίζεται. **19** Ὠσηὲ μετὰ τὸν Φακεέ, ὁ τοῦ Ἤλα, βασιλεύει ἔτη θ'. ἐπὶ τούτου Σαλμανασάρ, βασιλεὺς Ἀσσυρίων, ἐπιστὰς τῆς Σαμαρείας αὐτόν τε ἀπάγει αἰχμάλωτον καὶ πάντα σὺν αὐτῷ τὸν Ἰσραὴλ καὶ κατοικίζει αὐτοὺς ἐν Ἀλαὲ καὶ Ἀβώρ, μηδικαῖς πόλεσιν, καὶ ἐπὶ ποταμῷ Γοζάν, ἔνθα τῆς εἰς Θεὸν παραβάσεως δίκας ἐκτίνουσι κακουχούμενοι. ὁ δὲ Ἀσσύριος Βαβυλωνίους ἐν Σαμαρείᾳ πεμψάμενος ἄνδρας αἰσχρῶς καὶ ἀνόμως βεβιωκότας οἰκεῖν αὐτόθι ἐκέλευσε. τούτους ὁ Θεὸς λέοντας ἐπαποστέλλων διέφθειρε. πυθόμενος δὲ ὁ βάρβαρος καὶ συνεὶς ἐπὶ τῆς γῆς δέον ἐκείνης τὴν κατὰ νόμον Θεῷ λατρείαν ἐπιτελεῖσθαι, ἕνα τῶν ἱερέων ἐξαποστείλας τὰ νομιζόμενα αὐτόθι ποιεῖν ἐκέλευσεν. ὁ δὲ καταμένων ἐν Βεθὴλ τόν τε νόμον αὐτοὺς ἐξεπαίδευσεν καὶ τὸν Θεὸν σέβεσθαι ἐδίδασκε· καὶ οὕτως ἐξ ἐκείνου συμβαίνει τὴν γῆν ἐκ τῶν λεόντων ἠρεμῆσαι. τούτους εἰς ἔτι Σαμαρείτας ἀπὸ τῆς χώρας προσαγορεύουσι, διὸ καὶ ἀλλόκοτοι τὰς προαιρέσεις. διὰ δὲ τὴν τοῦ νόμου διδασκαλίαν βραχεῖαν ἔχουσι θεοσεβείας ἔμφασιν· καὶ γὰρ οὐδὲ τῆς Δεκαλόγου πλεῖον παραλαβεῖν ἠξιώθησαν. **20** ἐνταῦθα τῆς ἰσραηλιτικῆς βασιλείας οἱ χρόνοι κατέληξαν εἰς ἔτη τγ' καὶ μῆνας ζ', ἀρξάμενοι μὲν ἀπὸ Ἱεροβοὰμ τοῦ Ναβάτ,

---

§ 17: cf. Regn. IV.15.23; Georg. Mon. 262.12–14 § 18: cf. Regn. IV.15.25; 27; 29; Georg. Mon. 262.16–18 (**51–52** Φακεὲ – κ') § 19: cf. Regn. IV.15.30; 17.1; 3sqq.; 24–28; 34; Georg. Mon. 262.22sqq. § 20: cf. Georg. Mon. 264.10–16

TCPH[K] Ab

---

49 μὴ δεξαμένου (δεξάμενος P H K : δεξαμένους ut vid. scrib. sec. C Ab) αὐτὸν τοὺς ἐν Θερσᾷ (θεσσᾷ P : θησᾶ H : θεισᾶ K) : τοὺς μὴ δεξαμένους αὐτὸν ἐν θερσᾶ C : τοὺς ἐν θερσᾶ μὴ δεξαμένους αὐτὸν Ab **50** διαρρήσσει : διαρρήσει T H K : διαρήσσει P Ab Φαλκίας (φαλκείς H) : fort. scrib. Φακεΐας sec. Regn. : Φακεσίας Georg. Mon. μαναΐμ C **51** ἐβασίλευσεν : ἐφασίλευσεν H post β' add. ἐν ἄλλω ι Ab ῥωμελίου C H K **52** Θεγλαφαλασάρ : θειλαφαλασάρ T : θεγλαφαραγάρ H : θεγλαφαρασάρ K : θεγλαφθαλμανασσὰρ Ab ἀσυρίων C P **54** ὡσιὲ T Ἤλα : ἵλα T : ἰλλά C : ηλᾶ Ab **55** σαλμανασαρ Ab ἀσυρίων P C τῆς Σαμαρείας : τῆ σαμαρεία C Ab **56** post τε add. ὡσηὲ C κατοικίζειν T **57** post αὐτοὺς add. εἰς ἀσυρίαν C λαὲ H ἀβὸρ T C ποταμὸν T Γοζάν : γοζᾶν T P : χεζάν C **58** ἐκτίνουσι (-*ννουσι* C) : ἐκτείνουσι H : ἐκτινύουσι Ab κακωχούμενοι T Ἀσσύριος : ἀσύριος P : ἀσυρίους καὶ C **59** ἐν Σαμαρείᾳ (σαμαρεί ut vid. H) : εἰς τὴν σαμάρειαν Ab διαπεμψάμενος Ab **61** πειθόμενος H **62** post νόμον add. τῶ Ab **63** Βεθὴλ : βαιθὴλ C P H K **64** post τόν τε add. τόν P ἐδίδασκε : ἐδίδαξε C K[ac] **65** ἐκείνους T ἐκ τῶν λεόντων om. Ab ἠρεμῆσαι : ἡσυχάσαι Ab **68** τῆς : τοῖς H παραλαλαβεῖν H **70** εἰς – ζ' om. Ab τγ' : τριακοντατρία H ἀρξόμενοι T Ἱεροβοὰμ (ἱεροβοὰν T) τοῦ om. H **70–71** Ναβάτ, καταλήξαντες : κατέληξαν C

καταλήξαντες δὲ εἰς Ὠσηέ, τὸν τοῦ Ἴλα, καὶ τὴν ὑπὸ Σαλμανασὰρ τοῦ Ἰσραὴλ μετοικεσίαν ἀπὸ Σαμαρείας εἰς Μηδίαν. ἤκμαζε δὲ καὶ ἡ προκειμένη τῶν ἐκ Δαυὶδ βασιλεία, τὴν μὲν ἀρχὴν ἀπὸ τοῦ δεκάτου τῆς τοῦ Σαοὺλ ἔχουσα μοναρχίας, καταλήξασα δὲ ἐπὶ τὸν τριμηναῖον Ἰωακείμ. καὶ τὸν λαὸν Ἰούδα πορθήσας μετῴκισεν εἰς Βαβυλῶνα.

45 Ὅπως ἀριθμοῦνται τὰ ο' τῆς αἰχμαλωσίας ἔτη

Ἀκόλουθον λοιπὸν ἐπιδραμεῖν τοὺς ἐν τοῖς ο' τῆς αἰχμαλωσίας ἔτεσιν ἡγησαμένους. ἄχρι τούτου τοῦ τελευταίου Ἰωακεὶμ συνάγονται ἀπὸ Ἀδὰμ ἔτη δωοβ'. λοιπὸν οὖν τοὺς ἐφεξῆς χρόνους ἀπὸ τοῦ πρώτου ἔτους Σεδεκίου δεῖ ψηφίζειν. **2** ἐκπορθήσας ὁ Ναβουχοδονόσορ τὰ Ἱεροσόλυμα καὶ τὸν μὲν Ἰωακεὶμ εἰς Βαβυλῶνα σὺν τοῖς ἄλλοις ἀπαγαγών, Μανθανίαν δὲ τὸν τούτου ἀδελφὸν τῶν ἐπιλοίπων βασιλέα καταστήσας, ὃν καὶ Σεδεκίαν μετωνόμασεν, ἐπὶ τῆς οἰκείας γῆς μεθ' ἡσυχίας μένειν ἐδίδου κομιζόμενος ἀπὸ τοῦ Σεδεκίου τὰς ἐτησίους ἀποφοράς. **3** ἐπ' ἐννέα μὲν ἔτη τούτου τὰ τέλη παραπέμποντος ἡσύχασεν ὁ Ἰσραήλ. κατὰ δὲ τοῦτον ὁ Σεδεκίας τὸν ἐνιαυτὸν ἀποστὰς καὶ πάσῃ τὸν Θεὸν καὶ

---

§ 3: cf. Regn. IV.25.1–11

TCPH[K] Ab

---

71 Ὠσηέ : ὡσηέ T : ὠσιὲ Ab Ἴλα : ἵλα T : ἰλλά C : ἡλᾶ Ab **72** Μηδίαν : μήδειαν P : μὴδϊαν H ἤκμασεν Ab **72–73** προκειμένη : vide introd. III.3.1.1 **73** τῶν : τὸν T : τοῖς P H K βασιλεία (sic ut vid. C) : βασιλέα T : βασιλέως P : βασιλεῦσιν H K τοῦ δεκάτου τῆς τοῦ om. Ab δεκάτου : an scrib. δεκάτου ⟨ἔτους⟩? (cf. Ab in app. ad cap. 45, § 2) **74** ἔχουσα : λαβοῦσα Ab : om. T μοναρχίας om. Ab καταλήξασασα P δὲ om. P H K τριμηναῖον : τριμηνιαῖον C H : om. Ab **75–cap. 45.5** καὶ – ψηφίζειν om. Ab **75** καὶ τὸν λαὸν Ἰούδα πορθήσας (fort. scrib. ⟨ὁ Ναβουχοδονόσορ⟩ vel sim.) : καὶ τὸν λαὸν ἰούδα· οὓς πορθήσας ὁ ναβουχοδονόσορ C : τοῦτον γὰρ ὁ ναβουχοδονόσορ ἰούδα (ἰουδαίαν H) πορθήσας P H K : non adhib. Ab **cap. 45.1** de titulo vide introd. III.3.2, p. 111*sq. ἀριθμῶνται C ἔτη τῆς αἰχμαλωσίας P H K **2** τοὺς : τοῖς T P : non adhib. Ab **3** ἡγησαμένοις P τούτου om. H **4** ἑξῆς H K **5** post ψηφίζειν add. μέχρι τοῦ πρώτου ἔτους κύρου βασιλέως περσῶν C **5–8** ἐκπορθήσας – μετωνόμασεν : ἀγνωμονήσαντος δὲ αὐτοῦ περὶ τοὺς φόρους· τῶ δεκάτω ἔτη αὐτοῦ, ἀνῆλθεν ναβουχοδονόσωρ' καὶ ἔλαβεν αὐτὸν μετὰ τῆς μητρὸς καὶ τῶν ἐν ἱερουσαλὴμ ἀρχόντων καὶ δυνατῶν, μεθῶν ἀπήχθη καὶ ὁ προφήτης ἱεζεκιήλ· καὶ κατήγαγεν ἐν βαβυλῶνι καὶ ἐμφρουρίους ἐποίησεν, μέχρι τῆς αὐτοῦ ζωῆς· καθΐστησι δὲ ἀντὶ τούτου τῶν ὑπὸλοίπων ἡγεμῶνα τὸν μανθανίαν πατράδελφον αὐτοῦ, σεδεκίαν αὐτὸν μετ'ὀνομάσας· ὅρκους κατὰ τοῦ θεοῦ περὶ τοῦ μὴ ἀποστῆναι κομισάμενος· ὅθεν Ab (f. 41^{v}, l. 20) **6** μὲν om. P H K **8** κατωνόμασεν P **10** ἐπὶ Ab μὲν : δὲ Ab ἡσύχαζεν Ab

τὸν βασιλέα παραλογισάμενος ἀγνωμοσύνῃ παρορμᾷ πάλιν κατὰ τῶν Ἱεροσολύμων τὸν Ναβουχοδονόσορ. **4** ὁ δὲ τὴν πόλιν δευτέρῳ πολιορκῶν ἔτει χειροῦται καὶ τὸν ναὸν ἐμπιπρᾷ καὶ τοῦ Σεδεκίου κατ᾽ ὄψιν ἀνεῖλε τοὺς παῖδας κἀκεῖνον ἐκτυφλώσας καὶ πέδαις περιβαλὼν ἅμα παντὶ τῷ λαῷ κατάγει εἰς Βαβυλῶνα, Γοθολίαν τῶν ἐπιλοίπων ἡγεμόνα καταστήσας, υἱὸν Ἀχικάν. **5** καὶ τοῦτον μὲν οἱ δυνατοὶ τῶν αὐτόθι κατέλιπον καὶ ἀνελόντες ἀναχωροῦσι, δεδιότες τοὺς Χαλδαίους ἀπάραντες εἰς Αἴγυπτον, ἔνθα μετ᾽ οὐ πολὺ διαφθείρονται ζηλωταὶ τῆς αἰγυπτιακῆς γενόμενοι δεισιδαιμονίας. **6** Σεδεκίας δὲ ἀπάγεται τὰ πάντα βασιλεύσας ἔτη ια'. ἦν ἀρχιερεὺς ἐπ᾽ αὐτοὺς Ἀρέας, καὶ προεφήτευον ἐν μὲν τῇ Ἰουδαίᾳ Ἱερεμίας, ἐν δὲ τῇ Βαβυλῶνι Δανιήλ· κατὰ δὲ τὸ δεύτερον τῆς αἰχμαλωσίας καὶ τῆς Σεδεκίου βασιλείας ἔτος ἐμήνυσε καὶ διέκρινε τὸ ἐνύπνιον τῷ Ναβουχοδονόσορ. ὁ δὲ Ἰεζεκιὴλ κατὰ τὸ πέμπτον αὐτῶν ἔτος προεφήτευεν. ἔπειτα προφητεύει Ναοὺμ καὶ Μαλαχίας. **7** τοῦ Σεδεκίου τελευτήσαντος ἐν Βαβυλῶνι εἰς τὸν ἐπίλοιπον τῆς ἑβδομηκονταετίας χρόνον, μετὰ τὰ ια' ἔτη τῆς τοῦ Σεδεκίου βασιλείας, ἤρξαντο οἱ ὑποτεταγμένοι. **8** οὗτος ὁ Ναβουχοδονόσορ τρίτον

16–17 Γοθολίαν – Ἀχικάν: cf. Regn. IV.25.23–25 § 6: cf. Regn. IV.24.18; Par. II.36.11; Dan. 2.16–45; 4.5–24 § 8: cf. Regn. IV.25.1sqq.; Par. II.36.10–20; Dan. 1.1–6

TCPH[K] Ab

---

12 παραλογισάμενος : ἀποσεισάμενος C **13** post Ναβουχοδονόσορ (-ωρ Ab) add. προφητεύσαντος δὲ ἱερεμίου τὴν ἅλωσιν τῆς πόλεως· δέσμιος ἐβλήθη ἐν λάκκω ὑπὸ σεδεκίου· μετὰ δὲ χρόνον τῶν δεσμῶν ἀφεθεὶς, λαβὼν τὸ θυσιαστήριον καὶ τὴν κιβωτὸν, τὴν τράπεζαν καὶ τὴν λυχνίαν ἐκ τοῦ ναοῦ, μελλούσης παραλαμβάνεσθαι τῆς πόλεως κατἔκρυψεν ἐν ἀδήλω τόπω, καὶ οὐκἔτι μέχρι τοῦ νῦν εὑρέθησαν Ab post δὲ add. ναβουχοδονόσωρ Ab **13–14** πολιορκῶν, χειροῦται δευτέρω ἔτει C **14–15** καὶ alt. – τοὺς : τούς τε σεδεκίου κατ᾽ ὄψιν ἀνεῖλε Ab **15** πέδας C Ab **16** παντὶ post τῷ λαῷ transp. C γολίαν P H K **17** καταστήσας ἡγεμώνα H ἀχικᾶν C (Ἀχικαμ Regn.) τοῦτον : τοῦτο P K **17–19** τῶν – ἀπάραντες : ἀνελόντες, τὴν ἰουδαίαν κατέλιπον δεδιότες τοὺς χαλδαίους. καὶ κατῆλθον C **18** κατέλιπον (κατἔλειπων Ab) : καταλοιπόντες H ἀναχωροῦσι ante εἰς (**l. 19**) exhib. H **19** post ἀπάραντες add. ἐκεῖθεν H αἴγυπτον Ab μετ᾽ οὐ πολύ : μετ᾽ οὐ πολλοὶ H : μετουλλοί K : οὐ μετὰ πολὺ Ab διαφθείρωνται Ab **20** post δεισιδαιμονίας add. συγκατῆλθε δὲ μετὰ τοῦ λαοῦ ἐν αἰγύπτω καὶ ἱερεμίας· καὶ παρ᾽ αὐτοῦ ἐλεγχόμενοι τοῦ μὴ εἰδωλολατρεῖν, ἐλιθοβόλησαν αὐτὸν καὶ ἀποθνήσκει C **21** post ἦν add. δὲ C ἐπ᾽ αὐτοὺς : ἀπαυτοὺς P K : ἐπ᾽ αὐτοῦ Bekker Tafel : ἐπ᾽ αὐτοῖς Cramer ἠρέας H **21–22** ἐπροφήτευον T **22** δὲ alt. om. T C **23–24** ἐμήνυσε (post ἐμήνυσε add. δὲ P H K) – Ναβουχοδονόσορ om. C **25** αὐτῶν (fort. scrib. αὐτοῦ sec. C) ἔτος : ἔτος αὐτοῦ C **25–26** Ναοὺμ καὶ Μαλαχίας : μαλαχίας καὶ ναοὺμ ὁ τοῦ ἑλκεσαίου· ὃς ἐκήρυξε τὴν καταστροφὴν τῆς νινευί· τῆς πορθηθείσης παρὰ ναβουχοδονόσορ καὶ ἀσουήρου· καθὼς ἐν βίβλω λόγων τῶ βὴτ ἀναγράφεται C **26–28** τοῦ (post τοῦ add. δέ H) – ὑποτεταγμένοι om. C **26** post Σεδεκίου add. βασιλέως H **27** τὰ om. P H K **27–28** τῆς – βασιλείας : τῆς βασιλείας τῆς τοῦ σεδεκίου H **28** οὗτος ὁ Ναβουχοδονόσορ : Ab f. 47r, l. 1

ἐπόρθησε τὰ Ἱεροσόλυμα· πρῶτον μέν, ὅτε ἐν τῷ τρίτῳ ἔτει Ἐλιακεὶμ ἀνῆλθε καὶ ἔλαβεν αὐτόν τε Ἰεχονίαν καὶ τὴν τούτου μητέρα καὶ σὺν τῷ ἄλλῳ πλήθει τὸν προφήτην Ἰεζεκιήλ, ἔτος ἄγων τῆς βασιλείας πρῶτον· δεύτερον δέ, ὅτε ἐν τῷ τρίτῳ μηνὶ Ἰεχονίου τοῦ καὶ Ἰωακεὶμ ἀνῆλθε καὶ ἔλαβεν σὺν ἑτέροις τὸν Δανιὴλ καὶ Ἀνανίαν καὶ Μισαὴλ καὶ Ἀζαρίαν, ἔτος ἄγων αὐτὸς τῆς βασιλείας ὄγδοον· τὸ δὲ τρίτον, ὅτε ἐν τῷ ἑνδεκάτῳ ἔτει τοῦ Σεδεκίου ἀνῆλθε καὶ τὸν μὲν ναὸν ἐνέπρησεν, τὸν δὲ Σεδεκίαν ἐξετύφλωσε καὶ τοὺς υἱοὺς αὐτοῦ σὺν ἑτέροις κατέσφαξε καὶ τὸ λοιπὸν πλῆθος ἀπήγαγεν εἰς αἰχμαλωσίαν, ἔτος ἄγων αὐτὸς τῆς βασιλείας ἐννέα καὶ δέκατον. **9** Ναβουχοδονόσορ πρὸς ἔτεσιν ιθ', οἷς πρότερον ἐκράτησεν, βασιλεύει ἕτερα κε'. προεφήτευον δὲ ἐπ᾿ αὐτοῦ οἱ εἰρημένοι Δανιὴλ καὶ Ἰεζεκιήλ. **10** Μαρωδὰχ τοῦτον διαδεξάμενος ὁ

---

§ 9- cap. 46, § 17: cf. Georg. Mon. 284.21–285.7 (de regibus Persarum) § 9: cf. Georg. Mon. 264.19–269.6 § 10: cf. Georg. Mon. 269.8–9

TCPH[K] Ab **34** a τὸ T[C]PH[K] Ab

---

29 Ἐλιακεὶμ : ἰωακεὶμ Ab (cf. Par. II.36.4; 8–9) **30–34** αὐτόν – ὄγδοον : σὺν ἑτέροις τὸν δανιὴλ καὶ ἀνανίαν καὶ ἀζαρίαν καὶ μισαὴλ· δεύτερον δὲ, ὅτε τὸν ἰεχονίαν αἰχμάλωτον ἔλαβεν σὺν τῇ μητρὶ καὶ σὺν τῶ ἄλλω πλήθει τὸν προφήτην ἰεζεκιὴλ Ab **30** ἰεχωνίαν H **33** Ἀζαρίαν (cf. supra Ab) : ἀζάτον T **34** ἔτος – τρίτον om. T ὄγδοον τῆς βασιλείας P ἐν om. Ab **34–35** δεκάτω T C K **35** ἀνῆλθε : τὴν ἰερουσαλὴμ ἐξεπόρθησεν Ab **36–40** καὶ pr. – Ἰεζεκιήλ : καὶ δήσας δεσμοῖς χαλκοῖς ἀπήγαγεν εἰς βαβυλῶνα μετοικίσας τὸν λαὸν, πλὴν ὀλίγων φυγόντων εἰς αἴγυπτον· ἐπὶ αὐτοῦ ἡ παντελὴς ἐρήμωσις τῆς ἰουδαίας γέγονεν· ὅθεν ὁ ἑβδομηκονταέτης χρόνος. ὁ παρὰ τοῦ θεοῦ ὁρισθεὶς εἰς παράτασιν τῆς ἰουδαίων αἰχμαλωσίας ἀριθμεῖται, ἕως τοῦ πρώτου ἔτους κύρου τοῦ περσῶν βασιλέως· οὐκ ἔτι δὲ βασιλευθείσης τῆς ἰουδαίας. οἱ τῶν χαλδαίων βασιλεῖς ἐκράτησαν τοῦ λαοῦ· βασιλεύει τοίνυν ναβουχοδονόσωρ ἔτη κε· κατὰ τό δεύτερον ἔτος τῆς αὐτοῦ βασιλείας, ἐμήνυσεν καὶ διἔκρινεν τὸ ἐνύπνιον αὐτοῦ δανιὴλ· τῶ δὲ ὀκτωκαιδεκάτω ἔτη τῆς βασιλείας αὐτοῦ, ἔστησεν τὴν χρυσὶν εἰκόνα· καὶ ταύτην μὴ προσκυνήσαντες οἱ ἅγιοι τρεῖς παῖδες, ἐβλήθησαν ἐν μέσω τῆς καμίνου τοῦ πυρὸς τῆς καιωμένης· καὶ ταύτην εἰς δρόσον μετὰποιήσαντες τῆ τοῦ ἀγγέλου ἐν αὐτῆ ἐπιστασία, εἰς ἔκπληξιν ἤγαγον τὸν ἀσσύριον τύραννον· ὅθεν τούτους θαυμάσας σὺν τοῖς σατράπαις αὐτοῦ καὶ στρατηγοῖς καὶ τὸπάρχαις, τῶ πάντων θεῶ προσεκύνησαν· ἔπειτα μετὰ δωδεκάμηνον ἐπαρθεὶς τῆ καρδία κατὰ τὴν πρόρρησιν δανιὴλ· ἡνίκα συνέκρινε τὸ ἐνύπνιον αὐτοῦ ὅπερ αὐτὸς ἐθεάσατο, ἐξεδιώχθη ἀπὸ τῶν ἀνθρώπων καὶ ἐγένετο θηρίον καὶ κτῆνος· ἦσαν γὰρ τὰ ἔμπροσθεν αὐτοῦ ὡς βοῦς σὺν τῆ κεφαλὴ· καὶ οἱ πόδες σὺν τοῖς ὀπισθίοις λέωντος· καὶ χόρτον ὡς βοῦς ἤσθιεν, ἕως οὗ ἑπτὰ καιροὶ ἠλλάγησαν ἐπαὐτῶ· ἑπτὰ δὲ καιροὺς τινὲς μὲν ἑπτὰ ἐνιαυτοὺς ψηφίζουσι· τινὲς δὲ καιροὺς, κατὰ τρίμηνον ἀλασσωμένους· καὶ ἐν τῶ ταπηνωθῆναι αὐτὸν καὶ δεηθῆναι τοῦ κυρίου καὶ ἐξομολογήσασθαι, ἐκζητηθεὶς ὑπὸ τῶν μεγιστάνων αὐτοῦ ἑπτὰ ἔτη ἐβασίλευσεν Ab **37** εἰς om. T **38** ἐννέα (ἐννα) καὶ δέκατον (9 annos et 10 menses Regn. IV.25.1) : θ καὶ ἦν T ἔτεσιν ιθ' : τοῖς ιθ ἔτεσιν C P K : τὰ ἐννακαίδεκα ἔτη H : non adhib. Ab **39** ἕτερα : ἔτη P H K αὐτοῦ : αὐτοῖς P K : αὐτοὺς H **40** Μαρωδὰχ : μαροδὰκ C : μαροδὰχ Ab **40–41** τοῦτον – ὁ υἱὸς (ὁ υἱὸς om. P H K) : υἱὸς ναβουχοδονόσωρ Ab

υἱὸς βασιλεύει ἔτη ιβ'. **11** Βαλτάσαρ ὁ τούτου ἀδελφός, υἱὸς δὲ Ναβουχοδονόσορ, ἐβασίλευσεν ἔτη δ'. ἔτι καὶ ἐπὶ τούτου Δανιὴλ προφητεύει, καὶ ἐπιλύεται αὐτῷ τὸ ὅραμα, ὃ δειπνῶν ἐθεάσατο καὶ πίνων εἰς τὰ ἱερατικὰ ἐκπώματα. τοῦτον, ἀκολούθως τῇ τοῦ ὁράματος ἑρμηνείᾳ, κατὰ τὴν ἐχομένην νύκτα Δαρεῖος ἀνελών, ὁ τοῦ Ἀσουήρου υἱός, ἐκράτησε τῆς ἀρχῆς. **12** Δαρεῖος ὁ εἰρημένος, ὁ τοῦ Ἀσουήρου υἱός, ὃς ἐπεκλήθη Ἀστυάγης, ἐβασίλευσεν ἔτη ιζ'. ἐπὶ τούτου Δανιὴλ εἰς τὸν λάκκον ἐμβάλλεται τῶν λεόντων καὶ μηδὲν ὑπ' αὐτῶν παθὼν ἑβδομαῖος ὑπὸ τοῦ βασιλέως ἀνιμᾶται καὶ τὸν ἑβδομηκονταετῆ τῆς μετοικεσίας χρόνον διαγινώσκει καὶ τῶν ἑβδομάδων αὐτῷ τὸ μυστήριον ἀποκαλύπτεται. **13** καὶ εἴ τις ἀκριβῶς τῶν ἑβδομάδων ἐξετάσαι βουληθείη τὸν λόγον καὶ διαριθμήσασθαι τοὺς χρόνους, ἀρξάμενος ἀπὸ ἐξόδου λόγου, κατὰ τὸν προφήτην, τοῦ οἰκοδομηθῆναι Ἰερουσαλήμ, τουτέστιν ἀπὸ Νεεμίου, υἱοῦ Ἀχελῆ, τοῦ ἀρχιοινοχόου Ἀρταξέρξου, ὃς ἀξιώσας καὶ ἐπιτραπεὶς ἄνεισιν οἰκοδομήσων τὰ Ἱεροσόλυμα, εὑρήσει τὰς ο' συμπεραιουμένας ἑβδομάδας, τουτέστιν τὰ υϙ' ἔτη, ἐπὶ τὸν καιρὸν ἐκεῖνον, ὅτε παλαιοῦται τὸ παράπτωμα καὶ συντελεῖται ἡ ἁμαρτία καὶ σφραγίζεται ὅραμα καὶ προφητεύει καὶ χρίεται ἅγια ἁγίων, τουτέστιν ἐπὶ τὴν τοῦ Χριστοῦ παρουσίαν καὶ τὴν λοιπὴν πραγματείαν.

---

§ 11: cf. Dan. 5.3–6.1; Georg. Mon. 270.4sqq.; 271.5–6 **46–47** Δαρεῖος – ιζ': cf. Georg. Mon. 271.29–272.1 **47–51** ἐπὶ – ἀποκαλύπτεται: Georg. Mon. 272.17–273.3 § 13: cf. Dan. 6.16–23; 9.24sqq.

T[C]PH[K] Ab

---

41 ἐβασίλευσεν Ab post ιβ' add. οὗτος ἐξήγαγεν τῶν δεσμῶν ἰεχονίαν, ἔγγονον ἰωσίου υἱὸν ἰωακεὶμ, καὶ ἐποίησεν αὐτὸν συνεστιάτωρα αὐτοῦ ἐν βαβυλῶνι αὐτοῦ γέγονεν υἱὸς ὁ σαλαθιήλ Ab δὲ om. P H K **42** ἔτι καὶ : καὶ T : ἔτι P H K : non adhib. C τούτου : τούτο T **43** αὐτῷ : αὐτὸ T **44** ἱερὰ H ἐκπτώματα T ἀκολοῦθος T **45** ἐρχομένην H post ἀνελών add. ὁ μῆδος Ab (sim. C) ἀσσουήρου Ab **46** ἐκράτησε – υἱός om. H Ab (homoeotel.) ὁ alt. om. P K : non adhib. C H Ab ὅς om. P H K **47–49** ἐπὶ – ἀνιμᾶται (ἀνιμᾶται : ἀνέλκεται H) : ἐτιμήθη οὖν παρ' αὐτοῦ δανιὴλ. καὶ πρῶτος γέγονεν τῶν μεγιστάνων· ἐπὶ αὐτοῦ ἐβλήθη ἐν τῶ λάκκω τῶν λεόντων, συσκευασθεὶς ἐκ τῶν συμμεγιστάνων αὐτοῦ διαφθῶνον· ἐπὶ αὐτοῦ Ab **48** βάλλεται T **49–50** καὶ (καὶ om. Ab) τὸν ἑβδομηκονταετῆ (-έτη Ab) – διαγινώσκει om. P H K **53** λόγου : an glossa? (vide introd. III.3.1.1) **54** Ἀχελῆ : ἀχελὶ C : ἀχελεὶ Ab **55–56** συμπεραιουμένας : συμπαιρουμένας K : συμπερεούσας H **56** τὰ om. P H K ἔτη om. T P H K ἐπὶ – ἐκεῖνον om. H K ὅτε : ὅτι T C **57** ἡ om. Ab **58** προφητεύει : προφῆται Ab recte ἅγια : ἅγιον Ab **59** τὴν om. Ab

46

Κῦρος ὁ Πέρσης καταλύσας τὴν Μήδων καὶ Ἀσσυρίων δυναστείαν κρατήσας τε τῆς Ἀσίας ἁπάσης ἐβασίλευσεν ἔτη λα'. **2** τούτῳ τῷ πρώτῳ ἐνιαυτῷ ἑβδομηκονταετὴς χρόνος τῆς μετοικεσίας συμπληροῦται. ἐν δὲ τῷ ἐχομένῳ ἔτει συγχωρεῖ τοὺς δυναμένους τῶν Ἑβραίων οἰκίζειν ἀνελθόντας τὰ Ἱεροσόλυμα καὶ τὸν ναὸν ἀνοικοδομηθῆναι προσέταξε. τῆς δὲ ἐπανόδου ἡγεῖτο Ἰησοῦς ὁ τοῦ Ἰωσεδέκ, μέγας ἱερεύς, καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιήλ. καὶ ἐπροεφήτευον Ἀγγαῖος καὶ Ζαχαρίας ὁ τοῦ Ἀδδῶ. **3** καταθέμενοι δὲ οἱ περὶ τὸν Ἰησοῦν τοῦ ναοῦ τὴν ἕδραν ἐφ᾽ ὅλα μ' καὶ δύο ἔτη τὸ ἔργον ἐκωλύοντο συμπεραιῶσαι, μέχρις οὗ Δαρεῖος, ὁ υἱὸς Ὑστάσπεω, δευτέρῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας τοὺς ἐμποδίζοντας ἀναστείλας τελείαν ἐπιτρέπει τοῦ ναοῦ τὴν ἐπισκευήν, καὶ συμπληροῦται ἐν ἄλλοις τέτρασιν ἔτεσιν· ὥστε συντελεσθῆναι αὐτὸν ἐν ὅλοις ἔτεσι μς'. φανερὰ δέ ἐστιν τῶν ὑποκειμένων ἀπόδειξις· **4** Καμβύσης ὁ καὶ Ἀρταξέρξης (ὁ αὐτὸς δέ ἐστιν ὁ καὶ ἐν τῷ Ἔσδρᾳ λεγόμενος Ἀρθασασθά) τὸν Κῦρον ὁ υἱὸς διαδεξάμενος ἐβασίλευσεν ἔτη η'. **5** Σφενδάτις καὶ Κιμέρδιος, ἀδελφοὶ μάγοι Μῆδοι τῷ γένει, ἐπιθέμενοι βασιλεύουσι μῆνας ζ'. **6** Δαρεῖος ὁ Κύρου μὲν ἀπόγονος, Ὑστάσπου

2–3 Κῦρος – λα': cf. Georg. Mon. 273.5–9 § 2: cf. Esdr. I.1.2–4; 2.2; 3.8; 6.14; Georg. Mon. 274.10–14 § 3: cf. Esdr. I.3.8–6.15; Georg. Mon. 274.14–18 § 4: cf. Esdr. I.4.7sqq.; Georg. Mon. 274.20–21 § 5: cf. Georg. Mon. 276.16–17 § 6: cf. Georg. Mon. 276.19sqq.

T[C]PH[K] Ab a § 5 TCPH[K] Ab

2 κύρος T Ab τὴν : τῶν H **3** ἔτος H post λα' add. ἐφ᾽ οὗ ἐπιφανέστερος ἔτι ὑπάρχων ὁ δανιὴλ· τὸν βὴλ συνέτριψεν εἰς τὸ μὴ προσκυνεῖσθαι· καὶ τὸν δράκοντα ἀνεῖλεν εἰς τὸ μὴ σέβεσθαι αὐτόν· διὸ καὶ ἐν τῶ λάκκω τῶν λεόντων τὸ δεύτερον ἐβλήθη· καὶ μηδὲν παθῶν ὑπ᾽ αὐτῶν, ἑβδομαῖος ὑπὸ τοῦ βασιλέως ἀνειμᾶται Ab τούτῳ : τούτου C Ab recte **4** post ἐνιαυτῷ add. ὁ C Ab recte ἑβδομηκονταέτης Ab **4–5** συμπληροῦνται T (T exhib. τ in ν, i.e. fort. συμπληροῦται pc) H **5** ἐρχομένῳ P **7** ὁ τοῦ : ὅτι T : τοῦ H μέγας ἱερεύς : ὁ μέγας ἱερεύς C : ὁ ἱερεὺς ὁ μέγας Ab **8** σαλαθιῆλ T ἐπροεφήτευον : προεφήτευον C P H K : ἐπροφήτευον Ab **11** Ὑστάσπεω : ὑστάσπου C : ὑστάππεως ut vid. Ab : fort. scrib. Ὑστάσπεως (sic Tafel) vel Ὑστάσπεος : om. H K τῷ δευτέρῳ H K αὐτοῦ H K **12** κατασκευήν P H K **13** συμπληροῦνται T τέτρασιν (τέσσαρσιν C H K) ἔτεσιν : ἔτεσιν τετράσιν T **14** ἔτεσι μς' (ἔτεσιν σαρακονταὲξ K) : τεσσαρακονταὲξ ἔτεσιν H ἐστιν (fort. scrib. ἐστιν ⟨ἡ⟩ (post ὑποκειμένων add. ἡ Bekker)) : ἐκ Ab **15–17** Ἀρταξέρξης – η' : ναβουχοδονόσωρ υἱὸς κύρου, ἐβασίλευσεν ἔτη η· ἐφ᾽ οὗ ἰουδὶθ ἡ ἐκ βηθουλίας τῆς ἰουδαίας, ἐπὶ-στρατεύσαντα ὁλοφέρνην ἀρχιστράτηγον αὐτοῦ κατὰ τῆς ἰουδαίας ἐν χιλιάσην ὁπλιτῶν ρκ, ἀνεῖλεν· καὶ τὴν κεφαλὴν αὐτοῦ ἀποτεμοῦσα, ἐν ταῖς πολιορκουμέναις παρ᾽ αὐτοῦ πόλεσι, περιήνεγκεν Ab **15** ὁ alt. om. T : non adhib. C Ab ἐσδρᾶ P **16** κύρον T δεξάμενος H **17** Σφενδάτις (σφενδάτης T C) – μάγοι : σπέρδιος μάγος σὺν τῶ ἀδελφῶ αὐτοῦ Ab **18** ὑστάππου ut vid. Ab

δὲ υἱός, τοῖς μάγοις ἐπιθέμενος καὶ κρατήσας ἐβασίλευσε μέχρι συμπληρώσεως Ἰερουσαλὴμ ἔτη ϛ' καὶ πρὸς τούτοις ἄλλα λ', ὥστε βεβασιλευκέναι ἔτη λϛ'. κατὰ τούτους τοὺς χρόνους Πυθαγόρας ὁ φιλόσοφος ἐτελεύτησε, καὶ Ἱπποκράτης ὁ ἰατρὸς ἐγνωρίζετο. **7** Ξέρξης ὁ Δαρείου υἱὸς ἐβασίλευσεν ἔτη κ'. **8** Ἀρτάβανος ἐβασίλευσεν μῆνας ζ'. **9** Ἀρταξέρξης ὁ Ξέρξου, ὁ Μακρόχειρ (καὶ οὗτος ἐν τῷ Ἔσδρᾳ Ἀρθασασθὰ κέκληται), ἐβασίλευσεν ἔτη μα'. ἐπὶ τούτου τὰ κατὰ Ἐσθὴρ καὶ Μαρδοχαῖον καὶ Ἀμμὰν ἐπράχθη. καθ᾿ ὃν καιρὸν καὶ Ἔσδρας προεφήτευεν. συγχωρήσαντος Ἀρταξέρξου Ἔσδρας ὁ ἱερεὺς τοὺς ὑπολοίπους ἀναγαγὼν εἰς Ἰερουσαλὴμ τὸν νόμον ἐξεπαίδευεν. Νεεμίας τε, ὁ ἀρχιοινοχόος Ἀρταξέρξου, ἀνὴρ ἐκ γένους ὢν ἀρχιερατικοῦ, παρακαλέσας τὸν βασιλέα καὶ ἐπιτραπεὶς ἄνεισιν εἰς τὴν Ἰουδαίαν καὶ τὴν Ἰερουσαλήμ. τειχίζει δὲ αὐτὴν τῶν ἐπιτιθεμένων ἕνεκα ὅπλοις τοὺς ἐνεργοῦντας περιστοιχίσας. καὶ τὸν λαὸν σὺν τῷ Ἔσδρᾳ τῷ Μωυσέως ἐξεπαίδευσε νόμῳ, πᾶσαν ἐξ αὐτῶν ἑλληνικὴν ἀποκινήσας ἀγωγήν. καὶ ᾠκοδομήθη πλατεῖα καὶ περίτειχος ἡ πόλις.

10 Ὅθεν ἄρχονται ἀριθμεῖσθαι αἱ ο' ἑβδομάδες ἐν τῷ Δανιήλ

Εἰκοστῷ ἔτει τῆς βασιλείας Ἀρταξέρξου, ἐντεῦθεν φασὶ δεῖν τὰς ἑβδομάδας ἀριθμεῖσθαι τὰς ο' τὰς ἐν τῇ τοῦ Δανιὴλ ὀπτασίᾳ μέχρι τῆς τοῦ

§ 7: cf. Georg. Mon. 285.2 § 8: cf. Georg. Mon. 284.6 § 9: cf. Esdr. I.7; Esdr. II.8.2–18; Georg. Mon. 284.8–9 (**23–25** Ἀρταξέρξης – μα')

TCPH[K] Ab

19 post καὶ κρατήσας ἐβασίλευσε exhib. καὶ κρατήσας P^{ac} **19–20** post συμπληρώσεως add. τοῦ ναοῦ ἐν C **20–21** ὥστε – λϛ' om. Ab **21** τούτους τοὺς : τούτου τοὺς H πυθαγώρας Ab **22** ὁ pr. om. H K ἰητρὸς H **23** post κ' add. οὗτος ἐπιστρατεύσας κατὰ τῆς ἑλλάδος· καὶ βουλόμενος προκαταπλῆξαι· τούς τε τὴν ἑλλάδα καὶ τὴν εὐρώπην πᾶσαν οἰκοῦντας, καινοτομεῖν τὰ στοιχεῖα ἐπεχείρησε. καταλαβὼν γὰρ τὸν ἑλλήσποντον· τὸν στενότατον τόπον τῆς ἀβύδου ναυσὶν ἐγεφύρωσε· καὶ ὁδὸν διὰ τῆς θαλάσσης ἐποιήσατο· πλοῦν δὲ διὰ τῆς γῆς ἠνάγκασε γενέσθαι. ζεύξας μὲν τὸν ἑλλήσποντον· διορύξας δὲ τὸν ἄθω· καὶ δὴ προσβαλὼν τοῖς ἕλλησι διά τε θαλάσσης καὶ ξηρᾶς· κατακράτος ἡττηθεὶς, μόλις ὁ ξέρξης μετ᾿ ὀλίγων. ἐπὶ τὴν περσῶν ἀνεσώθη γῆν C Ἀρτάβανος (-βάνης C Ab) – ζ' ante Ξέρξης exhib. Ab **24** post Ξέρξου add. υἱὸς C **24–25** καὶ – κέκληται : post μα' transp. C : ὁ αὐτὸς δέ ἐστιν ὁ ἐν τῶ ἔσδρα λεγόμενος ἀρσασθᾶ Ab **24** Ἀρθασασθὰ Bekker Tafel : ἀρθασασθαὶ T : ἀρθασαθὰ C : ἀρπασασθὰ P : ἀρπασασθᾶ H K (ἀρσασθᾶ Ab, vide supra) **26** Ἀμμὰν : ἀμμᾶν C : ἀμᾶν H K **27** post συγχωρήσαντος add. δὲ C post Ἀρταξέρξου add. ὁ αὐτὸς C post ὑπολοίπους add. ἰουδαίους C **29** ἀνὴρ om. C Ab ὢν om. H K ἀρχιερατικοῦ : ἀρχιιερατικοῦ K : ἱερατικοῦ C P post παρακαλέσας add. καὶ αὐτὸς C **30–31** τὴν alt. – αὐτὴν : τειχίζει τὴν ἱερουσαλὴμ C **31** δὲ – ἕνεκα : δέει τῶν ἐπὶτιθεμένων Ab ἐπιθεμένων P **31–32** περιστοιχίσας (-στοιχήσας C) : περιτειχίσας P K : περτειχίσας ut vid. H **32** μωσέως C ἐξεπαίδευε C P K **33** οἰκοδομήθει H **34** περίτειχος : εὐρύχωρος H **35** Ὅθεν – Δανιήλ om. Ab (vide introd. III.3.2, p. 111*sq.) post ἑβδομάδες add. αἱ C P H K : non adhib. Ab τῷ : τῇ ὀπτασία τοῦ C **36** Εἰκοστῷ – Ἀρταξέρξου om. Ab **36–37** ἐντεῦθεν – ὀπτασίᾳ om. C **36** δεῖν : δεῖ T : om. P H K : non adhib. C **37** τῆς om. T P

Κυρίου παρουσίας καὶ τῶν ἑξῆς ἐπισυμβεβηκότων. φανερὸν δέ ἐστιν, ὅτι ἑβδομήκοντα ἑβδομάδες ποιοῦσιν ἔτη υϞ'. κατὰ τούτους τοὺς χρόνους Σωκράτης ἐγένετο. **11** Ξέρξης ὁ Ἀρταξέρξου υἱὸς τὴν ἀρχὴν διαδεξάμενος βασιλεύει μῆνας δύο. **12** Σογδιανὸς βασιλεύει μῆνας ζ'. **13** Δαρεῖος ὁ Ξέρξου, ὁ ἐπικληθεὶς Νόμιος, ἀνελὼν τὸν Σογδιανὸν ἐβασίλευσε Περσῶν ἔτη ιθ'. **14** Ἀρταξέρξης ὁ Δαρείου καὶ Παρυσάτιδος τὸν πατέρα διαδεξάμενος ἐβασίλευσεν ἔτη μβ'. κατὰ τούτους τοὺς χρόνους Πλάτων ὁ φιλόσοφος καὶ Ἀριστοτέλης ἐγνωρίζετο. **15** Ἀρταξέρξης ὁ ἐπικληθεὶς Ὦχος ἐβασίλευσεν ἔτη κβ'. **16** Ναρσῆς τοῦτον διαδεξάμενος ἐβασίλευσεν ἔτη δ'. **17** Δαρεῖος ὁ Ἀρσάμου ἐβασίλευσε μετὰ τὸν Ναρσῆν ἔτη ἕξ. **18** Ἀλεξάνδρου δὲ τοῦ Μακεδόνος Πέρσαις ἐπικειμένου Δαρεῖον οἱ περὶ

---

§ 11–17: cf. Georg. Mon. 284.17–18 § 18–19: cf. Georg. Mon. 284.18–20; 286.14–25; 25.14–39.10 (de Alexandro Magno)

TCPH[K] Ab a § 15 T[C]PH[K] Ab

---

38 ἐπιβεβηκότων P H K φανερὼν Ab post ὅτι add. αἱ C P H K **39–40** κατὰ – ἐγένετο : ἑβδομάδες γὰρ ἑπτά· καὶ ἑβδομάδες ἑξηκονταδύο, οὐχ᾽ ἡμερῶν οὐδὲ μηνῶν φησιν. ἀλλ᾽ ἑβδομάδες ἐνιαυτῶν· ἀπὸ γὰρ κύρου ἐπὶ ἀντίοχον τὸν ἐπιφανῆ καὶ τὴν αἰχμαλωσίαν ἐκείνην, τριακόσια ἐννενηκοντατέσσαρα εἰσὶν ἔτη· ὁ δὲ αὐτὸς ἔσδρας τῶν μὴ εὑρεθεισῶν βίβλων, ἀπὸ ὑπομνήσεως αὐτοῦ γράφεσθαι ἐποίησεν· ἀλλὰ καὶ τοὺς ἀπὸ περσίδος ἰουδαίους ἀνελθόντας εἰς ἱερουσαλὴμ ἀριθμήσας, ὅσον εὗρεν ἐξ αὐτῶν ἀλλοτρίαις γυναιξὶ συνοικοῦντας, διεχώρισεν αὐτοὺς· καὶ τὰς γυναῖκας σὺν τοῖς τέκνοις ἀπέλυσε C **39** τούτους post χρόνους transp. H **40** Σωκράτης ἐγένετο : μαλαχίας ἐν τῇ ἰουδαία προεφήτευεν· παρὰ δὲ τοῖς ἕλλησιν ἐγνωρίζετο, σοφοκλῆς· εὐριπίδης· καὶ σωκράτης· ἱπποκράτης, ἡράκλητος, καὶ ἀναξαγώρας, καὶ ἡρόδωτος Ab **41** post Σογδιανὸς (σουγδιανός P) add. τὸν ξέρξην διαδεξάμενος Ab **42** ὁ Ξέρξου om. Ab Νόμιος : νόθος P H K Ab recte τὸν om. Ab σουγδιανὸν P **42–43** Περσῶν om. Ab **44** τεσσαρακονταοκτὼ C **44–45** κατὰ – ἐγνωρίζετο : ἐπὶ τούτου σωκράτης ὁ φιλόσοφος ὡς φαυλίσας τοὺς ἑλλήνων νόμους θανατοῦται, κώνιον πιὼν ἐν τῷ δεσμωτηρίῳ· ἐπὶ αὐτοῦ θουκυδίδης καὶ ξενοφῶν ἱστορικοί· καὶ πλάτων ὁ φιλόσοφος, μαθητὴς σωκράτους, καὶ ἀρίστιπος Ab **44** τούτους : τούτου H **45** post ἐγνωρίζετο add. σκηπίων δὲ ῥωμαίων ὕπατος. πορθήσας καρχηδόνα, ἀφρικὴν αὐτὴν μετωνόμασε· γαλάται δὲ καὶ κελτοὶ ῥώμης ἐκράτησαν· πλὴν τοῦ καπιτωλίου· ἐξαίφνης γὰρ ἐπελθόντες χειμῶνος ἐπικειμένου, πολὺν φόνον καὶ αἰχμαλωσίαν εἰργάσαντο C **46** ὠχὸς Ab post κβ' : add. οὗτος κατὰ νεκτεναβὼ τοῦ τῆς αἰγύπτου βασιλέως ἐπεστράτευσεν· ὁ δὲ κατασοφισάμενος· καὶ μαθὼν ὅτι κατέπαυσεν ἡ αἰγυπτίων βασιλεία μέχρι καὶ αὐτοῦ, ξυράμενος ὁ νεκτεναβὼ τὴν ἑαυτοῦ κεφαλὴν· καὶ τὴν στολὴν αὐτοῦ ἀλλάξας, ἑτέρω σχήματι φυγῇ ἐχρήσατο· καὶ ἐν μακεδονία διέτριβε μαθηματικοῦ ἀστρολόγου τέχνη χρησάμενος· τότε προσοικειοῦται καὶ ὀλυμπιάδι τῇ μητρὶ ἀλεξάνδρου· καὶ οὕτω διὰ μαγγανείας ὀλυμπιάδι μιγνύμενος, ἔτεκε τὸν ἀλέξανδρον· τῆς μακεδονίας βασιλεύσαντος φιλίππου ἔτη εἴκοσιν· καὶ τὴν θεσσαλίαν ὑποτάξαντος. ἐν ᾗ καὶ πόλιν κτίσας, ἐκάλεσεν αὐτὴν θεσσαλονίκην C : add. ἐφ᾽ οὗ ἀριστοτέλης καὶ δημοσθένης φιλόσοφοι ἐν ἑλλάδι Ab **47** δ' : ϛ H Δαρεῖος – ἕξ om. H ὁ Ἀρσάμου (ἀρσαμοῦ Ab : ἀρσὰμ C) post ἕξ transp. T ἐβασίλευσε post Ναρσῆν transp. Ab **48** ἀλέξανδρος δὲ ὁ τῶν μακεδώνων H **48–49** Ἀλεξάνδρου – Βάκτροις : τοῦτον ἀλέξανδρος ὁ φιλίππου καὶ ὀλυμπιάδος υἱὸς βασιλεὺς μακεδόνων χειρωσάμενος, καθεῖλεν τῆς ἀρχῆς Ab **48** δὲ om. T

τὸν Βῆσον ἀναιροῦσιν ἐν Βάκτροις, καὶ καταλύεται ἡ Περσῶν βασιλεία ἐφ᾽ ὅλοις παρατείνασα ἔτεσι τ', τὰ μὲν τῆς μετοικεσίας ο', τὰ δὲ ἑξῆς σλ', καὶ μεταπίπτει εἰς Μακεδόνας ἡ βασιλεία. **19** Ἀλέξανδρος δηλοῖ Ἰαδοῦς τῷ ἀρχιερεῖ δοῦναι αὐτῷ συμμαχίαν κατὰ Δαρείου. τοῦ δὲ ἀπειπόντος Τύρον καὶ Γάζαν πόλεις πορθεῖ μετὰ κόπου· ἔνθα καὶ σάτυρον βλέπει καθ᾽ ὕπνους ἐν τῇ πορθήσει Τύρου, φήσαντος αὐτῷ τοῦ ὀνειροκρίτου· σὴ Τύρος, Ἀλέξανδρε. εἶθ᾽ οὕτως ἀνῆλθεν εἰς Ἰερουσαλὴμ ὑποτάξας αὐτὴν καὶ παρὰ τοῦ ἀρχιερέως λαβὼν συμμαχίαν καὶ ὡς θεὸν τιμήσας καὶ προσκυνήσας ὑπεχώρησε πρὸς Πέρσας.

47

Ἀλέξανδρος ὁ Μακεδὼν τὴν Περσῶν καταλύσας ἀρχὴν περιῆγεν εἰς Μακεδόνας. οὗτος ἑβδόμῳ ἔτει τῆς ἑαυτοῦ βασιλείας χειρωσάμενος Πέρσας ἔτι πρὸς τούτοις τοῖς ἑπτὰ ἔτεσιν βασιλεύει καὶ Περσῶν μετὰ τὸν Δαρεῖον ἔτη ϛ', μῆνας ἕξ. **2** τούτου τελευτήσαντος ἐν Βαβυλῶνι διαδέχονται τὴν ἀρχὴν ἐπὶ μὲν τῆς Μακεδονίας Φίλιππος ὁ ἀδελφὸς αὐτοῦ, Ἀντίγονος δὲ τὴν ἐπὶ τῆς Ἀσίας, Πτολεμαῖος δὲ ὁ Λάγου καὶ Ἀρσινόης τῆς Μελεάγρου θυγατρὸς τὴν ἐπ᾽ Αἰγύπτου, καὶ τὴν ἐπὶ Συρίας Σέλευκος ὁ Νικάτωρ. **3** Πτολεμαῖος τοίνυν ὁ Λάγου ἐβασίλευσεν Αἰγύπτου ἔτη

---

§ 1: cf. Georg. Mon. 284.17–21 § 2–11: cf. Georg. Mon. 285.9sqq.; 39.12–20

T[C]PH[K] Ab

---

49 βῆσσον H παραλύεται H K βασιλεία : δυναστεία Ab **50** ἐφ᾽ – σλ' om. Ab μετοικεσίας : μετοκεσίας T : μετοικησίας H **51–57** Ἀλέξανδρος – Πέρσας om. Ab **51** Ἰαδοῦς Tafel : ἰαδοῦς T : ἀΐδοῦς P K : αἰδοὺς H : ἰαδδοῦς exhib. C, sed aliter : non adhib. Ab **53** σάτυρον : σάντηρον H **54** αὐτῷ : αὐτὸν P **55** σὴ : σοὶ P : σὰ Bekker post Ἰερουσαλὴμ (ἱεροσόλυμα H) add. καὶ P H K **cap. 47.2–3** Ἀλέξανδρος – εἰς Μακεδόνας (εἰς Μακεδόνας : εἰς μακεδονίαν P : ἐν αὐτῇ H K) : καὶ καταλύεται ἡ περσῶν δυναστεία. καὶ μεταπίπτει εἰς μακεδόνας ἡ βασιλεία Ab **3** post οὗτος (οὕτως H) add. ὁ ἀλέξανδρος τῶ Ab ἑαυτοῦ βασιλείας : αὐτοῦ βασιλείας H K : βασιλείας αὐτοῦ Ab **4** τοῖς om. P H K τὸν om. H K **5** post ϛ' add. καὶ C P H K **5–6** τούτου – ἀρχήν : οὗτος ἀλεξάνδρειαν τὴν μεγάλην πώλιν κτίζει ἐν αἰγύπτω· καὶ τὴν μὲν περσῶν βασιλείαν ἐχειρώσατο. αἰγύπτου δὲ καὶ φοινίκης καὶ παλαιστίνης καὶ συρίας καὶ πάσης ἀσίας, μέγας γενώμενος ἐκράτησε δυνατῶς· τελευτᾶ δὲ ἐν βαβυλῶνι, καὶ διαἱρεῖται ἡ βασιλεία αὐτοῦ τετραχῆ· εἴστε τὴν βαβυλωνίαν καὶ μακεδωνίαν, ἀσίαν τὲ καὶ τὴν αἴγυπτον Ab **6** μὲν om. P H K **7** πτολομαῖος H λαγοῦ C Ab **8** post ἐπὶ (alt.) add. τῆς H **9** post Νικάτωρ (Νικάνωρ apud Georg. Mon.) add. οὗτος ἀντιόχειαν τὴν μεγαλόπολιν κτίζει, ἐπ᾽ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ ἀντιώχου· ἔκτισεν δὲ καὶ σελεύκειαν. λαοδίκειάν τὲ καὶ ἔδεσσαν Ab λαγοῦ C Αἰγύπτου : ἐπ᾽ αἴγυπτον H : πρῶτος ἐν αἰγύπτω Ab

μ'. κατὰ τούτους τοὺς χρόνους Ἐπίκουρος ὁ φιλόσοφος ἐγνωρίζετο. **4** Πτολεμαῖος ὁ Φιλάδελφος ἐβασίλευσεν ἔτη λη'. οὗτος Ἑβραίους καταδουλωσάμενος εἰς τὴν Ἑλληνίδα μεταβάλλειν ἀναγκάζει φωνὴν ἐκ τῆς Ἑβραΐδος τὰς θείας γραφάς. καὶ ποιοῦνται τὴν ἑρμηνείαν ἄνδρες ο' ἐν σοφίᾳ παρὰ τοῖς Ἑβραίοις ἐπαινούμενοι. τῆς θείας οὖν γραφῆς ἑρμηνευθείσης καὶ ἀναγνωσθείσης ἐκπλαγῆναί τε τὸν βασιλέα ἐπὶ τῷ κάλλει τῶν θείων λογίων καὶ πάντας τοὺς ἐν τέλει. παρόντος οὖν Μενεδήμου φιλοσόφου καὶ Δημητρίου Φαληρέως καὶ θαυμαζόντων τὴν δύναμιν τῶν λόγων ἠρώτησεν ὁ βασιλεύς, ὅτι τοιούτων ὄντων τῶν θείων λόγων, πῶς οὐδεὶς ἱστορικῶν ἢ ποιητῶν ἐμνήσθη αὐτῶν; καὶ ἀπεκρίθη Δημήτριος, ὅτι οὐδείς ποτε ἐτόλμησεν τούτων ἅψασθαι, διὰ τὸ καὶ Θεόπομπον θελήσαντα ἱστορῆσαι περὶ αὐτῶν παραφροσύνῃ κρατηθῆναι καὶ ὄναρ ἰδεῖν, ὅτι τοῦτο αὐτῷ συμβέβηκε περιεργασαμένῳ τὰ θεῖα, καὶ Θεόδεκτον τῶν τραγῳδιῶν ποιητὴν ἐν ἑνὶ δράματι μνησθέντα τῶν ἱερῶν τούτων βιβλίων τυφλωθῆναι, ἑκατέρους δὲ ἀποσχομένους τοῦ τολμήματος καὶ τὸ θεῖον ἐξευμενισαμένους ὑγιεῖς γενέσθαι. **5** Πτολεμαῖος δὲ ὁ Εὐεργέτης, ὁ τοῦ Φιλαδέλφου καὶ Εὐρυδίκης τῆς καὶ Ἀρσινόης, ἐβασίλευσεν ἔτη κς'. κατὰ τούτους τοὺς χρόνους Ἰησοῦς ὁ τοῦ Σιράχ, ὁ τὴν Σοφίαν συγγράψας, παρ' Ἑβραίοις ἐγνωρίζετο. **6** Πτολεμαῖος ὁ Φιλοπάτωρ, ὁ τοῦ Εὐεργέτου υἱός, ἐβασίλευσεν ἔτη ιζ'. ἐπὶ τούτου ὁ λαὸς τῶν Ἑβραίων αἰχμάλωτος ἐν Αἰγύπτῳ ἀπαχθεὶς τοιοῦτόν τι ἔπαθεν· οὗτος γὰρ προσέταξε τοῖς ἑαυτοῦ ὑπασπισταῖς ἐλέφαντας πεντακοσίους, οὓς εἶχεν, ποτίσαι οἴνῳ λιβανωτῷ, ὅπως ἅπαντας τοὺς Ἰουδαίους δι' αὐτῶν ἀπολέσῃ. εὐξαμένων δὲ ἐκείνων οἱ ἐλέφαντες εἰς τοὺς ἰδίους στρατιώτας τε καὶ δήμους ἐμπηδήσαντες πολὺν αὐτῶν ὄχλον ἐν τῇ περιεχούσῃ μανίᾳ κατέσφαξαν· καὶ οὕτως σωθέντες μετ' εὐχα-

---

T[C]PH[K] Ab

---

10 μα' Ab τούτους : τούτου H **11** πτωλομαῖος H **11–13** Ἑβραίους – γραφάς : προτρέπει τοὺς ἐκ τῶν ἰδαίων (ου add. in mg. m²) νομομαθεὶς ἑρμηνεῦσαι τὰς θείας γραφὰς, ἐκ τῆς ἑβραΐδος εἰς τὴν ἑλλήνων γλῶσσαν Ab **12** μεταβάλλειν ἀναγκάζει φωνὴν : μεταβάλλει φωνὴν P : μεταβάλλειν φωνὴν ἀναγκάζει H K **14–25** τῆς – γενέσθαι : ἐν ἑβδομήκοντα ἡμέραις καθῖσας αὐτοὺς ἐν τῆ φάρω ἀναδύο, καὶ συγκρίνας τὰς πάντων ἑρμηνείας Ab **15** ἑρμηνευθείσης καὶ om. H K post ἀναγνωσθείσης add. ὡς φησὶν ἰώσηπος C τε om. H **16** λόγων C H K : non adhib. Ab πάντας τοὺς : πάντες οἱ H K **17** Μενεδήμου : μὲν ἐνδήμου H : με ἐδήμου ut vid. K **18** τοιούτον T **19** ἢ om. T **21** θεόπεμπτον P H K **22** τοῦτο : τούτω T H K **23** τῶν : τὸν Bekker, fort. recte (vel τὸν τῶν) **24–25** ἀποιχομένους P **25** τοῦ – ἐξευμενισαμένους om. H K **26** πτολομαῖος H δὲ om. C Ab τῆς om. P καὶ alt. om. Ab **27** ἀρσενόης Ab κε Ab τούτους : τούτου H **28** συγγραψάμενος C **28–29** πτολομαῖος H **29** ὁ alt. om. T **30** ἀχθεὶς Ab **32** πεντακοσίους om. T οὓς εἶχεν om. H K οἴνῳ λιβανωτῷ (sic C) : οἴνω λιβανωτῶν T : οἶνον λιβανωτόν P H K **33** ἀπολέσει T **34** πολλὺς H **34–35** ὄχλος H **35** μετὰ P H K

ριστίας ἀπελύθησαν εἰς τὰ ἴδια. **7** Πτολεμαῖος ὁ Ἐπιφανής, ὁ τοῦ Φιλοπάτορος υἱός, ἐβασίλευσεν ἔτη κδ'. **8** Πτολεμαῖος ὁ Φιλομήτωρ, ὁ τοῦ Ἐπιφανοῦς υἱός, ἐβασίλευσεν ἔτη λε'. ἐπὶ τούτου Ἀντίοχος τοὺς Μακκαβαίους μὴ βουλομένους μιαροφαγεῖν ἐκόλαζεν. ἐπὶ Πτολεμαίου τοῦ Φιλομήτορος ἱεράτευον Ἰουδαίοις Ὑρκανὸς καὶ Ἀριστόβουλος, καὶ Ὑρκανῷ μὲν συνεμάχει τὸ δημοτικόν, Ἀριστοβούλῳ δὲ οἱ ἱερεῖς. **9** ἦν δέ τις Ὀνίας ὀνόματι, εὐσεβὴς καὶ δίκαιος, ἐκ τῶν ἱερέων, ὃς καὶ ἀνομβρίαν ἔλυσεν εὐξάμενος. τοῦτον ἠνάγκασαν εὔξασθαι περὶ νίκης. ὁ δὲ ηὔξατο λέγων· Θεὲ δέσποτα, μήτε τῷ δήμῳ κατὰ τῶν ἱερέων σου μήτε τοῖς ἱερεῦσιν κατὰ τοῦ δήμου σου βοηθήσῃς. τοῦτον δὲ εὐθέως ἐλίθασαν, καὶ παρευθὺ ἡ θεία δίκη τούτους μετελθοῦσα ἐπῆλθε κατ᾽ αὐτῶν Πομπήιος, ὁ Ῥωμαίων στρατηγός, καὶ τὴν πόλιν ἐπόρθησε. καὶ εἰσελθὼν εἰς τὰ ἅγια τῶν ἁγίων δι᾽ εὐσέβειαν οὐδενὸς τῶν ἱερῶν σκευῶν ἥψατο, καίπερ πολλῶν χρημάτων ὄντων, ἀλλὰ καὶ ἀνακαθᾶραι τὸ ἱερὸν καὶ τὰς θυσίας ἐπιτελεῖν προσέταξε. ἔπεμψε δὲ Ἀριστόβουλος δῶρον Πομπηΐῳ ἄμπελον χρυσῆν διακοσίων ταλάντων, ἐγχειρισθεὶς τὴν ἱερατείαν καὶ ἐπικράτειαν τῶν Ἰουδαίων. **10** Πτολεμαῖος ὁ τοῦ Φιλομήτορος ἀδελφός, ὁ Εὐεργέτης, βασιλεύει ἔτη κθ'. Πτολεμαῖος ὁ Φούσκων ἐβασίλευσεν ἔτη ιζ', μῆνας ἕξ. Πτολεμαῖος ὁ ἐπικληθεὶς Ἀλεξὰς ἐβασίλευσεν ἔτη ι'. Πτολεμαῖος ὁ Δεύτερος Σωτήρ, ὁ υἱὸς τοῦ Δευτέρου Εὐεργέτου καὶ Κλεοπάτρας τῆς Εὐεργέτιδος, ἐβασίλευσεν ἔτη η'. Πτολεμαῖος ὁ ἐπικληθεὶς Νέος Διονύσιος ἐβασίλευσεν ἔτη λ'. **11** Κλεοπάτρα ἡ τοῦ Νέου Διονυσίου θυγάτηρ τε-

T[C]PH[K] Ab

36–37 Πτολεμαῖος (πτολομαῖος H) – κδ' om. Ab (homoeotel.); re vera hic Ptolemaeus filius erat Euergetis (vide introd. III.3.1.1) **37** πτολομαῖος H **38–52** ἐπὶ – Ἰουδαίων : τῶ κδ ἔτη αὐτοῦ, ἀντίοχος βασιλεὺς συρίας· ὑπερηφανία ἀρθεὶς, πτολεμαῖον πολεμεῖ· καὶ τὴν αἴγυπτον διώσας πολιορκεῖ τὴν ἰερουσαλὴμ καὶ τὸν θεῖον ναὸν καὶ τὸν ἱερὸν νόμον βεβηλοῖ κατὰ τὴν προφητείαν τοῦ δανιὴλ· καὶ ἑλληνισμῶν μιαροφαγίας τοῖς ἰουδαίοις νομοθετεῖ· ἐφ᾽ ὧ οἱ μακκαβαῖοι πρόμαχοι τῆς εὐσεβείας, πολλοῖς καὶ πικροῖς αἰκισμοῖς τῆς θείας ὑπερήθλησαν νομοθεσίας, μέχρι θανάτου Ab **38** post Ἀντίοχος add. ἐπιφανὴς (ὁ ἐπιφανὴς P) P H K (ἐπιφανὴς etiam exhib. C, sed aliter) **39** μακαβαίους T H ἐκόλασεν H πτωλομαῖου H **42** Ὀνίας : ὁνίας T : ἀνανίας H **43** διέλυσεν H K τοῦτον : τούτῳ P : τούτω K ἠνάγκασεν P **45** βοηθήσεις P H **46** ἐπῆλθε (sic C) : ἐπήγαγε P H K : non adhib. Ab Πομπήιος (post Πομπήιος add. μάγνος C), ὁ Ῥωμαίων στρατηγός (sic C) : πομπήϊον ῥωμαίων στρατηγὸν ὃς P H K : non adhib. Ab **47** post πόλιν add. αὐτῶν H K **49** καὶ ἀνακαθᾶραι : καθᾶραι P **52** τῶν om. T πτολομαῖος H post ὁ alt. add. δεύτερος P H K **53** Πτολεμαῖος (-αιμαῖος T) : πτολομαῖος H Φούσκων : fort. scrib. Φύσκων **54** μῆνας ἕξ : ἐπὶ αὐτοῦ τὰ κατὰ ἰούδαν τὸν μακκαβαῖον ἐπράχθη Ab ὁ om. T ἀλεξᾶς C P (sine acc. Ab) πτολομαῖος (alt.) H **55** τῆς om. H K **56** πτολομαῖος H διόνυσος Ab recte **57** post λ' add. ἐπὶ τούτου πομπήϊος ὁ τῶν ῥωμαίων στρατηγὸς, εἷλεν τὴν συρίαν πᾶσαν καὶ ἰουδαίαν, καὶ τὴν αὐτῆς βασιλείαν ῥωμαίοις ὑπέταξεν· καὶ ἐκβαλὼν τῆς ἀρχιερωσύνης ἀριστόβουλον, δέσμιον σὺν τοῖς παισὶ παρέπεμψεν εἰς ῥώμην· καὶ ἐπὶβαλὼν μέρος φόρων τοῖς ἰουδαίοις, ὑρκανὸν τὸν ἀριστοβούλου ἀδελφὸν ἀνέδειξεν ἀρχ᾽ιερέα· οὗτος δὲ φιλίαν εἶχεν πρὸς ἀντίπατρον τινὰ

λευτήσαντα διαδέχεται τὸν πατέρα, καὶ συμβασιλεύει αὐτῇ Πτολεμαῖος ὁ ἀδελφός. τοῦτον διενεχθέντα πρὸς αὐτὴν ἀνελοῦσα μόνη κατέσχε τὴν ἀρχὴν καὶ βασιλεύει ἔτη κβ'.

48 Ὅτι ἐν τῷ ἀριθμῷ τῶν χρόνων δ' μόνον ἔτη τῆς βασιλείας Κλεοπάτρας δεῖ ἀριθμεῖν

Ἰούλιος Καῖσαρ κατὰ τὸ τέταρτον ἔτος τῆς βασιλείας Κλεοπάτρας ὑπὸ τῶν Ῥωμαίων ἀναρρηθεὶς ὕπατος, εἰς τὴν ἀνατολὴν σὺν πολλῇ κατελθὼν δυνάμει καὶ πολλοὺς τῶν αὐτόθι τροπωσάμενος καὶ ὑποφόρους καταστήσας ἰδίους τῶν τόπων καθίστησιν ἐπιμελητάς. **2** Ἀντίπατρον μὲν οὖν τὸν Ἀσκαλωνίτην τῆς Παλαιστίνης κατέστησε διοικητήν. υἱὸς δὲ ἦν ὁ Ἀντίπατρος Ἡρώδου τινὸς τῶν ἐν νεωκόροις ἀριθμουμένων καὶ τῶν αὐτόθι τοῦ Ἀπόλλωνος ἱεροδούλων. παῖδα δὲ ὄντα ποτὲ τὸν Ἀντίπατρον λῃσταὶ ἀναρπάσαντες Ἰδουμαῖοι κατεῖχον, λύτρα ὑπὲρ αὐτοῦ κομιεῖσθαι ὑπειληφότες. τοῦ δὲ πατρὸς αὐτοῦ εἰς ἔσχατον πενίας ἐληλακότος ἔμενε παρὰ τοῖς ἁρπάσασι δουλεύων καὶ τοῖς ἐκείνων ἔθεσιν ἀνατρεφόμενος. **3** ἀναιρεθέντος δὲ τοῦ Ἀντιπάτρου φαρμάκῳ βασκανίᾳ τῆς πολλῆς εὐδαιμονίας ὑπὸ Βαλλίχου τινὸς Ἰουδαίου διαδέχονται οἱ παῖδες αὐτοῦ τὴν ἀρχήν, Ἡρώδης καὶ Φασάιλος, καὶ ὁ μὲν τὴν Ἰδου-

---

§ 1: cf. Georg. Mon. 293.9–18 § 2: cf. Iulium Africanum apud Euseb. HE II.48.2–19; 58.17sqq.
15–22 Ἡρώδης – διέφθειρε: cf. Georg. Mon. 188.23–189.4; Georg. Sync. 349.6sqq.

T[C]PH[K] Ab **3** a Ἰούλιος T[C]PH[K]Hh Ab **5** a τροπωσάμενος TCPH[K]Hh Ab

---

ἀσκαλονίτην εἰδωλόδουλον, τὸν πατέρα ἡρώδου, ὃν κατέστησεν ἐπίτροπον τῆς χώρας (post haec exhib. 48.9 παῖδα etc. quae vide) Ab διονύσου Ab recte **58** τὸν πατέρα διαδέχεται H Πτολεμαῖος : πτολεμαῖον T : πτολομαῖος H **59** διενεχθέντα : διαδεχθέντα H **cap. 48.1–5** Ὅτι – αὐτόθι : cf. C (f. 17v, l. 19–22) ἀνελθὼν δὲ καὶ εἰς τὴν ἀνατολὴν ἐν τῶ τετάρτω ἔτει τῆς κλεοπάτρας τῆς ἐν τῆ αἰγύπτω βασιλευούσης, σὺν πολλῆ δυνάμει ἐπεστράτευσε καὶ κατὰ πομπηΐου μάγνου τοῦ πενθεροῦ αὐτοῦ. καὶ τοῦτον φθάσας εἰς τὴν τῆς αἰγύπτου χώραν, ἀνεῖλε· καὶ πόλεις τῶν τῆς ἀνατολῆς (post haec exhib. τροπωσάμενος etc.) **1–2** Ὅτι – δεῖ ἀριθμεῖν (δεῖ ἀριθμεῖν : διαριθμεῖν T : δεῖ ἀριθμήσασθαι H) om. Ab (vide introd. III.3.2, p. 111*sq.) **1** τετάρτῳ μόνῳ ἔτει P H K **2** ἀριθμήσασθαι H **3** Ἰούλιος (ἰούλλιος H : ἱούλιος Hh) post Κλεοπάτρας transp. Hh Καῖσαρ om. Hh post κατὰ add. οὖν Hh **3–4** ὑπὸ – ὕπατος : αὐτοκράτωρ ῥωμαίων ἀναδειχθεὶς Ab : om. Hh **4–5** κατελθὼν (ἀνελθὼν T) δυνάμει : δυναστία κατελθὼν Hh **6–9** Ἀντίπατρον – ἱεροδούλων om. Ab **7** οὖν om. C post Ἀσκαλωνίτην add. τὴν H **8** ἦν : ὢν Hh ὁ om. P H K τινὸς : τοῦ ἑνὸς C τῶν : τὸν Hh **9** δὲ om. H K **11** κομιεῖσαι Hh αισχάτην πενίαν Hh **12** ἔμεινε C P Hh post ἁρπάσασι (ἀρπάξασι Ab) add. βία H **13** τρεφόμενος P H K **13–22** ἀναιρεθέντος – διέφθειρε om. Ab **13–14** βασκανίᾳ – Ἰουδαίου om. Hh **14** Βαλλίχου : μαλίχθη C **15** αὐτοῦ om. H φασάηλος C Hh **15–16** ἱδουμαῖαν Hh

μαίαν καὶ τὴν Ἱεροσολύμων ἐκληρώσατο γῆν, τὴν δὲ Ἰουδαίαν καὶ Γαλιλαίαν ὁ Ἡρώδης. **4** γνοὺς δέ, ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεύσας τὸν τοῦ Δαυὶδ τάφον ἀνοίξας τρισχίλια ἔλαβε τάλαντα, ἤνοιξε καὶ αὐτὸς καὶ χρήματα μὲν οὐχ εὗρεν, κόσμον δὲ χρύσεον καὶ κειμήλια πολλὰ ἀνείλετο. πειραθέντος δὲ αὐτοῦ ἐνδοτέρω χωρεῖν, οὗ τὰ σώματα Δαυὶδ καὶ Σολομῶντος ἐτέθησαν, πῦρ ἐξελθὸν δύο τῶν δορυφόρων διέφθειρε. **5** γενόμενος δὲ καὶ εἰς τὴν Αἴγυπτον Ἰούλιος τῆς Κλεοπάτρας κρατύνει τὴν ἀρχήν, τῶν ἐπιτιθεμένων ἀναστείλας τὰς ἐπιβουλάς, καὶ τὰ ἐπὶ τῆς ἀνατολῆς ἅπαντα διοικησάμενος ἐπανῆλθεν εἰς τὴν Ῥώμην.

49 Γάιος Ἰούλιος Καῖσαρ

Γάιος Ἰούλιος Καῖσαρ ἐβασίλευσεν ἔτη δ' καὶ μῆνας ζ'. Καῖσαρ δὲ ἐπεκλήθη, ὃ λέγεται ἀνατομή, ὅτι θανούσης τῆς μητρὸς αὐτοῦ ἐν τῷ ἐνάτῳ μηνὶ ταύτην ἀνατεμόντες ἐξήγαγον αὐτόν. οὗτος καὶ δικτάτωρ ἐκλήθη, ὅ ἐστι μονάρχης. δικτατωρία δέ ἐστιν ἀρχὴ ἀνυπεύθυνος. μετωνόμασται δὲ ὁ ἐπονομαζόμενος Κυιντίλιος μὴν Ἰούλιος διὰ Καίσα-

---

§ 1: cf. Georg. Mon. 293.9–15; 3–6

TCPH[K]Hh Ab **cap. 49** CF_1PH[K] Hh

---

16 καὶ τὴν Ἱεροσολύμων (ἱεροσόλυμον P K) om. Hh κατεκληρώσατο Hh γῆν, τὴν δὲ : γῆν, ὁ δὲ τὴν P ἰουδαίαν δὲ Hh **17** post ὁ Ἡρώδης (ὁ Ἡρώδης : ἡρώδης Hh : om. P) add. ὃς μετ' ὀλίγον παρὰ ῥωμαίων καὶ βασιλεὺς τῶν ἰουδαίων ἀναδείκνυται C ὡς Ὑρκανὸς : οὑρκανὸς T : ὡς σιρκανός H : ὡυρκανὸς Hh βασιλεύσας : βασιλεὺς Hh **18** ἔλαβε : εὗρε Hh καὶ : δὲ H : δὲ καὶ K Hh **19** χρύσεων T **20** ἀνήλεν H ἐνδότερον Hh τὰ σώματα : τὸ σῶμα τοῦ H **21** σολομώντος Hh **22** γενόμενος : ἀφικόμενος Ab τὴν om. H post Αἴγυπτον add. ὁ C Hh Ab **23** ἐπιβουλάς : βουλάς H K **23–24** καὶ – Ῥώμην : φιλήσας αὐτὴν ὡς εὐπρεπεστάτην οὖσαν C **24** εἰς : πρὸς Ab **cap. 49.1–7** Γάιος – μοναρχήσαντος : μοναρχήσας δὲ ὁ αὐτὸς ἰούλιος καίσαρ ὁ καὶ δικτάτωρ, μεταταῦτα τῶν πάντων ἐκράτησεν ἐν ὑπερηφανία καὶ τυραννίδι ἐπὶ ἔτη δεκαοκτώ. οὗτος δὲ καὶ τὸ βίσεξτον εὗρε· καὶ νόμους ῥωμαίοις δέδωκε· καὶ μῆνας ἐπωνόμασε· δικτάτωρ δὲ ἐκλήθη ὅ ἐστι μονάρχης· δικτατορία γάρ ἐστιν ἀρχὴ ἀνυπεύθυνος C : om. Hh **1** Γάιος Ἰούλιος Καῖσαρ : βασιλεία ρώμης ἐβασίλευσεν γάϊος ιούλιος καίσαρ F_1 : post Καῖσαρ add. πρῶτος ῥώμης H K (γάιος ἰούλιος καίσαρ in textu et γάιος ἰούλιος καίσαρ πρῶτος ῥώμης in mg. exhib. P) **2** Καῖσαρ δὲ : cf. C (17v, l. 9–11) ἕως καίσαρος ἰουλΐου τοῦ δϊκτάτορος· ὃς οὐκ ἐγεννήθη· ἀλλὰ τῆς αὐτοῦ μητρὸς τελευτησάσης ἐν τῶ ἐννάτω μηνΐ, ἀνέκειραν αὐτὴν· καὶ ἐξέβαλον αὐτὸν βρέφος· δϊὸ καίσαρ ἐλέγετο· ὅπερ ῥωμαϊστΐ ἑρμηνεύεται ἡ ἀνατομή **4** οὗτος : οὕτως F_1 δικάτορ F_1 **5** δικατορία F_1 K δέ ἐστιν : δὲ ἦν F_1 **6** κιντίλιος F_1 **6–7** διὰ Καίσαρα : δὲ καίσαρ F_1

ρα, ὡς ἐν τούτῳ αὐτοῦ μοναρχήσαντος. **2** ὁ αὐτὸς Ἰούλιος μεγίστοις ἀγῶσι Γερμανοὺς καὶ Γάλλους καὶ Βρεττανοὺς χειρωσάμενος ὑποφόρους τοῖς Ῥωμαίοις πεντακοσίας πόλεις οἰκουμένας κατεστήσατο. **3** τούτῳ ἐτέχθη ἵππος ἀντὶ ὁπλῆς χηλὰς ἔχων καὶ μηδένα ἕτερον ἀναβάτην δεχόμενος ἢ αὐτόν, ὡς ὁ Βουκέφαλος τὸν Ἀλέξανδρον. **4** τούτῳ μέλλοντί ποτε τὴν αὔλειον ἐξιέναι θύραν, ἀπερχομένῳ ἐπὶ τὸ βουλευτήριον, εἰκὼν αὐτοῦ πρὸ τῶν θυρῶν ἑστῶσα αὐτομάτως κατέπεσε, καὶ πρὸς τούτῳ χάρτην αὐτῷ τις ἐπέδωκεν ἔχοντα πᾶσαν τὴν κατ᾽ αὐτοῦ μελετωμένην ἐπιβουλήν. καὶ νομίσας ἄλλο τι εἶναι καὶ μὴ ἐντυχών, ἀλλὰ δεδωκὼς ἑτέρῳ φυλάττειν, ἐσφάγη ὑπὸ Βρούτου καὶ Κασσίου ἐν τῷ βουλευτηρίῳ.

50 Ὀκτάβιος Αὔγουστος

Ὀκτάβιος Αὔγουστος Καῖσαρ ἐβασίλευσεν ἔτη νς', ἀφ᾽ οὗ Αὔγουστοι οἱ Ῥωμαίων βασιλεῖς, καὶ ὁ μὴν Αὔγουστος ἐκλήθη, ὅ ἐστι σεβαστός, Σεξτίλιος πρὶν ὀνομαζόμενος. τῇ δὲ νυκτί, ᾗ ἐγεννήθη, εἶδεν ὁ πατὴρ αὐτοῦ καθ᾽ ὕπνους ἐκ τῶν κόλπων τῆς γυναικὸς αὐτοῦ τὸν ἥλιον

2–4 Ὀκτάβιος – ὀνομαζόμενος: cf. Georg. Mon. 293.20–294.3

CF_1PH[K] Hh

---

7 αὐτοῦ : ἀπὸ F_1 ὁ αὐτὸς Ἰούλιος (ἴουλιος Hh) : οὗτος C **8** Βρεττανοὺς : βρετάνους H : βελτανοῦς Hh **10** ἀντὶ ὁπλῆς : ἀντιόπῆς H χαλὰς H **11** ὁ om. H K Βουκέφαλος : βουκεφάλος F_1 : βουκεφάλας P H K **11–17** τούτῳ (τοῦτο H) – βουλευτηρίῳ : μετὰ δὲ τὴν τελευτὴν ἰουλίου καίσαρος· ἐπελέξατο ἡ σύγκλητος ῥώμης, τὸν αὔγουστον ὀκταβιανὸν· τὸν συγγενέα ἰουλίου καίσαρος· καὶ ἀντώνιον τὸν τοῦ αὐγούστου γαμβρὸν ἐπ᾽ ἀδελφῇ· καὶ τὸν λεπῖδον· καὶ ἐγέννοντο οἱ τρεῖς τριουμμοιράτορες· οὗτοι διῴκουν τὰ ῥωμαίων πράγματα· προβαλλόμενοι κατ᾽ ἔτος, ὑπάτους οὓς ἐβούλοντο C **12** ἀπερχομένῳ : ἀπερχομένου F_1 : ἀρχομένῳ H **13** αὐτομάτος Hh **14** πρὸς τούτῳ (per comp. F_1 (fort. πρὸ τούτου)) : πρὸς τοῦτο H K Hh ἐπιδέδωκεν Hh **15** ἄλλω F_1 **16** ἑταίρῳ F_1 ἐσφάγη om. F_1 (sed vide infra) Βρούτου : ut vid. αρούτου Hh **17** post βουλευτηρίῳ add. ἀνηρέθη F_1 **cap. 50.1–2** Ὀκτάβιος – Αὔγουστοι : Hh (139^v, col. 1, l. 1–140^r, col. 1, l. 8) ~ Georg. Mon. 293.12–18 (πάντων – προσηγορεύθησαν) **1** Ὀκτάβιος Αὔγουστος : βασιλεία αὐγούστου ἔτη νς in mg. C : ante tit. add. βασιλεία αὐγούστου F_1 **2** Ὀκτάβιος : οὗτος ὁ C **3** post σεβαστός add. πρότερον Hh (cf. Georg. Mon. 294.2) **4** Σεξτίλιος : σεκστήλιος F_1 : σεξτίλος H K : εκστήλιος Hh (sic Georg. Mon.) πρὶν om. Hh (cf. Georg. Mon. 294.3) **5** τοῦ κόλπου C τὸν om. H

ἀνατέλλοντα. **2** Ἀντώνιος δέ, στρατηγὸς καὶ ὕπατος Ῥωμαίων, ἀνελὼν Κάσσιον καὶ Βροῦτον, τοὺς φονεύσαντας Ἰούλιον Καίσαρα, ἦλθεν ἐν Συρίᾳ ἔρωτι κρατηθεὶς Κλεοπάτρας· ὅθεν ἐπανελθεῖν εἰς Ῥώμην οὐκ ἐγνώκει, ὡς λόγον ἀποδώσων. ὁ γοῦν Αὔγουστος τὴν ἐξ Ἰταλίας συναθροίσας δύναμιν κάτεισιν ἐπὶ Ἀντώνιον, καὶ γενομένης συμβολῆς ἡττᾶται Ἀντώνιος καὶ φεύγει μετὰ τῆς Κλεοπάτρας εἰς Αἴγυπτον, καὶ ὁ μὲν Ἀντώνιος ἑαυτὸν διεχρήσατο, ἡ δὲ Κλεοπάτρα εὐλαβουμένη τὸν ἐν τῇ Ῥώμῃ θρίαμβον καὶ συσχεθεῖσα ἀσπίδα τὸ θηρίον ἑαυτῇ προσενεγκαμένη τελευτᾷ. Ἥλιος καὶ Σελήνη, τὰ ταύτης τέκνα, συσχεθέντα προήχθη ἐν τῷ θριάμβῳ Ῥώμης. **3** ἐπὶ Αὐγούστου ἀρχὴν ἡ τετάρτη

§ 2: cf. Georg. Mon. 294.3–6 § 3: cf. Georg. Mon. 294.15–17

$CF_1PH[K]$ Hh

6 post ἀνατέλλοντα (ἀνίσχοντα H) exhib. C § 3 **6–12** Ἀντώνιος – διεχρήσατο : τῶ δὲ πεντεκαιδεκάτω ἔτει τοῦ αὐτοῦ αὐγούστου, τυραννησάντων τῶν αἰγυπτίων· καὶ κλεοπάτρας τῆς κτισάσης ἐν ἀλεξανδρεία τῆ μεγάλη τὸν φάρον· εἰς τὴν νῆσον τὴν λεγομένην κέουσαν· κατέναντι ἀλεξανδρείας οὖσαν ὡς ἀπὸ μιλίων τεσσάρων· καὶ προσχωσάσης γῆν καὶ λίθους μέχρι τῆς φάρου πρὸς τὸ βαδίζεσθαι ὑπὸ ἀνθρώπων καὶ κτηνῶν τὴν θάλασσαν· καὶ χθόνα τὴν ὑγρὰν ποιησάσης· καὶ τῆς τυραννίδος τῶν αἰγυπτίων· καὶ κλεοπάτρας τῆς βασιλίσσης αὐτῶν γνωσθείσης τοῖς ῥωμαίοις, ἐξῆλθεν ἀπὸ ῥώμης ὁ ἀντώνιος μετὰ δυνάμεως πολλῆς· καὶ φθάσας ἀλεξάνδρειαν τὴν μεγάλην, ἤρξατο πολιορκεῖν αὐτήν· ἀπατηθεὶς δὲ καὶ ἔρωτι βληθείς, ἐφίλησε καὶ αὐτὸς τὴν κλεοπάτραν· καὶ ὑπετάγη αὐτῆ· ἦν γὰρ ὡς εἴρηται πάνυ ὡραιοτάτη· καὶ ἔλαβεν αὐτὴν γυναῖκα· καταλιπὼν τὴν ἀδελφὴν αὐγούστου καίσαρος τοῦ ὀκταβιανοῦ· καὶ μελετήσας τυραννίδα κατὰ ῥωμαίων μετὰ τῆς κλεοπάτρας· βουλόμενος παραλαβεῖν τὴν ῥώμην· γνωσθείσης δὲ τῆς τοιαύτης τυραννίδος ῥωμαίοις, εὐθέως ὁ αὐτὸς αὔγουστος καίσαρ ὡπλίσατο κατ᾽ αὐτῶν· ζεύξας καὶ τὴν ἰδίαν ἀδελφὴν τὴν γυναῖκα τοῦ ἀντωνίνου (scrib. ἀντωνίου), μάρκω ἀγρίππα· ὃν ἀπελέξατο ἀπὸ τῆς συγκλήτου ὡς δυνατὸν ὄντα· καὶ μετ᾽ αὐτοῦ καὶ τῶν στρατιωτικῶν δυνάμεων φθάσας εἰς τόπον λεγόμενον λευκάτον, συνέκρουσε τῶ ἀντωνίω καὶ τῆ κλεοπάτρα πόλεμον ναυμαχίας μέγαν. καὶ τοσοῦτον πλῆθος ἐσφάγη ἀπὸ τοῦ λαοῦ τοῦ ἀντωνίου καὶ τῆς κλεοπάτρας, ὥστε τὰ ὕδατα τῆς θαλάσσης αἵμασι μιγέντα, κύματα αἱμάτων καὶ μόνον φαίνεσθαι· καὶ νικήσας ὁ αὐτὸς αὔγουστος, ἐφόνευσε τὸν ἀντώνιον. καὶ τὴν κλεοπάτραν παραλαβών, αἰχμάλωτον εἰς ῥώμην ἤγαγεν C **6** στρατηγὸς : στράτωρ F_1 **7** κάσιον H Βροῦτον : ἀρύτον Hh **8** ἐν om. Hh κρατηνθεὶς F_1 ἐπελθεῖν F_1 ἐν ῥώμη Hh **9** αὔγουστος Hh **10–11** καὶ γενομένης συμβολῆς (συμβολῆς : συμπλωκῆς Hh) ἡττᾶται (κτᾶται F_1) Ἀντώνιος om. H K **11** τῆς om. Hh **12** ἑαυτὸν διεχρήσατο (διἐχειρήσατω Hh) : ἑαυτὸν διαχειρίζει P : δι᾽ αὐτὸν ἐγχειρήσατο H : ἑαυτὸν διδιεχειρίσατο K **13** καὶ συσχεθεῖσα : κατασχεθήσα H : καταχεθεῖσα K : om. C τῶ θηρίω F_1 Hh ἑαυτὴν Hh (F_1 per comp.) **14** Ἥλιος (ἥλιος δὲ Hh) – τέκνα : τὰ δὲ αὐτῆς τέκνα· ἥλιος καὶ σελήνη C **15** προήχθησαν Hh τῷ om. H K post Ῥώμης add. μετὰ δὲ τὴν τοιαύτην νίκην ὁ αὐτὸς αὔγουστος καίσαρ· ἅμα ἀγρίππα στρατηγῶ τῶ γαμβρῶ αὐτοῦ παρελθὼν τὴν εὐρώπην πᾶσαν, ἐπέρασεν ἀπὸ τοῦ βυζαντίου ἐπὶ τὴν χαλκηδόνα πόλιν τῆς ἀσίας. καὶ ἐποίησεν εὐθέως ἄρχοντα ἐν τῆ βιθυνία, ἐκ τῶν ἰδίων αὐτοῦ ἀνθρώπων ὀνόματι λαῦσον· ἐπειδὴ πρὸ αὐτοῦ ὁ πομπήϊος μάγνος, ἦν λαβὼν τὴν τῆς βιθυνίας ἀρχήν· τελευτήσαντος τοῦ τοπαρχοῦντος αὐτῆς νικομήδους· τοῦ ἐκ γένους τῶν μακεδόνων· ὑπέταξε δὲ καὶ τὴν

λαμβάνει βασιλεία, ἣν ὁ Δανιὴλ ἐν τῇ τῶν τεσσάρων θηρίων ὀπτασίᾳ τέταρτον θηρίον φοβερὸν ὀνομάζει. **4** ἠγαπᾶτο δὲ ὑπὸ Αὐγούστου Μηκήνας, ἀνήρ τις σοφός· ὅς ποτε δικάζοντος τοῦ καίσαρος καὶ πολλῶν θάνατον καταψηφισαμένου μὴ δυνάμενος διὰ τὸ πλῆθος τοῦ λαοῦ ἐντυχεῖν αὐτῷ ἔγραψεν· ἀνάστηθι, δήμιε· καὶ σφραγίσας ἔρριψεν ἐν τῷ κόλπῳ αὐτοῦ. ὅπερ ἀναγνοὺς ὁ καῖσαρ ἀνέστη κελεύσας ἀργῆσαι τὰ κριθέντα ὑπ᾿ αὐτοῦ. **5** πάλιν δέ τις τῶν στρατιωτῶν φιλούμενος παρ᾿ αὐτῷ ἐδεήθη τῆς εἰς τὸ βουλευτήριον αὐτοῦ παρουσίας. εἰπόντος δὲ αὐτὸν μὲν ἀσχολεῖσθαι, ἐπιτρέψαι δέ τινι τῶν φίλων παραγενέσθαι καὶ τὴν χρείαν πληρῶσαι, ὀργισθεὶς ἔφη· ἐγὼ μέντοι, ὁσάκις ἂν τῆς ἐμῆς ἐπικουρίας ἐδεήθης, οὐκ ἄλλον ἀντ᾿ ἐμοῦ ἔπεμψα. ἐρυθριάσας οὖν ὁ καῖσαρ συναπῆλθε καὶ συνέπραξεν. **6** εἶχε δὲ καὶ Ἀθηνόδωρον τὸν Ἀλεξανδρέα, σοφώτατον πάνυ· ὃς ἐν τοῖς αἰσχίστοις ἔργοις τοῦ καίσαρος ἐλέγχων αὐτὸν ἐπηνώρθου. ὁ δὲ καῖσαρ πολλάκις ἐν τῇ συγκλήτῳ τὸν Ἀθηνόδωρον ἐπαινῶν προσετίθει, ὡς καὶ αὐτὸς ἐκεῖνος ὑπὸ Ἀθηνοδώρου διώρθωται, κακὸν βίον πρότερον ἐσχηκώς. ὁ γοῦν Ἀθηνόδωρος καταγηράσας ᾔτησεν εἰς τὴν ἰδίαν πεμφθῆναι πατρίδα· ἔλεγε γάρ, ὡς τέλειος εἴη ὁ καῖσαρ κατὰ πᾶσαν φιλοσοφίαν καὶ πρᾶξιν. ὡς δὲ μέλλων ἀπαίρειν ἠσπάζετο αὐτὸν καὶ ἐπικύψας πρὸς τὸ οὖς παρεκάλει, ἵνα ὁσάκις ὀργισθῇ, μὴ πρότερον κελεύσει, τί πρακτέον, πρὶν ἂν καθ᾿ ἑαυτὸν ἀριθμήσῃ τὰ εἴκοσι τέσσαρα στοιχεῖα (ᾔδει γὰρ αὐτὸν ὀξύθυμον καὶ

CF_1PH[K] Hh

γαλατίαν· καὶ κτίσας πόλιν ἐκάλεσεν αὐτὴν ἄγκυραν· διὰ τὸ μέσον εἶναι αὐτὴν τῶν δύο θαλασσῶν τῆς τε ποντικῆς καὶ τῆς ἀσιάτιδος· εἴασε δὲ ἐκεῖσε γάλλους στρατιώτας φυλάττειν τὴν χώραν, καὶ τὴν πόλιν καλέσας εἰς ὄνομα αὐτῶν τὴν ἐπαρχίαν καὶ τὸν ποταμὸν γάλλον· παρέλαβε δὲ καὶ τὴν λυδίαν καὶ παμφυλίαν· φρυγίαν τὲ καὶ λυκαονίαν· καὶ τὰς τοπαρχίας ἁπάσας C (post haec exhib. § 4 C) **15–17** ἐπὶ (post ἐπὶ add. τοῦ αὐτοῦ C) – ὀνομάζει om. Hh **17** post ὀνομάζει add. τότε πρῶτον ἐπὶ τῆς τετάρτης βασιλείας ἐμονάρχησεν αὔγουστος, ὅτε καὶ ὁ (ὁ om. F_1) τῶν πρώτων τεσσάρων στοιχείων δημιουργὸς τὸν τετραπέρατον κόσμον ἐν τούτοις συνδήσας, ἰησοῦς χριστός (ἰησοῦς ὁ χριστός H), ὁ τοῦ θεοῦ υἱός, τὴν ἐκ γυναικὸς ἀειπαρθένου γέννησιν δι᾿ ἡμᾶς (post ἡμᾶς add. ὑποστῆναι F_1) κατεδέξατο, ᾧ ἡ ἐπουράνιος ἀνάκειται (ἀπόκειται F_1) βασιλεία (βασιλεία om. H) F_1 P H K (cf. Georg. Mon. 294.17sqq.) : non adhib. Hh post ὑπὸ add. τοῦ C αὐγούστῳ Hh **18** Μηκήνας : μικῖνας P : μηκίνας H : μικύνης C ὅς : ὡς F_1 **18–34** ποτε – οὖς om. C **19** θάνατον : θανάτου P : θανάτων H K διὰ : δὲ F_1 τοῦ πλήθους F_1 **20–21** τοῖς κόλποις Hh **21–22** ὅπερ – αὐτοῦ om. H K **21** ὁ καῖσαρ om. F_1 κελεύσας : καὶ λεύσας Hh **23** αὐτῷ : αὐτοῦ Hh ἐδεήθη τῆς : ἐδέηταῖς Hh παρουσίαις Hh **25** post ὀργισθεὶς add. δέ H K **29** ἐπηνώρθου : ἐπανόρθου H : ἐπανόρθη Hh τὸν om. Hh **30** ὑπὸ : ἀπὸ H **31** διώρθωται : διορθωθῆναι F_1 : διόρθοτὸν Hh : non adhib. C post βίον add. ὃν Hh **33** εἴη : εἶν Hh καίσαρ H Hh μέλλον Hh **34** οὖς Hh post παρεκάλει (παρεκάλεσεν Hh) add. αὐτὸν C **35** κελεύσῃ C F_1 **36** ἀριθμήσει H K τοιχεῖα F_1

εὐμετάβλητον ὄντα), ὁ δὲ καῖσαρ αἰσθόμενος ἔφη· εὖγε ὑπέμνησάς με, ὡς ἀτελής εἰμι· διὰ τοῦτο οὐ συγχωρήσω σοι τῆς ἐνεγκαμένης ἐπιβῆναι. **7** οὗτος ὁ Αὔγουστος ἀπελθὼν ἐν Δελφοῖς ἠρώτησεν, τίς μετ' αὐτὸν βασιλεύσει. τοῦ Πυθίου δὲ μηδὲν ἀποκρινομένου καὶ τοῦ Αὐγούστου πάλιν ἐρωτήσαντος, διὰ τί σιγᾷ τὸ μαντεῖον, ἔφη ἡ Πυθία ταῦτα·

παῖς Ἑβραῖος κέλεταί με, θεὸς μακάρεσσιν ἀνάσσων,
τόνδε δόμον προλιπεῖν καὶ ὁδὸν αὖθις ἱκέσθαι.
ἄπιθι τοίνυν λοιπὸν ἐκ δόμων ἡμετέρων.

8 τῷ δὲ ͵εφ' ἔτει ἀπὸ κτίσεως κόσμου καὶ τεσσαρακοστῷ δευτέρῳ ἔτει Αὐγούστου ἐξῆλθε δόγμα παρ' αὐτοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην· ἐν ᾧ ἔτει καὶ ὁ Κύριος ἡμῶν ἐγεννήθη, Ἡρώδου βασιλεύοντος τῆς Ἰουδαίας, ὃν ὁ καῖσαρ Αὔγουστος προεχειρίσατο. **9** ἐν δὲ τῷ μέλλειν αὐτὸν ἀποβιῶναι κεραυνὸς εἰς τὴν εἰκόνα αὐτοῦ ἐμπεσὼν τὸ πρῶτον γράμμα τοῦ ὀνόματος αὐτοῦ ἠφάνισε. συγκαλεσάμενος οὖν τοὺς ὑπάτους καὶ βουλευτὰς εἶπεν, ὅτι τὴν Ῥώμην πήλινον παραλαβὼν λίθινον ὑμῖν καταλείπω, ἐμφαίνων τὸ στερρὸν τῆς δυνάμεως.

§ 7: cf. Malal. 176.82–91 § 8: cf. Ev. Luc. cap. 2; Georg. Mon. 299.22sqq. § 9: cf. Sueton. Div. Aug. XC.1

$CF_1PH[K]$ Hh

37 ἀμετάβλητον Hh **37–38** ὁ – ἐπιβῆναι om. C **37** ὑπόμνησας H με (F_1 per comp.) : μοι H ὡς : καὶ Hh **38** σε H post ἐπιβῆναι add. Hh (140ᵛ, col. 2, l. 10–143ʳ, col. 2, l. 29) ~ Georg. Mon. 294.3–300.2 (οὗτος – ἀριθμός) **39** οὗτος : λέγεται δὲ ὅτι οὗτος Hh (143ᵛ, col. 1, l. 5–14) Αὔγουστος ἀπελθὼν : ἀπελθὼν αὔγουστος H (hic vide introd. III.3.1.1) ἠρώτησεν : ἣ ὤτησεν F_1 **40** μηδὲν : μὴ Hh **41** ἐπερωτήσαντος C διότι F_1 H K ἔφησεν C **42** μοι H θεὸς om. H **43** τῶνδε δόμων F_1 πρὸλειπεῖν Hh ἱκέσθαι : ἴεσθαι Hh **45–46** τῷ (τὸ P H K) – Αὐγούστου : ἐν αὐτῶ τῶ ἔτει Hh (a 143ʳ, col. 2, l. 29) **45** δὲ om. C ͵εφ' : πεντακισχιλιοστῶ H κόσμου om. H τῶ τεσαράκοντα F_1 **46** παρ' αὐτοῦ : παρὰ καίσαρος αὐγούστου Hh ἀπογράψασθαι Hh **46–47** post οἰκουμένην add. ἐξῆλθε δόγμα παρ' αὐτοῦ ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην, οὐχ ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλ οἷς οἴδεν κρίμασιν ὁ τὸν πεπτωκότα κατελθὼν ἀναστῆσαι καὶ ὀλισθήσαντα τοῦτον, μέχρι καὶ τοῦ πυθμένος τοῦ ᾅδου, οὐ μόνον ἐκ τοῦ ᾅδου δὲ τοῦτον ἀνεῖλκυσεν ἀλλὰ καὶ συνεδρία πατρικῆ τὸν ἄνθρωπον αὐτὸν τὸν πεπτωκότα ἐτίμησε· δι αὐτὸ οὖν τοῦτο καὶ H **47** ἐν ᾧ ἔτει : ἐν τῶ τούτου τοῦ καίσαρος ἔτει H ἐγγεννήθη Hh **47–48** Ἡρώδου – προεχειρίσατο : Hh (143ᵛ, col. 1, l. 19–148ʳ) ~ Georg. Mon. 300.2–311.13 **48** ὁ om. H προεχειρίσατο : διεχειρήτο H : διεχειρήσατο K **48–55** ἐν – ἄξιον om. C **48** τῷ : τὸ H K **49** αὐτὸν ἀποβιῶναι : ἀποβιῶν τὸν καίσαρα Hh εἰς τὴν bis exhib. H Hh (pr. expunxit H : alt. expunxit Hh) **50** τοῦ ὀνόματος : τῆς εἰκόνος F_1 ἠφάνησε F_1 H Hh οὖν : δὲ F_1 **51** πηλίνην P H K **52** λιθίνην P H K ὑμῖν om. H καταλυμπάνω Hh τὸν ut vid. Hh

παρηγγύησε δὲ τοὺς ἐν τέλει πάντας ἐν τῇ τελευτῇ αὐτοῦ χεῖρας κροτῆσαι καὶ γελάσαι ὡς ἐπὶ μίμου τελευτῆς. τοῦτο δὲ ποιῆσαι διωρίσατο ἀποσκώπτων εἰς τὸν ἀνθρώπινον βίον ὡς γέλωτος ἄξιον. **10** Ἡρώδης οὐ μόνον διὰ τοὺς ἐν Βηθλεὲμ ἀναιρεθέντας ἐπὶ τῇ τοῦ Χριστοῦ μανίᾳ Παιδοκτόνος ὀνομάζεται, ἀλλὰ καὶ διὰ τοὺς ἰδίους υἱούς, τρεῖς μὲν ἀποκτείνας τῶν ἑαυτοῦ παίδων καὶ τὴν μητέρα τούτοις ἐπικατασφάξας καὶ τὸν τῆς γυναικὸς ἀδελφὸν ἑτέρους τε πολλοὺς τῶν οἰκείων ἀποκτείνει καὶ πλῆθος οὐκ ὀλίγον Ἰουδαίων διαφθείρει ἐν τῇ αὐτοῦ τελευτῇ. **11** ἰστέον, ὅτι τρεῖς ἔσχεν Ἡρώδης ὁ μέγας υἱούς· Ἡρώδην τὸν καὶ Ἀντίπαν, τὸν καὶ ἀποτεμόντα τὸν Πρόδρομον· καὶ Ἡρώδην τὸν καὶ Φίλιππον, ᾧ πρῶτον Ἡρωδιὰς ἐγαμήθη καὶ ἔσχε Σαλώμην θυγατέρα τὴν ὀρχησαμένην· καὶ Ἡρώδην τὸν καὶ Ἀγρίππαν, τὸν ἀνελόντα τὸν Ζεβεδαίου υἱὸν Ἰάκωβον· ὃς καὶ ἀδελφὸς μὲν ἦν Ἡρωδιάδος, πατὴρ δὲ Ἀγρίππα καὶ Βερνίκης, ἐφ᾽ ὧν ὁ Παῦλος ἀπελογήσατο κρινόμενος.

---

§ 11: cf. Georg. Mon. 308.9–14

CF_1PH[K] Hh **60** a καὶ C F_1PH[K]

---

53 παρηγγύησε (παρεγγ- H K) : περεγγείη F_1 : παρήγγυλε Hh τοὺς ἐν τέλει πάντας : τοὺς ἐπιτέλει πάντας Hh : τοῖς ἐν τέλει πᾶσιν P H K : non adhib. C **54** τελευτῆ Hh **55** ἀποκόπτων (-ον F_1) F_1 Hh ante Ἡρώδης (ἡρώδης δὲ C : οὗτος γὰρ ὁ ἡρώδης Hh) add. ἡρώδης ὁ παιδοκτόνος F_1 **56** ἐμβιθλεὲμ Hh post ἀναιρεθέντας add. παῖδας F_1 τῇ τοῦ : τῆ κατὰ F_1 : τῇ C post μανίᾳ add. παῖδας C **57** post διὰ add. τὸ C υἱούς om. C **57–58** ἀποκτεῖναι C **58** τούτοις : τούτων H ἐπικατασφάξαι C **59** ἑτέρους τε (δὲ H) : καὶ ἑτέρους C ἀποκτεῖναι C **60** οὐκ ὀλίγον (ὀλίγων F_1) om. C Ἰουδαίων om. H διαφθείρει : διαφθείρας F_1 : διέφθειρεν H K : ἀποκτεῖναι C post τελευτῇ add. ἡρώδης ὁ καὶ ἀντίπας· ἡρώδης ὁ καὶ φίλιππος F_1 **61** post ἰστέον add. δὲ C Ἡρώδης ὁ μέγας : ὁ ἠρώδης H : ἡρώδης K **62** ἀντίπα H καὶ pr. om. F_1 ἀποτεμόντα : ἀποκτείναντα F_1 post Πρόδρομον add. ἐφ᾽ οὗ καὶ ὁ κύριος ἐσταυρώθη ἐπὶ τιβερίου καίσαρος P H K καὶ alt. om. F_1 H **62–66** Ἡρώδην – κρινόμενος (κρίνοντι F_1) : ἀρχέλαον, τὸν τῆς ἰουδαίας βασιλέα, καὶ ἡρώδην τὸν ἀγρίππαν, τὸν καὶ ἀποτεμόντα τὸν πρόδρομον, καὶ ἡρώδην τὸν καὶ φίλιππον, παρ᾽ οὗ πρῶτον ἡρωδιὰς ἐγαμήθη καὶ ἔσχε θυγατέρα σαλώμην τὴν καὶ ὀρχησαμένην C **63** Σαλώμην θυγατέρα : θυγατέρα σαλώμην P : σαλώμην H K **64** τὸν ter. om. H **65** υἱὸν om. P H K : non adhib. C μὲν om. H K

51 Τιβέριος

Τιβέριος ἐβασίλευσεν ἔτη κβ' καὶ μῆνας ζ'. οὗτος ἔσχε Γάιον ἀνεψιόν. **2** οὗτος ἀκούσας τὰ περὶ Χριστοῦ διὰ βασιλικοῦ τύπου ἠβουλήθη ἀναγορεῦσαι θεόν, ἀλλὰ τοῦτο μὲν ἀντεπράχθη παρὰ τῆς συγκλήτου, Πιλᾶτος δὲ παραστάσιμος εἰς Ῥώμην ἤχθη καὶ εἰς τοσαύτην περιπέπτωκε περίστασιν διὰ τὸ σταυρῶσαι τὸν Χριστόν, ὥστε ἑαυτὸν φονεῦσαι. **3** τὸν δὲ Τιβέριον ὁ Γάιος ἐν τῇ νόσῳ αὐτοῦ ἱμάτια πολλὰ ἐπιθεὶς ἀπέπνιξε. **4** περὶ Τιβερίου φασίν, ὅτι βραδέως τοὺς ἄρχοντας διεδέχετο φειδοῖ τῶν ὑπηκόων καὶ ὅτι ἐρωτηθείς, διὰ τί οὕτως ποιεῖ, εἶπε τὴν παροιμίαν τῶν ἐπικαθημένων μυῶν τῷ τραύματι καὶ τοῦ θελήσαντος ἀποσοβῆσαι ταύτας καὶ κωλυθέντος ὑπὸ τοῦ τραυματίου εἰπόντος· ἵνα μὴ ἄλλαι πεινῶσαι αἵματος ἐπέλθοιεν.

---

2 Τιβέριος – ζ': cf. Cass. Dio 58.28.5; Georg. Mon. 311.15–16; Georg. Sync. 386.18; Euseb. HE II.4.1; 171.16 οὗτος – ἀνεψιόν: cf. Georg. Mon. 323.6 **3–4** οὗτος – συγκλήτου: cf. Georg. Mon. 319.18–320.8; Georg. Sync. 398.25–399.3; Chron. Pasch. 430.18–431.3; Euseb. HE II.2; 122.23–124.2 **5–7** Πιλᾶτος – φονεῦσαι: cf. Georg. Sync. 401.9–10; Chron. Pasch. 432.4–8; 459.14–15; Malal. 193.9–13; 189.83sqq. § 3: cf. Chron. Pasch. 431.11–12; Malal. 183.13–14 § 4: cf. Georg. Mon. 318.21–319.15

C F_1PH[K]

---

1 Τιβέριος : βασιλεία τιβερίου ἔτη κβ μῆνας ζ in mg. C : βασιλεία τιβερίου F_1 : om. C **2** καὶ om. F_1 P H K οὗτος : ὃς C post ἀνεψιόν (ἀδελφιδοῦν P H K) add. ἀστρολόγου (post ἀστρολόγου add. δὲ P H K) τοῦ θρασύλου γέγονε φοιτητής, ὃς τοσοῦτος ἦν τὴν τέχνην, ὡς (ὃς F_1) ἀγανακτήσαντά ποτε (post ποτε add. τὸν P) τιβέριον κατ᾿ αὐτοῦ καὶ βουληθέντα διὰ τοῦ τείχους αἴφνης αὐτὸν ὠθῆσαι, ἐσκυθρώπασεν. ἐρωτήσαντος δὲ τιβερίου τὴν αἰτίαν ἀπεκρίνατο (ἀπεκρίθη F_1) αἰσθάνεσθαι (αἰσθάνεσθαι post αὐτοῦ transp. H) κλιμακτῆρα (κλιματῆρα F_1) ἐγγὺς αὐτοῦ· καὶ τὸν τιβέριον θαυμάσαντα ἐᾶσαι αὐτόν F_1 P H K **3** post οὗτος add. ὁ τιβέριος C post περὶ add. τοῦ F_1 P H K **5** πιλάτω P **5–6** πέπτωκε P H K **6** post περίστασιν add. ὑπὸ τιβερίου F_1 P H K τὸν om. F_1 ἑαυτὸν : αὐτὸν P § 3 et 4 inverso ordine exhib. C **7** ὁ Γάιος post αὐτοῦ transp. F_1 **8** post περὶ add. δὲ P H K **9** οὕτως : οὕτω C : οὗτος F_1 **10** μυιῶν C **12** post μὴ add. καὶ H post ἐπέλθοιεν add. ἐπὶ τιβερίου ὁ κύριος ἡμῶν ἰησοῦς χριστὸς ἐν τῷ πέντε καὶ δεκάτῳ ἔτει αὐτοῦ (αὐτοῦ : τῆς αὐτοῦ βασιλείας F_1) βαπτίζεται (ἐβαπτίσθη F_1), ἐν δὲ τῷ ὀκτὼ καὶ δεκάτῳ ἔτει (post ἔτει add. τῆς βασιλείας αὐτοῦ F_1) τὸ σωτήριον ὑπέστη πάθος (post πάθος add. ἐν ἔτει πεντεκαιδεκάτῳ ᾗ (ἧς H) ἡ βάπτισις ὥστε μετὰ τὸ βάπτισμα καὶ τὸ μέχρι τοῦ σταυροῦ πάθος μεσάσαι δι ἀμφοῖν, τριῶν ἐνιαυτῶν διάστημα H), ἐν ἔτει εφλγ (πεντακισχιλιοστῷ πεντακοσιοστῷ τριακοστῷ τρίτῳ H K). γράφει δὲ καὶ (καὶ om. F_1) ἰώσηπος περὶ τοῦ κυρίου ἡμῶν, ὅτι· κατὰ τοῦτον τὸν καιρὸν ἦν ἰησοῦς, σοφὸς ἀνήρ, εἴ γε αὐτὸν ἄνδρα (ἄνδρα αὐτὸν H) λέγειν χρή. ἦν γὰρ (γὰρ om. H) παραδόξων ἔργων (ἔργων om. F_1) ποιητὴς καὶ διδάσκαλος ἀνθρώπων τῶν ἐν ἡδονῇ τὰ ἀληθῆ (τἀληθῆ H K) δεχομένων· πολλοὺς γὰρ καὶ ἀπὸ ἑλλήνων ἠγάγετο. ὁ χριστὸς οὗτος ἦν, ὃν (ὃν ὁ H K) πιλάτος σταυρώσας οὐκ ἐξεπαύσαντο οἱ τὸ (τὸ om. H) πρῶτον αὐτὸν (τω πρωτ αυτ̃ F_1) ἀγαπήσαντες· ἐφάνη γὰρ αὐτοῖς τῇ (τῇ om. F_1) τρίτῃ ἡμέρᾳ πάλιν ζῶν (πάλιν ζῶν : ἔχων πάλιν ζωήν F_1), τῶν θείων προφητῶν ταῦτά τε καὶ

52 Γάιος

Γάιος ἐβασίλευσεν ἔτη γ' καὶ μῆνας θ'. ἦν δὲ μοιχικώτατος πάνυ. **2** οὗτός ποτε προϊὼν κατὰ τὴν ἀγορὰν καὶ πηλὸν ἐν τῇ ὁδῷ ἰδὼν ἤγαγε Φλάβιον Οὐεσπασιανόν, τότε ἀγορανόμον ὄντα, καὶ ὡς ἀμελήσαντος τὸν πηλὸν εἰς τὴν ἐσθῆτα αὐτοῦ βληθῆναι ἐκέλευσεν· ὅπερ ἐσήμανε τὰ κοινὰ τεταραγμένα αὐτὸν ὑπολήψεσθαι. **3** οὗτος ἐσφάγη ὑπὸ Κλαυδίου. **4** ἐπὶ Γαΐου Ἀγρίππας βασιλεύει τῆς Ἰουδαίας, καὶ Σίμων ὁ μάγος παρὰ Φιλίππου βαπτίζεται, ἑνὸς τῶν ζ' διακόνων.

---

2 Γάιος – θ': cf. Georg. Mon. 323.6; Georg. Sync. 401.6; Chron. Pasch. 431.13–14; Malal. 184.15sqq.; Euseb. HE II.177.11 ἦν – πάνυ: cf. Georg. Mon. 324.1–5; Malal. 184.19–21 § 3: cf. Georg. Mon. 324.8–11; Georg. Sync. 401.11–13; Chron. Pasch. 432.19–21; Malal. 186.74–76 § 4: cf. Euseb. HE II.114.13–20 **7** ἐπὶ – Ἰουδαίας: cf. Georg. Sync. 401.24; 402.3–5; Chron. Pasch. 431.16–18 **7–8** καὶ – διακόνων: cf. Acta Apost. 8.5–13; Georg. Sync. 400.15–19; Euseb. HE II.1.10–11

C F_1PH[K]

ἄλλα μυρία περὶ αὐτοῦ θαυμάσια (θαυμάσια περὶ αὐτοῦ F_1) εἰρηκότων. ἐπὶ τιβερίου μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν ἐκλέγονται ὑπὸ τῶν ἀποστόλων ματθίας ἀντὶ τοῦ (τοῦ om. F_1) προδότου, καὶ ἰάκωβος (post ἰάκωβος add. ὁ H), ἀδελφὸς τοῦ κυρίου (post κυρίου add. καὶ H), πρῶτος ἐπίσκοπος ἱεροσολύμων (ἱεροσολύμων ἐπίσκοπος F_1), καὶ διάκονοι, τὸν ἀριθμὸν (τῶν ἀριθμῶν H) ἑπτά, στέφανος ὁ πρωτομάρτυς καὶ οἱ σὺν αὐτῷ. φίλιππος δέ (δέ om. F_1), ὁ ἐξ αὐτῶν εἷς (ὁ ἐξ αὐτῶν εἷς : εἷς ἐξ αὐτῶν H), ποιῶν ἐν σαμαρείᾳ τεράστια, ἀρθεὶς ὑπὸ (post ὑπὸ add. τοῦ H) πνεύματος ἐπέστη κανδάκῃ· οὗτος πρῶτος ἐβαπτίσθη ὑπὸ (διὰ F_1 K) φιλίππου ἐξ ἐθνῶν, τῆς προφητείας πληρωθείσης· ἔργῳ αἰθιοπία προφθάσει (προφθάση H) χεῖρα αὐτῆς τῷ θεῷ. ἀλλὰ καὶ μάγοι χριστὸν προσκυνήσαντες πρότερον τὴν τῶν ἐθνῶν κλῆσιν ᾐνίξαντο, καὶ κορνήλιος πρῶτος ἐξ ἐθνῶν πέτρῳ διὰ πίστεως προσῆλθεν. ἐπὶ τούτοις παῦλος, τὸ τῆς ἐκλογῆς σκεῦος, δι' ἀποκαλύψεως ἰησοῦ χριστοῦ ἀπόστολος ἀναδείκνυται (ἀναδείκνυται : ἀναδέδεικται F_1 : δείκνυται P) F_1 P H K **cap. 52.1** Γάιος : βασιλεία γαΐου ἔτη γ μῆνες (μῆνες ut vid.) θ in mg. C **2** post Γάιος add. ὁ ἀνεψιὸς τιβερίου C θ' : ι H : δέκα K (cf. supra: ut H K etiam Eusebius) **2–8** οὗτός – διακόνων : ὁ αὐτὸς ἐκστὰς τῆς ἀνθρωπίνης φρονήσεως, ἑαυτὸν ἀπεθέωσε· καὶ τὸν ἀνδριάντα αὐτοῦ κατὰ πόλιν ἐν τοῖς ναοῖς προσέταξε καθιδρύσασθαι. καὶ πάντας τοὺς ἐν ῥώμῃ ἐπισήμους ἀνελών, ἐλάμβανεν αὐτῶν τὰς οὐσίας. πρὸς τούτοις δουλοκρατίαν νομοθετήσας, ἐπέτρεψε κατηγορεῖν τῶν δεσποτῶν αὐτῶν εἴτι καὶ συνειδοῖεν αὐτοῖς πλημμέλημα· διὸ ἐν τῷ βαλανείῳ λουόμενος, ἀνηρέθη ὑπὸ τῶν στρατιωτῶν· ὁ αὐτὸς ἡρώδην τὸν καὶ ἀγρίππαν· τὸν υἱὸν ἀριστοβούλου τῆς φιλίππου τετραρχίας, καθίστησι βασιλέα C **3** ποτε om. H κατὰ : ἐπὶ F_1 : non adhib. C ὁδῷ : ἀγορᾷ H K **4** οὐεσπεσιανόν F_1 K : non adhib. C **5** ὅπερ : ὅπως H ἐσήμαινε P **6** ὑπολήψεσθαι : ὑπολήψασθαι H : παραλήψεσθαι F_1 : non adhib. C **7** ἐπὶ Γαΐου : ὁ γάιος F_1 : non adhib. C **8** παρὰ : ὑπὸ H

53 Κλαύδιος

Κλαύδιος ἐβασίλευσεν ἔτη ιγ' καὶ μῆνας ε'. **2** οὗτος δειλὸς ὢν πάντας τοὺς προσιόντας αὐτῷ ἐποίησεν ἐρευνᾶσθαι, μή τι ξιφίδιον ἔχουσι, καὶ ἐν τοῖς συμποσίοις ὡπλισμένοι εἰς φυλακὴν παρειστήκεισαν αὐτῷ, ἐξ οὗ καὶ εἰς τοὺς λοιποὺς εἴθιστο γίνεσθαι. **3** μύκητα δὲ πεφαρμαγμένα φαγὼν ἐτελεύτησεν. **4** ἐπὶ Κλαυδίου Ἀγρίππας ὁ καὶ Ἡρώδης ἀνεῖλεν Ἰάκωβον, τὸν ἀδελφὸν Ἰωάννου, μαχαίρᾳ καὶ Πέτρον ἔθετο ἐν φυλακῇ, ὡς ἀναιρήσων αὐτόν. **5** Σίμων δὲ ὁ μάγος τὸν χριστιανισμὸν ἀποβαλόμενος καὶ μάγοις προσομιλήσας, ἐν Ῥώμῃ κατελθὼν ὡς θεὸς ἐτιμᾶτό τε καὶ ἐσέβετο διὰ τὰς ὑπ' αὐτοῦ γοητείας. Πέτρου δὲ διὰ ταῦτα ἐπιδημήσαντος τῇ Ῥώμῃ ἡ μὲν τοῦ Σίμωνος ἀπέσβη δύναμις παραχρῆμα. **6** παρακλήσει δὲ πάντων Μάρκον προετρέψατο Πέτρος ἐκ τῆς διὰ λόγου αὐτοῦ γραφῆς Ῥωμαίοις τὸ εὐαγγέλιον γράψαι· ὃ δὴ Μάρκος καὶ ἐν τῇ Αἰγύπτῳ στείλας πρῶτος ἐπίσκοπος καὶ κῆρυξ Ἀλεξανδρείας καθίστα-

§ 1: cf. Georg. Mon. 326.19; Georg. Sync. 404.5; 406.14; Chron. Pasch. 433.2; Malal. 186.77–79 § 3: cf. Georg. Mon. 326.19–21; Malal. 189.67–69 § 4: cf. Acta Apost. 12.1–17; Euseb. II.1; 4; Georg. Mon. 326.21; Georg. Sync. 407.24–408.11; 398.12–13; Chron. Pasch. 435.10–13 § 5: cf. Georg. Mon. 364.14sqq. (cf. 326.21–327.3); Euseb. HE II.132.17–140.2; Georg. Sync. 425.21–426.2; Malal. 190.9–193.87 § 6: cf. Georg. Mon. 327.12–19; Georg. Sync. 403.12–15; 404.1–2; Chron. Pasch. 432.12–15; Euseb. HE II.16.1; VI.14.6–7

C F_1PH[K]

1 Κλαύδιος : βασιλεία κλαυδίου ἔτη ιγ μῆνας η in mg. C : βασιλεία κλαυδίου F_1 **2** post Κλαύδιος add. ὑπὸ τῶν ἐν ῥώμη στρατευμάτων ἁρπαγεὶς C καὶ om. P H K ε' : ὀκτώ C δηλὸς F_1 **5** οὗ : ἧς ut vid. F_1 post γίνεσθαι add. καὶ τοὺς κατηγορήσαντας τῶν ἰδίων δεσποτῶν δούλους καὶ ἀπελευθέρους μονομαχεῖν (μονομαχεῖν : μόνον οὐχὶ F_1) ἠνάγκαζε καὶ διαφθείρεσθαι, τινὰς δὲ (δὲ om. F_1) καὶ τοῖς οἰκείοις παραδέδωκεν (παρέδωκε H) δεσπόταις F_1 P H K **5–8** μύκητα δὲ πεφαρμαγμένα (πεφραγμένον P : fort. scrib. πεφαρμαγμένον, cf. 91.8) – αὐτόν : οὗτος ἀγρίππαν τὸν καὶ ἡρώδην· τὸν υἱὸν ἀριστοβούλου· ὃν ἀπέκτεινεν ἡρώδης ὁ πατὴρ αὐτοῦ τῆς ἰουδαίας ἁπάσης βασιλέα καθίστησιν· ὅστις ἀνεῖλεν ἰάκωβον τὸν ἀδελφὸν ἰωάννου μαχαίρα· καὶ πέτρον ἔθετο ἐν φυλακῇ· ἔσχε δὲ καὶ υἱὸν ἀγρίππαν C **6** ὁ καὶ ἡρώδης ἀγρίππας F_1 : non adhib. C (de quo autem vide supra) **7** τὸν ἀδελφὸν (sic et C, vide supra) : ἀδελφὸν F_1 K : om. H § 5–6 post § 7 transp. C **8–9** ἀποβαλλόμενος F_1 P **9** ὡς om. H **10** τὰς ὑπ' : τῆς F_1 **11** ἀπέσβη : ἀπέβη P : ἀπέστη H K δύναμις παραχρῆμα : καὶ παραχρῆμα σὺν τῷ ἀνδρὶ καταλέλυτο (post καταλέλυτο add. ἡ H) δύναμις F_1 P H K **12** ἐκ τῆς : τῇ C : τῆς F_1 **13** αὐτοῦ om. C H K γραφῆς F_1 : γραφῇ C : διδαχῆς P H K (vide introd. III.3.1.1) **13–15** ὃ (ὁ F_1 : ὃς H K) – καθίσταται : μεταταῦτα καὶ ὁ βασιλεύων τῆς χαλκίδος ἡρώδης· ὁ ἀδελφὸς ἀγρίππα, τελευτᾶ. καθίστησι δὲ κλαύδιος εἰς τὴν βασιλείαν τοῦ θείου, τὸν ἀγρίππαν· υἱὸν ἀγρίππα βασιλέως· μετὰ δὲ ταῦτα κλαύδιος ἀγρίππαν, εἰς μείζονα βασιλείαν μετατίθησι; προσθεὶς καὶ ἑτέρας ἐπαρχίας C **14** στείλας (στήλας F_1) : σταλεὶς H K

ται. **7** Ἀγρίππας δὲ λαμπρὰν καὶ χρυσοϋφῆ ἐσθῆτα περιβαλόμενος καὶ δημηγορήσας Ἰουδαίοις, τῶν δὲ φησάντων Θεοῦ φωνῇ καὶ οὐκ ἀνθρώπων ἡσθεὶς ἐπὶ τούτῳ αὐτίκα παρ᾽ ἀγγέλου ῥομφαίᾳ πληγεὶς τελειοῦται.

54 Νέρων ὁ υἱὸς Κλαυδίου

Νέρων ἐβασίλευσεν ἔτη ιγ', μῆνας η'. κατήγετο γὰρ ἐκ τῆς γενεᾶς Αἰνείου καὶ Ῥωμύλου καὶ Αὐγούστου. **2** ὃς τὴν μητέρα καὶ τὴν μνηστὴν ἀνελὼν εὐνοῦχον ἔγημεν. **3** ᾧτινι διὰ τὸν αἰσχρὸν καὶ ἀσελγῆ βίον αὐτοῦ ἐπέθεντό τινες ἀναιρήσοντες. ὁ δὲ παρεκάλει τοὺς συνόντας αὐτῷ ἀνελεῖν αὐτόν. ὡς δὲ οὐδεὶς τοῦτο ἠνέσχετο πρᾶξαι, ἐγὼ μόνος, ἔφη, οὔτε φίλον ἔχω τὸν σῴζοντα, οὔτε ἐχθρὸν τὸν ἀναιροῦντά με· ἀποθανεῖν θέλει ἡ ψυχή, καὶ ἡ χεὶρ οὐχ ὑπηρετεῖ. τελευταῖον δὲ εἰπών· ὦ Ζεῦ, οἷος τεχνίτης κιθαρῳδὸς ἀπόλλυται, ἑαυτὸν ἀνεῖλεν. ἀποθανόντος δὲ αὐτοῦ παλλία ὡς ἐλευθερούμενοι ἐφόρεσαν. **4** Ἀγρίππα τελευτήσαντος

---

§ 7: cf. Acta Apost. 12.21–23; Georg. Mon. 308.14–16; Georg. Sync. 404.23–405.2; Euseb. HE II.10 **cap. 54.2** Νέρων – η': cf. Georg. Mon. 364.13; Georg. Sync. 409.22; 414.24–25; Malal. 189.70–72 **2–3** κατήγετο – Αὐγούστου: cf. Georg. Sync. 414.23–24 § 2: cf. Georg. Mon. 382.1; Georg. Sync. 409.25–26; 414.27–415.1 § 3: cf. Georg. Mon. 381.19sqq. (– ἀνεῖλεν **l. 9**); Georg. Sync. 414.16–18; 414.25sqq.; Chron. Pasch. 459.13–16; Malal. 194.36–195.43 § 4–5: cf. Chron. Pasch. 437.3–4; Georg. Sync. 408.22–23; Euseb. HE II.22.1sqq.

C F_1PH[K]

---

15 Ἀγρίππας δὲ : οὗτος ὁ ἡρώδης C λαμπρὰν – περιβαλόμενος (περιβαλλόμενος F_1 P H K) : λαμπρὰν περιφανῆ αἴσθητι περιβαλλόμενος καὶ χρυσοϋφῆ F_1 : ἐσθῆτα λαμπρὰν περιβαλόμενος C **16** καὶ δημηγορήσας : ἐδημηγόρησεν P H K φωνὴ C **17** ἀνθρώπου C H K **17–18** τελειοῦται : ἐξέψυξε C **cap. 54.1** Νέρων ὁ (ὁ om. H K) υἱὸς Κλαυδίου : βασιλεία *νέρωνος* ἔτη ιγ ἡμέραι(ας) η in mg. C : βασιλεία *νέρωνος* F_1 : fort. del. ὁ υἱὸς Κλαυδίου **2** μῆνας : ἡμέρας C post η' add. περὶ οὗ (οὗ om. F_1) λόγιον ἦν: ἔσχατος (ἔσχατον F_1) αἰνεαδῶν μητροκτόνος ἡγεμονεύσει (ἡγεμονάσει H : ἡγεμονεύση F_1) F_1 P H K γὰρ : δὲ C **3** Ῥωμύλου : ῥωμῆλου H : ῥωμήλου K τὴν alt. : τὸν P : om. C **4** post ἔγημεν add. οὗτος ἀνεῖλε τοὺς ἀποστόλους πέτρον καὶ παῦλον καὶ πολλοὺς ἑτέρους μάρτυρας F_1 P H K § 3 post § 6 transp. C **4** ᾧτινι : *νέρωνι* δὲ C **5** ὁ δὲ : διαδρὰς δὲ ἐν τοῖς προαστείοις C **6** ἀνελεῖν : ἀναιρεῖν C τούτω H πρᾶξαι : ποιῆσαι H **7** τὸν pr. om. F_1 οὔτ᾽ C **8** δὲ om. H ζεύς H οἷου ut vid. F_1 **9** τεχνίτης om. H K ἑαυτοὺς H **10** παλλία : τινὲς πανία C post ἐλευθερούμενοι (ἐλευθεθερούμενοι K) add. ῥωμαῖοι (οἱ ῥωμαῖοι H) P H K post ἐφόρεσαν add. παρ᾽ οὗ καὶ ἀβλάβιος περὶ τῆς κατ᾽ αὐτοῦ ἐπιθέσεως, ὡς οἰκεῖος αὐτοῦ ὤν, ἐρωτηθεὶς ἔφη· ἐφίλησά σε (σε : om. H : τε F_1 : non adhib. C) παντὸς μᾶλλον καὶ ἐμίσησα· ἐφίλησα (ἐφίλησα om. H) ἐλπίσας ἀγαθὸν αὐτοκράτορα (post αὐτοκράτορα add. σὲ H K) ἔσεσθαι, μισῶ δέ, ὅτι ταῦτα ποιεῖς· οὔτε γὰρ ἁρματηλάτῃ οὔτε κυνηγῷ οὔτε κιθαρῳδῷ (οὔτε κηθαροδῶ οὔτε κυνειγῶ F_1) δουλεύειν (δουλεύσειν F_1) δύναμαι· εἶτα γάλβας (γάλβαν H), μὴ ὢν ἐξ αἵματος βασιλικοῦ, διεδέξατο αὐτόν F_1 P H K

Φῆστος καθίσταται διάδοχος ὑπὸ Νέρωνος. **5** Παῦλος δὲ κηρύσσων τὸ εὐαγγέλιον δικαιολογησάμενος ἐπὶ Φήστου πέμπεται πρὸς Νέρωνα καὶ τότε μὲν ἀπολογεῖται, δεύτερον δὲ ἐν Ῥώμῃ ἐλθὼν τὴν κεφαλὴν ἀποτέμνεται παρὰ Νέρωνος. ὡσαύτως καὶ Πέτρον τὸν κορυφαῖον ἀνασκολοπισθῆναι προστάττει. **6** ἐπὶ τούτου Ἰουδαῖοι Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ Κυρίου, ἀπὸ τοῦ πτερυγίου τοῦ ἱεροῦ ὠθήσαντες ἐφόνευσαν, καὶ παρευθὺ διὰ τὴν τούτου ἀναίρεσιν Οὐεσπεσιανός, στρατηγὸς ὢν Ῥωμαίων, πορθεῖ τὰ Ἱεροσόλυμα.

55 Γάλβας

Γάλβας ἐβασίλευσεν μῆνας θ', ἡμέρας δεκατρεῖς. ἦν δὲ τῶν εὐπατρίδων. **2** εἶχε δὲ παραδυναστεύοντα τὸν Ὄθωνα, ὃς ἰδὼν τὸν Γάλβαν Λούκιον εἰς υἱοθεσίαν παραλαβόντα, φθονήσας καὶ τὸ στράτευμα κατ᾽ αὐτοῦ κινήσας ἀπέκτεινεν αὐτόν. **3** ἀπαιτούμενος δὲ ὁ Ὄθων χρήματα παρὰ τῶν στρατιωτῶν, ἃ ὑπέσχετο αὐτοῖς, ἔφη· οὐ δεῖ αὐτοκράτορα ἀναγκάζεσθαι.

§ 5: cf. Georg. Mon. 376.8–377.14; Georg. Sync. 415.2–6; 14–15; Euseb. HE II.25.5; Malal. 193.88sqq.; 193.14sqq. § 6: cf. Georg. Mon. 378.1–379.10; Georg. Sync. 412.5–29 (uterque sec. Hegesippum apud Euseb. (cf. Euseb. HE II.23)); Chron. Pasch. 460.11–13; 461.11sqq.; Malal. 195.53–56; 196.80sqq. **cap. 55.2** Γάλβας – δεκατρεῖς : cf. Georg. Mon. 382.11; Georg. Sync. 416.9–10; Chron. Pasch. 459.16; 18–19; Malal. 195.44–45 § 2: cf. Georg. Sync. 459.19–20

C F_1PH[K]

11–15 Παῦλος (ante Παῦλος add. καὶ τότε μὲν ἀπολογεῖται F_1 (cf. infra: i.e. bis exhib.)) – προστάττει : πέτρος δὲ ὁ ἀπόστολος πρῶτος· τὴν ἀντιοχέων θεμελιώσας ἐκκλησίαν, χειροτονεῖ ἐπίσκοπον τὸν εὐόδιον· καὶ μετ᾽ αὐτὸν· ἰγνάτιον τὸν θεοφόρον· οὗτος ὁ νέρων τὴν μικρὰν ἀρμενίαν δίδωσι βασιλεύειν ἀριστοβούλῳ τῷ ἡρώδου· τῇ δὲ ἀγρίππα βασιλεία, τέσσαρας πόλεις προστίθησι σὺν ταῖς τοπαρχίαις· εἰς δὲ τὴν λοιπὴν ἰουδαίαν, φίληκα κατέστησεν ἐπίτροπον. μεθ᾽ ὃν πόρκιον φῆστον· ἐφ᾽ οὗ κατηγορηθεὶς ὁ παῦλος ἀπελογήσατο ἐν καισαρείᾳ ἐπὶ τοῦ αὐτοῦ φήστου παρόντος καὶ ἀγρίππα τοῦ βασιλέως καὶ βερνίκης· καὶ δέσμιος εἰς ῥώμην ἐκπέμπεται· καὶ δεύτερον παραστὰς ἐν ῥώμῃ τῷ νέρωνι· τὴν κεφαλὴν αὐτοῦ ἀποτμηθῆναι προστάττεται. ὡσαύτως καὶ πέτρον τὸν κορυφαῖον νέρων ἀνασκολοπισθῆναι διωρίσατο C **13** τότε : τὸ P K : τὸν H **15** post τούτου add. οἱ F_1 τούτου : τούτων F_1 post Ἰουδαῖοι add. καὶ C **17** οὐεσπασιανός P H **18** πορθεῖ : πορθεῖται H K : fort. scrib. πολιορκεῖ sec. Georg. Mon. 379.6 post Ἱεροσόλυμα add. ὡς ἰώσηπος (ἰόσηππος F_1) ἱστορεῖ F_1 P H K **cap. 55.1** Γάλβας : γάλβας μῆνας ζ in mg. C : γάλβας καὶ ὄθων καὶ βιτέλιος (-άλιος K) F_1 K **2–7** Γάλβας – ἀναγκάζεσθαι : γάλβας ἐβασίλευσε μῆνας ἑπτά· ἐκ τῆς ἰσπανίας ἐπανελθών· ὃς ἀνηρέθη κατὰ μέσην τὴν ῥωμαίων ἀγοράν C **5** ὁ om. F_1 : non adhib. C ὥθων H **6** αὐτοκράτωραν H

56 Ὄθων

Ὄθων ἐβασίλευσε μῆνας τρεῖς, ἡμέρας η'. ἦν δὲ γένους ἀσήμου. **2** θύων δέ ποτε ἐν τῷ ἱερῷ τὰ τῆς Ἀφροδίτης ᾄσματα τοῖς ἱεροῖς παρέμιξε, καὶ διὰ τοῦτο Βιταλίου αὐτῷ ἐπαναστάντος ξιφιδίῳ ἑαυτὸν διεχειρίσατο εἰπών· τί γὰρ μὲ ἔδει μακροῖς αὐλοῖς αὐλεῖν; **3** Γάλβας καὶ Ὄθων καὶ Βιτάλιος ἐν πολέμοις ὄντες ὑπὸ στρατιωτῶν ἀνῃρέθησαν. Οὐεσπεσιανὸν δὲ τὰ Ἱεροσόλυμα ἐκπορθοῦντα ὡς ἐχέφρονα καὶ ἀνδρεῖον ἡ τῶν Ῥωμαίων σύγκλητος ἀνηγόρευσε βασιλέα.

57 Βιτάλιος

Βιτάλιος ἐβασίλευσεν ἔτος ἕν, γένους ἐπιφανοῦς ὤν. **2** οὗτος ἀστρολόγους καὶ ἀστρονόμους καὶ γόητας ἐντὸς ῥητῆς ἡμέρας πάντας ἐκχωρῆσαι τῆς Ἰταλίας προσέταξεν, οἳ καὶ πρόγραμμα ἔρριψαν προαγγέλλοντες ἐντὸς ἡμέρας ῥητῆς ἀπαλλαγήσεσθαι αὐτὸν τοῦ βίου· ὃ δὴ καὶ γέγονεν. ἐσφάγη δὲ ὑπὸ στρατιωτῶν.

---

2 Ὄθων – η': cf. Georg. Mon. 382.13; Georg. Sync. 416.11; Chron. Pasch. 459.17; 460.1–2; Malal. 195.51 **3–4** καὶ – διεχειρίσατο: cf. Georg. Mon. 382.14; Georg. Sync. 460.10–11; Chron. Pasch. 460.1–2; Malal. 195.57 **cap. 57.2** Βιτάλιος – ἕν: cf. Georg. Mon. 382.16; Georg. Sync. 416.11–12; Chron. Pasch. 459.16–17; 460.1; Malal. 196.58–59 § 2: cf. Georg. Mon. 382.16–17; Georg. Sync. 416.16; Malal. 196.70–72

C F_1PH[K]

---

1 post Ὄθων : ὄθων μῆνας γ ἡμέρας η in mg. C : ὄθων καὶ λουκίβιος οὐιτελείου F_1 : ὄθων ὁ λουκίβιος K : tit. om. P sed add. in mg. ὄθων ὁ λουκίβιος **2–8** Ὄθων – βασιλέα : ὄθων ἐβασίλευσε μῆνας τρεῖς ἡμέρας ὀκτώ· τὰ δὲ κατὰ γερμανίαν τάγματα, ἰουτέλιον βασιλέα ἀναγορεύουσι· καὶ κατὰ τὴν γαλατίαν συμβολῆς γενομένης. ἀνηρέθη ὄθων C **3** ἱεροῖς : ἱερεῖς F_1 παρενέμειξεν H **4** βιτέλει° … επαναστάν$^{\tau}$ F_1 (βιτέλειος … ἐπαναστάντα E (Marcianus (Venetus) gr. 608)) : non adhib. C διεχειρίσατο (-ήσατο H K) : διεχρήσατο ut vid. F_1 : non adhib. C **6** βιτέλιος F_1 : βιτάλλιος H : non adhib. C ἀναιροῦνται H **6–7** Οὐεσπεσιανὸν : οὐεσπασιανὸν P H : non adhib. C **7** δὲ : τε F_1 πορθοῦντα H **cap. 57.1** Βιτάλιος (βιτάλλιος H) : ἰουτελιος μῆνας η ἡμέρας ε in mg. C : βιτέλειος οὐιτέλειος F_1 : om. P **2–6** Βιτάλιος (βιτέλλιος οὐιτέλειος F_1 : βιτάλλιος H) – στρατιωτῶν : ἰουτέλιος ἐβασίλευσε μῆνας ὀκτὼ· καὶ ἡμέρας πέντε· καὶ συρεὶς παρὰ τοῦ πλήθους ἐπὶ μέσης τῆς πόλεως, ἀνηρέθη C **2** οὗτος : οὗ F_1 : non adhib. C **3** καὶ pr. om. K ἐντὸς : αὐτῶ H ῥητοῖς F_1 : non adhib. C **4** οἳ : ὧ P : ὃ H K : non adhib. C **5** ῥητοῖς F_1 : non adhib. C **6** δὲ : γὰρ H : om. F_1 : non adhib. C

58 Οὐεσπεσιανός

Οὐεσπεσιανὸς ἐβασίλευσεν ἔτη δέκα, ἡμέρας ὀκτώ. ἦν δὲ γονέων ἀσήμων. **2** αὐτοκράτωρ δὲ γέγονεν ἐν Παλαιστίνῃ ἔτι τὰς πόλεις τῶν Ἰουδαίων πολιορκῶν. ὅστις καὶ Ἰώσηπον τὸν συγγραφέα ὑποχείριον ἐποιήσατο. ἀνήχθη δὲ ἐν Ῥώμῃ ἀναγορευθεὶς ὑπὸ τοῦ στρατοῦ βασιλεύς, καταλιπὼν Τῖτον, τὸν υἱὸν αὐτοῦ, τὴν Παλαιστίνην πολιορκεῖν. **3** οὗτος τελευτᾷ νόσῳ. **4** περὶ τῆς τοῦ Οὐεσπασιανοῦ ἁλώσεως τῆς Ἰερουσαλὴμ καὶ Τίτου, τοῦ υἱοῦ αὐτοῦ, Ἰώσηπος θαυμαστῶς ἱστορεῖ.

59 Τῖτος

Τῖτος ἐβασίλευσεν ἔτη δύο, μῆνας τρεῖς. οὗτος πολιορκεῖ τὰ Ἱεροσόλυμα. **2** ἀνῃρέθη δὲ ὑπὸ Δομετιανοῦ, ἀδελφοῦ αὐτοῦ, ὃς νοσήσαντα ἔβαλεν αὐτὸν εἰς λάρνακα ξυλίνην χιόνος γέμουσαν, ὡς δῆθεν θεραπεύσων, καὶ ἀπέκτεινε. **3** Τῖτος ἀπειλαῖς, οὐ τιμωρίαις, τοὺς ὑπευθύνους ἐφόβει μόνον· βασιλεύοντος οὖν αὐτοῦ οὐ παρῆλθεν ἡμέρα, ἐν ᾗ τι δῶρόν τινι ἢ εὐεργεσίαν οὐ παρέσχε. βασιλέως γάρ ἐστι τὸ εὐεργετεῖν καὶ ἀληθεύειν. ἔλεγε δέ, ὅτι τὸν βλέποντα βασιλέα οὐ δεῖ ἐξέρχεσθαι λυπούμενον.

---

2 Οὐεσπεσιανὸς – ὀκτώ: cf. Georg. Mon. 383.2–3; Georg. Sync. 416.8–9; Chron. Pasch. 460.4–5; Malal. 196.73–74 § 2: cf. Georg. Mon. 383.3–5 § 4: cf. Georg. Mon. 383.13sqq. **cap. 59.2** Τῖτος – τρεῖς: cf. Georg. Mon. 437.4–5 § 2: cf. Georg. Mon. 437.5–9 § 3: cf. Georg. Mon. 437.9–438.4

---

cap. 58 C [F_1]PH[K]

---

1 Οὐεσπεσιανός (οὐεσπασιανός P H) : οὐεσπέσιανὸς ἔτη δέκα ἡμέρας η in mg. C : οὐεσπεσιανοῦ βασιλεία F_1 **2** Οὐεσπεσιανὸς (οὐεσπασιανὸς P H) : οὗτος F_1 **7** οὗτος – νόσῳ om. C : non adhib. F_1 post περὶ add. δὲ C : non adhib. F_1 τοῦ : παρὰ τοῦ C : om. P : non adhib. F_1 Οὐεσπασιανοῦ : οὐεσπεσιανοῦ C : ἐσπεσιανοῦ K : non adhib. F_1 ἀναλώσεως H **8** τοῦ om. P H K : non adhib. F_1 **8–9** post ἱστορεῖ add. ἐν δὲ τῶ δευτέρω ἔτει τῆς ἡγεμονίας αὐτοῦ· πολιορκοῦνται τὰ ἱεροσόλυμα παρὰ τίτου τοῦ υἱοῦ αὐτοῦ C : non adhib. F_1 **cap. 59.1** Τῖτος : τῖτος ἔτη β μῆνας γ in mg. C : τῖτος ὁ υἱὸς οὐεσπασιανοῦ P : non adhib. F_1 **2–3** οὗτος – Ἱεροσόλυμα om. C **3** ἀνῃρέθη – αὐτοῦ (αὐτοῦ om. P H K) : ὃν ἀπέκτεινε δομετιανὸς ὁ ἀδελφὸς αὐτοῦ F_1 **5** Τῖτος : ὁ αὐτὸς τῖτος C : ὅστης τῖτος F_1 τοὺς ὑπευθύνους om. P H **6** οὖν : δὲ H αὐτοῦ : om. C : non adhib. F_1

60 Δομετιανός

Δομετιανὸς ἐβασίλευσεν ἔτη ιε', μῆνας ια'. **2** οὗτος τὰς γενέσεις τῶν πρώτων τῆς Ῥώμης ἐρευνῶν καὶ οὐκ ὀλίγους εὑρίσκων ἐν δυνάμει ἔσεσθαι ἀνῄρει διὰ προφάσεως, ἀνοσιουργὸς ὢν καὶ ἀνδρομανίας ἀνάμεστος. **3** ἐφ' οὗ Τιμόθεος ὁ ἀπόστολος ἐμαρτύρησε, καὶ Ἰωάννης ὁ Εὐαγγελιστὴς ὡς ὑπεύθυνος ἐν Πάτμῳ τῇ νήσῳ ἐξωρίσθη. **4** ὁ δέ γε Ἀπολλώνιος ὁ Τυανεὺς τῷ τότε ἀκμάζων ἐν Βυζαντίῳ ἐλθὼν καὶ παρακληθεὶς ὑπό τινων ἐστοιχείωσεν ὄφεις μὲν καὶ σκορπίους μὴ πλήσσειν, κώνωπας μὴ παρεῖναι, ἵππους μὴ κατοφριοῦσθαι μήτε μὴν ἀγριαίνεσθαι, ἢ κατά τινος ἢ κατ' ἀλλήλων. **5** οὗτος ὁ Δομετιανὸς †Νερούαν ἐκέλευσε ζῶντα βληθῆναι εἰς πῦρ, τῶν ἀστρονόμων εἰπόντων ὑπὸ κυνῶν τοῦτον ἀναλωθήσεσθαι. ὑετὸς δὲ κατενεχθεὶς πολὺς τὴν πυρὰν κατέσβεσε, καὶ δεδεμένον ἔτι τὼ χεῖρε κύνες ἀφεθέντες κατέφαγον. **6** Λάρπος δὲ ἀστρονόμος εἶπεν εἰς ὄψιν τῷ Δομετιανῷ τεθνήξεσθαι ἡμέρᾳ τῇδε. ὁ δὲ ἐκέλευσεν αὐτὸν φυλαχθῆναι ἐν δεσμοῖς, ὡς ἂν τῆς ἡμέρας διελθούσης τῇ ἐπαύριον ἀναιρήσῃ· ἀλλὰ θανόντος Δομετιανοῦ ἀπελύθη ἀβλαβής. **7** Δομετιανὸς τοὺς ἀπὸ γένους Δαυὶδ καὶ Χριστοῦ ἀναιρεῖσθαι προσέταξεν· ἐδεδίει γὰρ τὴν παρουσίαν τοῦ Κυρίου ὡς καὶ Ἡρώδης, τοῦ κηρύγματος ἤδη δύναμιν λαμβάνοντος. **8** ἤγαγον οὖν συγγενεῖς τοῦ Κυρίου πρὸς Δομετιανὸν καὶ ἐπηρώτησεν, εἰ ἐκ Δαυὶδ καὶ Χριστοῦ εἰσι· καὶ ὡμολόγησαν. καὶ πόσων, ἔφη, χρημάτων κυριεύετε; ἐννέα, φησίν, δηναρίων οἱ πάντες καὶ πλέθρων γῆς ὀλίγων, ἐξ ὧν καὶ τοὺς φόρους ἀναφέρομεν· καὶ τὰς χεῖρας σκληρὰς ἐκ τῆς ἐργασίας ἐδείκνυον. ὁ δέ· καὶ

---

§ 1: cf. Georg. Mon. 443.18–19 **4** ἀνοσιουργὸς – ἀνάμεστος: cf. Georg. Mon. 444.1–6 § 4: Georg. Mon. 444.12–21 § 5: cf. Sueton. Domitian. XV.3 § 8: cf. Hegesipp. apud Euseb. HE II.19–20.5; Georg. Sync. 421.5–13

C [F_1]PH[K]

---

1 Δομετιανὸς : δομετιανὸς ἔτη ιε μῆνας ια in mg. C : βασιλεία δομετιανοῦ F_1 **3** καὶ om. C : non adhib. F_1 ἐν δυνάμει bis exhib. H **4** ἀνάμεστος : ἀνάπλεως C (sic Georg. Mon. 444.5) : πλήρης F_1 **5** ἐφ' – ἐμαρτύρησε (ἐμαρτύρησε om. F_1) om. C (sed cf. infra ad γε) **6** post ὑπεύθυνος add. παρ' αὐτοῦ C : non adhib. F_1 ἐξωρίσθη (sic F_1) : ἐξώριστο P H K (ἐξορίζεται Georg. Mon. 444.13–14) post γε add. παῦλος ὁ ἀπόστολος· ἔρημον τὴν ἐκκλησίαν ποιμένος εὑρὼν, ἀντ' αὐτοῦ χειροτονεῖ ἐπίσκοπον τὸν τιμόθεον· ὅστις καὶ ἐμαρτύρησεν C **6** post Ἀπολλώνιος (ἀπωλώνιος H) add. δὲ C **7** τιανεὺς H τῷ τότε : τότε F_1 : τῷ τότε καιρῷ P H K **8** post κώνωπας add. δὲ C (non add. F_1) **9** κατοφριοῦσθαι (κατωφρυοῦσθαι F_1) : καταφρυάττεσθαι C (vide introd. III.3.1.1) **10** †Νερούαν : sec. Sueton. nomen eius Ascletarion (vide introd. III.3.1.1) **12–13** δεδεμένου P **13** Λάρπος : λάργιος C : non adhib. F_1 **15** φυλαχθῆναι post δεσμοῖς (δεσμῷ P) transp. C : non adhib. F_1 **16** ἀναιρήσῃ : ἀναιρήσειν P : ἀναιρήσων Bekker Tafel **17** τοὺς ἀπὸ : τοῦ ἐκ H **18** Κυρίου : χριστοῦ C : non adhib. F_1 **23** ἀναφέρωμεν H

ὁποία τίς ἐστιν ἡ τοῦ Χριστοῦ βασιλεία καὶ πότε φανησομένη; οἱ δὲ ἔφασαν, ὡς οὐ κοσμικὴ μὲν οὐδὲ ἐπίγειος, ἐπουράνιος δὲ καὶ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐν δόξῃ κρῖναι ζῶντας καὶ νεκρούς. ἐφ' οἷς αὐτῶν καταφρονήσαντα ἐλευθέρους μὲν αὐτοὺς ἀφεῖναι κελεῦσαι, τὸν δὲ τῆς ἐκκλησίας διωγμὸν καταπαῦσαι.

61 Νέρβας

Νέρβας ἐβασίλευσεν ἔτος ἕν, μῆνας δ', σώφρων ὢν καὶ ἐπιεικής. οὗτος ἀνεκαλέσατο Ἰωάννην τῆς ἐξορίας, ἀποστείλας αὐτὸν ἐν Ἐφέσῳ, ἔνθα καὶ τελευτᾷ. **2** ἐκ Παιονίας δὲ ἀγγελία ἐπινικίων ἐλθοῦσα παρὰ Τραϊανοῦ, ἀνελθὼν ἐν τῷ Καπετωλίῳ καὶ λιβανωτὸν ἐπιθύσας, στὰς ἐπὶ βήματος μεγάλα βοῶν, τῆς τε βουλῆς καὶ τοῦ δήμου τῶν Ῥωμαίων παρόντων, ἔφη· ἀγαθῇ τύχῃ· Μάρκος Νέρβας Τραϊανὸν υἱοποιοῦμαι. **3** οὗτος ἀπηγόρευσε τοῦ ἐκτεμεῖν τινῶν τὰ αἰδοῖα ἐν Ῥώμῃ. **4** καὶ νόσῳ τελευτᾷ.

62 Τραϊανός

Τραϊανὸς ἐβασίλευσεν ἔτη ιθ', μῆνας ς'. ὃς ἦν μισοπόνηρός τε καὶ φιλοδίκαιος· γυμνώσας γάρ ποτε ξίφος ἐνώπιον τῶν ἐν τέλει πάντων ἐπέδωκε τῷ ἐπάρχῳ λέγων· δέξαι τοῦτο, καὶ εἰ μὲν καλῶς ἄρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ μή, κατ' ἐμοῦ αὐτῷ χρῆσαι. προεχειρίσθη δὲ ὑπὸ Νέρβα διὰ τὴν ἀρετὴν αὐτοῦ ὡς πολεμικώτατος καὶ πολλὰ κατορθώματα ἐν Ῥώμῃ καὶ πανταχοῦ πεποιηκώς. **2** φίλου δέ τινος αὐτῷ ποτε διαβληθέντος

---

2 Νέρβας – δ': cf. Georg. Mon. 447.2 **2–4** οὗτος – τελευτᾷ: cf. Georg. Mon. 447.2–4; 9–11 **cap. 62.2** Τραϊανὸς – ς': cf. Georg. Mon. 450.6 **2–5** ὃς – χρῆσαι: cf. Georg. Mon. 450.6–11

C [F_1]PH[K]

---

24 ὁποία : ποία C : non adhib. F_1 τίς om. H post φανησομένη add. αὖθις ἠρώτησεν P H K : non adhib. F_1 οἱ δὲ : ἐκεῖνοι C : non adhib. F_1 **25** ἐπεὶ H **26** post αἰώνων add. ὅταν ἔλθῃ P H K : non adhib. F_1 αὐτῶν : αὐτὸν H K **cap. 61.1** Νέρβας : νέρβας ἔτος α μῆνας δ in mg. C : βασιλεία νέρβα F_1 : νέρβας ὁ καὶ μάρκος P **5** καπετολίω H K ἐπιθήσας H post στὰς add. τὲ P H K : non adhib. F_1 post βήματος add. καὶ P H K : non adhib. F_1 **6** μεγάλα βοῶν : μεγαλοβοῶν H **8** τοῦ (ἀπηγόρευσε τοῦ : τοῦ … ἐδογμάτισεν F_1) : τὸ ε τοῦ ut vid. C ἐκτεμεῖν : τεμεῖν F_1 : ἐκτέμνειν P H K **cap. 62.1** Τραϊανός : τραϊανὸς ἔτη ιθ· μῆνας ς in mg. C : βασιλεία τραιανοῦ F_1 : om. H **5** αὐτῷ : αὐτὸ P **6** post Ῥώμῃ add. τε C : non adhib. F_1 **7** post πανταχοῦ add. γῆς C : non adhib. F_1 αὐτῶ τινὸς C H ποτε : post δὲ exhib. C : post διαβληθέντος transp. F_1 : om. H K

ὡς ἐπιβούλου καὶ τούς τε ὀφθαλμοὺς ἐκκεντηθέντος καὶ τὸ γένειον ἀποκειραμένου, ἐπεὶ τυφλὸς πρὸς Τραϊανὸν εἰσήχθη, πολλὰ λυπηθεὶς ἐπὶ τούτῳ πόλιν ἣν ἔκτισεν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, τὴν νῦν Τραϊανούπολιν ὀνομαζομένην, τοῦτον κατοικτειρήσας ὡς δεσπότην τῆς πόλεως ἐκεῖσε ἀπέστειλεν ἕως τῆς αὐτοῦ τελευτῆς. **3** θνῄσκει δὲ Ἀδριανὸν προχειρισάμενος εἰς βασιλέα. **4** ἐπὶ τούτου ἐμαρτύρησεν Ἰγνάτιος ὁ Θεοφόρος καὶ Συμεὼν ὁ τοῦ Κλεόπα. Τραϊανὸς προσέταξε τὸ Χριστιανῶν φῦλον μὴ ἐκζητεῖσθαι μέν, ἐμπεσὸν δὲ κολάζεσθαι. ἐπὶ αὐτοῦ Σίμωνα τὸν μάγον Μένανδρος διεδέξατο, γόης καὶ ἀπατεὼν Σαμαρεὺς τὸ γένος, ἑαυτὸν Χριστὸν ὀνομάζων. ἦν δὲ καὶ Κήρινθος αἱρεσιάρχης τότε καὶ Νικόλαος, εἷς τῶν ἑπτὰ διακόνων.

63 Ἀδριανὸς Αἴλιος

Ἀδριανὸς Αἴλιος ἐβασίλευσεν ἔτη κ', μῆνας ια'. ἦν δὲ φιλολόγος ἐπιτήδειος ἔν τε τῷ πεζῷ λόγῳ καὶ τῷ ἐμμέτρῳ, συγγενὴς καὶ υἱοπεποιημένος τῷ Τραϊανῷ. **2** οὗτος ἐν Μυσίᾳ, ἔνθα ἐθήρασεν, ᾠκοδόμησε πόλιν καὶ ἐκάλεσεν αὐτὴν Ἀδριανοῦ Θήρας ἐν τοῖς μιτάτοις καὶ ἑτέραν

13–14 ἐπὶ – Κλεόπα: cf. Georg. Mon. 450.11–12 **14–15** Τραϊανὸς – κολάζεσθαι: cf. Georg. Sync. 423.12–17; C. Plin. Sec. per Tertullianum (Apologeticum) apud Euseb. HE III.33.3 **15–18** ἐπὶ – διακόνων: cf. Georg. Mon. 450.11–14; Euseb. HE II.26.1–3; 28 **cap. 63.2** Ἀδριανὸς – ια': cf. Georg. Mon. 450.16–17 **5–7** καὶ alt. – κατέστρεψε: cf. Georg. Mon. 451.4–5; 450.17–451.4

C [F_1]PH[K]

---

8 ἐπιβούλου : ἐπιβουλεύοντος αὐτῷ C τε om. H ἐκκεντιθέντος H **10** τούτῳ (sic F_1) : τοῦτο H : τῶ αὐτοῦ φίλω C πόλιν ἣν ἔκτισεν : ᾤκτηρεν· ὃς καὶ πόλιν ἔκτησεν F_1 : πόλιν τε κτίσας P H K **11** post ὀνομαζομένην add. καὶ P H K (non add. F_1) κατοικτειρήσας : κατοικτείρας P H K (de F_1 vide supra) **12** post ἀπέστειλεν add. εἶναι C (non add. F_1) post τελευτῆς add. θεραπείαν αὐτῶ πᾶσαν ποιησάμενος C (non add. F_1) **12–14** θνήσκει – Κλεόπα post διακόνων (**l. 18**) transp. C : non adhib. F_1 **12** post δὲ add. τραϊανὸς C : non adhib. F_1 ἀνδριανὸν H **12–13** προχειρησάμενος H K **13** post ἐμαρτύρησεν add. ὁ ἅγιος P H K : non adhib. F_1 **14** Κλεόπα : κλεώπα H : fort. scrib. Κλεοπᾶ Τραϊανὸς : περὶ δὲ τραϊανοῦ φησιν εὐσέβιος, ὅτι C : non adhib. F_1 **15** μέν ante φῦλον (**l. 14**) exhib. C : non adhib. F_1 ἐμπεσὸν : ἐμπεσὼν P H K : non adhib. F_1 ἐπὶ – μάγον : ἀλλὰ καὶ σίμωνα τὸν μάγον ἐπὶ τραϊανοῦ C : non adhib. F_1 **cap. 63.1** Ἀδριανὸς Αἴλιος (ἀνδριανὸς αἴλιος H) : ἀδριανὸς ἔτη κ μῆνας ια in mg. C : βασιλεία ἀνδριανοῦ F_1 **2** ἀνδριανὸς H post κ' add. καὶ C post φιλολόγος add. πάνυ C : non adhib. F_1 **3** ἐμμέτρῳ : ἐν μέτρω H **4** οὕτως H Μυσίᾳ : σημείω H : μυσίω K **5** ἐκάλεσεν : ἐπωνόμασεν C : non adhib. F_1 ἀνδριανοῦ H post μιτάτοις add. ὡσαύτως C : non adhib. F_1

πόλιν ἐν τῇ Θρᾴκῃ ἐπ᾽ ὀνόματι αὐτοῦ. οὗτος καὶ τὴν Ἰουδαίων πόλιν κατέστρεψε, λιμῷ καὶ πολέμῳ πάντας αὐτοὺς διαφθείρας. σημεῖον δὲ γέγονε τῆς ἀναλώσεως αὐτῶν ὡς τὸ τοῦ Σολομῶντος μνημεῖον αὐτομάτως διαλυθῆναι. αὖθις δὲ πάλιν ἀνεκαίνισε τὴν αὐτὴν πόλιν ἐν τῷ ναῷ ἱδρυσάμενος τὸν αὐτοῦ ἀνδριάντα καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ Αἰλίαν καλέσας. τοῦτο δὲ ἐποίησεν διὰ τὸ εἶναι αὐτὸν λωβόν, ὅπως εὕρῃ ἴασιν. **3** Σίμιλον δέ τινα ἔν τε φρονήσει καὶ ἐπιεικείᾳ καὶ ἀρεταῖς πολλαῖς κεκοσμημένον πάνυ ἐτίμα καὶ ἐν μεγάλῃ ἀρχῇ ἐτίμησεν αὐτόν. ἀλλ᾽ ἐπ᾽ ὀλίγον τῆς ἀρχῆς κρατήσας, δεηθεὶς ἐξέστη αὐτῆς καὶ ἐν ἀγρῷ ἑπτὰ ἔτη διατρίψας ἐτελεύτησεν, ἐπιγραφῆναι προστάξας ἐν τῷ μνήματι αὐτοῦ οὕτως· Σίμιλος ἐνταῦθα κατάκειται, βιώσας μὲν ἔτη τόσα, ζήσας δὲ ἑπτά. **4** θνῄσκει δὲ Ἀδριανὸς Ἀντωνῖνον προχειρισάμενος. ἀπέθανε δὲ βίᾳ τῆς νόσου κράζων· ὦ Ζεῦ, πόσον κακόν ἐστιν ἐπιθυμοῦντά τινα ἀποθανεῖν καὶ μὴ τυγχάνειν. **5** ἐπὶ Ἀδριανοῦ ὑπῆρχον αἱρεσιῶται ἐχθροὶ τῆς τῶν Χριστιανῶν πίστεως Σατορνῖνος καὶ Βασιλείδης καὶ Καρποκράτης.

---

§ 3: cf. Cass. Dio 69.18 **17–18** ἀπέθανε – κράζων: cf. Georg. Mon. 450.17 § 5: cf. Georg. Mon. 451.5–8; Euseb. HE IV.7.3sqq.

C [F_1]PH[K]

---

6 post αὐτοῦ add. χαριζόμενος δὲ βυζαντίοις, ἔκτισε τὸν ἀγωγὸν τὸν λεγόμενον ἀδράνην· καὶ παρέσχεν αὐτοῖς δαψίλειαν ὕδατος C (non add. F_1) οὗτος : ὁ αὐτὸς C : non adhib. F_1 ἰουδαίαν H K **7** λιμῷ – διαφθείρας : διὰ τὸ βουληθῆναι τοὺς ἰουδαίους ἀνοικοδομῆσαι τὸν ἐν ἱεροσολύμοις ναὸν· καὶ ἐν μιᾷ ἡμέρα πεντηκονταδύο (-δύο ut vid. P) μυριάδας ἀνεῖλεν P αὐτοὺς ante καὶ exhib. C : non adhib. F_1 **8** ἀναλώσεως : ἁλώσεως C : non adhib. F_1 ὡς τὸ : ἀπὸ H K **9** αὐτοματί C : non adhib. F_1 **9–11** αὖθις – ἐποίησεν : τὰ δὲ παλαιὰ λείψανα τῆς πόλεως ἐρειπίσας καὶ ἐρημώσας, κτίζει ἐπὶ τῶ ἰδίω ὀνόματι τὴν πόλιν· αἰλίαν αὐτὴν ἐπονομάσας· ἐν δὲ τῷ ναῷ τὸν αὐτοῦ ἀνδριάντα ἀνεστήλωσεν P **9** ἀνεκαίνισε : ἀνακαινισθῆναι H : non adhib. P (ἀνακαινίσας exhib. F_1) **10** post ἀνδριάντα add. καὶ ἐπὶ τὸ ὀνόματι αὐτοῦ διαλυθῆναι· αὖθις δὲ πάλιν ἀνεκαίνισεν τὴν αὐτὴν πόλιν· ἐν τῷ ναῷ ἱδρυσάμενος τὸν αὐτοῦ ἀνδριάντα H K **11** post λωβόν add. τοῦτο δὲ ἐποίησεν H (i.e. bis exhib.) εὕρει H **12** post ἴασιν add. ἀλλὰ καὶ τὴν κύζικον πόλιν ὑπὸ σεισμοῦ βαρυτάτου καταπεσοῦσαν, αὖθις ἀνήγειρε· καὶ τὸν ἐν αὐτῇ ὑπερμεγέθη καὶ πανθαύμαστον ναὸν, ἐπῳκοδόμησεν. ἕνα τῶν θεαμάτων τυγχάνοντα C Σίμιλον : σίμελον C : σίμαλον H : σίμειλον K : non adhib. F_1 **12–13** πολλαῖς om. H K **13** ἐτίμησεν : κατέστησεν C H : non adhib. F_1 **15** ἐν τῷ μνήματι : ἐν τῶ μνημείω C : ἐπὶ τὸ μνῆμα H K : non adhib. F_1 **16** Σίμιλος : σίμελος C : σίμαλος H : σίμειλος K : non adhib. F_1 κατάκειται : κεῖται C : non adhib. F_1 τόσα : ἑξήκοντα C : non adhib. F_1 **17–19** θνῄσκει – τυγχάνειν post Καρποκράτης (**l. 21**) transp. C : non adhib. F_1 **17** ἀνδριανὸς H προχειρησάμενος H K **18** ζεύς H **19** ἐπὶ : ὡς δὲ φησὶ κλήμης ὁ στρωματεύς ὅτι ἐπὶ C ἀνδριανοῦ H **20** Σατορνῖνος : σατορῖνος P H K (Σατορνῖλος Georg. Mon. 451.7) : non adhib. F_1

64 Ἀντωνῖνος ὁ Εὐσεβής

Ἀντωνῖνος ὁ Εὐσεβὴς ἐβασίλευσεν ἔτη κδ'. πρῶτος τῶν αὐτοκρατόρων Εὐσεβὴς ἐπεκλήθη· πᾶσαν γὰρ ἀρετὴν ἐπεκτήσατο. **2** θνῄσκει δὲ προβαλόμενος εἰς βασιλέα Μάρκον Ἀντωνῖνον, τὸν ἴδιον γαμβρόν.

65 Μάρκος Ἀντωνῖνος ὁ φιλόσοφος καὶ Βῆρος ὁ γαμβρὸς αὐτοῦ

Μάρκος Ἀντωνῖνος ἐβασίλευσεν ἔτη ιθ' μετὰ Βήρου, τοῦ γαμβροῦ αὐτοῦ. **2** οὗτος ὁ Μάρκος σοφὸς ἦν πάνυ καὶ ἐνάρετος καὶ τὴν Ῥώμην ἐκ πολλῶν πολέμων διασωσάμενος καὶ ἀγαπηθεὶς ὑπὸ τῶν πολιτῶν σφόδρα ἀπέθανε φαρμακευθεὶς ὑπὸ Κομόδου, τοῦ ἰδίου υἱοῦ. τὴν δὲ μνήμην τῆς ἀρετῆς ἡ βουλὴ ἔχουσα μετὰ τὴν αὐτοῦ τελευτὴν χρυσῷ ἀνδριάντι αὐτὸν ἐτίμησαν. **3** πολεμοῦντος Μάρκου Γερμανοὺς καὶ Σαρμάτας, δίψει τῆς στρατιᾶς πιεζομένης καὶ διὰ τοῦτο κινδυνευούσης, τοὺς ἐπὶ τῆς Μελιτηνῆς οὕτω καλουμένης λεγεῶνος Χριστιανοὺς ὄντας δι' εὐχῆς ἐκτενοῦς πρὸς τὸν Θεὸν γενομένης τοὺς μὲν πολεμίους κεραυνῷ

2 Ἀντωνῖνος – κδ': cf. Georg. Mon. 451.10 cap. 65, § 1: cf. Georg. Mon. 451.17–18 § 3: cf. Georg. Sync. 431.3–6; Euseb. HE V.5

C [F_1]PH[K]

1 ἀντωνῖνος ὁ εὐσεβὴς ἔτη κδ in mg. C : βασιλεία ἀντωνίνου F_1 : μάρκος (μάρκος superlineavit H) ἀντωνῖνος καὶ βῆρος ὁ γαμβρὸς αὐτοῦ (καὶ – αὐτοῦ superlineavit H) H **2** ὁ om. H post κδ' add. υἱοποιηθεὶς τῷ ἀδριανῷ (ἀνδριανῷ H)· καὶ P H K (non add. F_1) **3** post ἐπεκτήσατο (sic F_1 : ἐκτήσατο C) add. ὡς φησὶ δὲ κλήμης ὅτι ἐπὶ αὐτοῦ. οὐαλεντῖνος· καὶ κέρδων· καὶ μαρκίων ἐπὶ τῆς ῥώμης αἱρεσιάρχαι ἐγνωρίζοντο· πολυκάρπου δὲ ἐπισκόπου σμύρνης εἰς ὄψιν ἐλθόντος μαρκίωνος, πρὸς αὐτὸν φησὶν ὁ μαρκίων· ἐπιγίνωσκε ἡμᾶς ὦ καλὲ πολύκαρπε· ὁ δὲ ἐπιγινώσκω σε ἔφη τὸν πρωτότοκον τοῦ σατανᾶ C (non add. F_1) post δὲ add. ἀντωνῖνος C (non add. F_1) **3–4** προβαλλόμενος F_1 P H K **4** post γαμβρόν add. ἐπὶ ἀντωνίνου οὐίρου βαρδισάνης τις σύρος διαλεκτικώτατος καὶ σοφὸς ἦν, ὥστε θαυμάζεσθαι αὐτοῦ τὸν πρὸς ἀντωνῖνον κατὰ εἱμαρμένης λόγον P H K (cf. Euseb. HE IV.30) (non add. F_1) **cap. 65.1** Μάρκος Ἀντωνῖνος ὁ φιλόσοφος (ὁ φιλόσοφος om. H K) – αὐτοῦ : μάρκος ἀντωνῖνος ὁ φιλόσοφος ἔτη ιθ in mg. C : βασιλεία μάρκου F_1 **2** post Ἀντωνῖνος add. ὁ φιλόσοφος C (non add. F_1) **3–7** οὗτος (οὗτος δὲ C) – ἐτίμησαν post προσαγορεῦσαι (**l. 13**) transp. C (non transp. F_1) **3** ἦν (sic F_1) : ὢν C Ῥώμην : πόλιν P **5** post υἱοῦ (υἱοῦ om. K) add. αὐτοῦ H K **6** post ἀρετῆς add. αὐτοῦ F_1 P H K **7** ἐτίμησαν (sic F_1) : ἐτίμησε P H K post πολεμοῦντος add. δὲ C (non add. F_1) **8** Σαρμάτας (sic F_1) : σαυρομάτας P H K στρατιᾶς (sic F_1) : στρατείας P : στρατίας H K **9** ἐπὶ : ἀπὸ in app. Tafel καλουμένης λεγεῶνος (sic F_1) : καλουμένους λεγεῶνας (vel λεγεῶνος) C **10** τὸν om. P H K (quod exhib. F_1) post γενομένης (γινομένης F_1? P H K) add. ἱστορεῖται (ἱστορῆσαι H) P H K (non add. F_1) πολεμίους (sic F_1) : πολεμίου C

βαλεῖν, ὄμβρῳ δὲ τοὺς Ῥωμαίους παραμυθήσασθαι, ὅπερ, ὥς φασιν, σφοδρῶς καταπλῆξαι τὸν Μάρκον γράψαι τιμῆσαι Χριστιανούς, τὴν δὲ λεγεῶνα Κεραυνοβόλον προσαγορεῦσαι.

66 Κόμοδος ὁ υἱὸς Μάρκου

Κόμοδος, υἱὸς Μάρκου, ἐβασίλευσεν ἔτη ιβ', μῆνας ε'. οὗτος εἶχε τρίχας ξανθάς, εἰκασμένας χρυσῷ. ἦν δὲ φιλοκύνηγος· ὅν φασιν ἐν μιᾷ ἡμέρᾳ δώδεκα λέοντας φονεῦσαι. γέγονε δὲ ποδαλγὸς καὶ καταβαρής. συνέβη δὲ πολλὰ τοὺς κατὰ τὴν Ῥώμην παθεῖν ἐν ταῖς ἡμέραις αὐτοῦ. **2** Νάρκισσος δέ τις τῶν οἰκείων αὐτοῦ ἀπέπνιξεν ἐν τῷ λουτρῷ, ὥς φησιν Ἀφρικανὸς ὁ σοφώτατος. **3** ἐπὶ τούτου Κλήμης ὁ Στρωματεὺς ἐν Ἀλεξανδρείᾳ ἐγνωρίζετο. Κλήμεντος δὲ φοιτητὴς Ὠριγένης ἐγένετο. ἀλλὰ καὶ Μοντανὸς αἱρεσιάρχης τότε ἦν, ὃς ἑαυτὸν παράκλητον ἔλεγεν εἶναι.

---

2 Κόμοδος – ε': cf. Georg. Mon. 452.2–3 § 2: cf. Euseb. HE V.12.1 (Iulius Africanus) § 3: cf. Georg. Sync. 434.12–13; Euseb. HE V.11.1

C [F_1]PH[K]

---

11 βαλεῖν (sic F_1) : βληθῆναι C **11–12** σφοδρῶ H **12** καταπλῆξαι (sic F_1) : καταπλῆξαν P H K post Μάρκον add. καὶ C, fort. recte (vide introd. III.3.1.1 : non add. F_1) **12–13** γράψαι (sic F_1 : γράφει P) – λεγεῶνα om. H K **13** κεραυνόβολον H post προσαγορεῦσαι (i.e. post ἐτίμησαν, vide supra) add. ἐπὶ δὲ αὐτοῦ ἐγνωρίζετο ὀππιανὸς ὁ τὰ ἁλιευτικὰ συγγραψάμενος C (non add. F_1) **cap. 66.1** Κόμοδος ὁ (ὁ om. H K) υἱὸς Μάρκου : κόμοδος ἔτη ιβ μῆνας ε in mg. C : βασιλεία κώμωδος F_1 **2** post Κόμοδος add. ὁ C (non add. F_1) **3** εἰκασμένας (sic F_1) : ἐοικυίας μικροῦ δεῖν C ἦν δὲ (post δὲ add. μοιχικώτατος (μαχικώτατος H : μυχικώτατος K) πάνυ καὶ P H K) φιλοκύνηγος om. F_1 post ὅν add. καί C (non add. F_1) φησιν H **4** δώδεκα : fort. ιη H καταβαρής (-ύς H) : κατωβαρής C : non adhib. F_1 **5** τοὺς – παθεῖν : κακὰ παθεῖν τὴν ῥώμην C : non adhib. F_1 **6** Νάρκισσος (νάρκισος P H) δέ (τὸν δὲ κόμοδον ναρκισσός C) – λουτρῷ post εἶναι (**l. 10**) transp. C : non adhib. F_1 post ἀπέπνιξεν add. αὐτὸν P H K : non adhib. F_1 λουτρῷ : βαλανείω H **6–7** ὥς – σοφώτατος in mg. P **7** φησιν : φασὶν H : φησὶ δὲ C (vide infra) post σοφώτατος add. ὅτι C : non adhib. F_1 ἐπὶ τούτου : ἐφ' οὗ F_1 : ἐπὶ κομόδου P H K στροματεὺς H K **8** ἀλεξανδρία H **9–10** ἔλεγεν εἶναι : εἶναι ἔλεγε C : ἔλεγεν F_1

67 Περτίναξ

Περτίναξ ἐβασίλευσεν ἡμέρας πζ', μήτε τὴν γυναῖκα μήτε τὰ τέκνα εἰς τὸ παλάτιον ἀγαγών, ἀλλ' ἐάσας παρὰ τῷ πάππῳ διαιτᾶσθαι. οὗτος ἐσφάγη παρὰ τῶν στρατιωτῶν. **2** ἐπὶ Περτίνακος Σύμμαχος, εἷς τῶν ἑρμηνευτῶν, Ἐβιωναῖος τὴν αἵρεσιν, ἦν, ἀλλὰ καὶ Πορφύριος φιλόσοφος, ὁ κατὰ Χριστιανῶν γράψας, καὶ Ἀφρικανὸς ὁ σοφώτατος.

68 Ἰουλιανὸς Δίδιος

Ἰουλιανὸς Δίδιος ἐβασίλευσεν ἡμέρας ξς', φαυλότατος τοῖς τρόποις καὶ τοῖς ἔργοις ἀνοσιουργὸς καὶ χρημάτων ἐραστής. οὗτος διὰ ταῦτα ἐσφάγη, ψήφῳ τῆς βουλῆς, μεγάλα ἐπιβοώμενος· τί γὰρ δεινὸν ἐποίησα;

69 Σευῆρος

Σευῆρος ἐβασίλευσεν ἔτη ιζ', μῆνας η'. **2** οὗτος τὸ Βυζάντιον παραλαβὼν τὰ τείχη αὐτοῦ καθεῖλεν. εἶχε δὲ πύργους ἑπτὰ ἐκ τῶν θρᾳκικῶν πυλῶν ἀρχομένους καὶ ἐπὶ τὴν ἀρκτῴαν θάλασσαν καθήκοντας, καὶ

---

§ 1: cf. Georg. Mon. 452.8–10 § 2: cf. Euseb. HE VI.17 (de Symmachi haeresi); VI.19.2sqq. (de Porphyrio) cap. 68: cf. Georg. Mon. 452.12–14 cap. 69, § 1: cf. Georg. Mon. 452.16

C [F_1]PH[K]

---

1 Περτίναξ : περτΐναξ ἡμ^{έρ} πζ in mg. C : βασι^{λ} περτίναξ F_1 **2** τὴν om. H μήτε (ἢ C) τὰ τέκνα (τέκνα αὐτοῦ C) om. H K : non adhib. F_1 **3** εἰσαγαγών C : non adhib. F_1 διαιτῆσθαι P **3–6** οὗτος – σοφώτατος : ἐπὶ δὲ περτίνακος ὡς φησὶν εὐσέβιος, ἦν σύμμαχος· εἷς τῶν ἑρμηνευτῶν τῆς τῶν ἑβραίων γραφῆς· ὃς ἦν ἐβιωναῖος τὴν αἵρεσιν· ἀλλὰ καὶ πορφύριος ὁ φιλόσοφος ὁ κατὰ χριστιανῶν γράψας. ὁ δὲ περτίναξ. ἐσφάγη ὑπὸ τῶν στρατιωτῶν C : non adhib. F_1 **4** Σύμμαχος om. P (cf. C supra) : non adhib. F_1 **5** Ἐβιωναῖος : ἐν βίω νέος H post Πορφύριος add. ὁ C H : non adhib. F_1 **6** σοφώτατος : χρονογράφος H K : non adhib. C F_1 **cap. 68.1** Ἰουλιανὸς Δίδιος : ἰουλιανὸς ὁ δΐδιος ἡμ^{έρ} ξζ (ϛ?) in mg. C : βασιλεία ἰουλιανοῦ F_1 **2–3** τοῖς – ἔργοις : ὧν τοὺς τρόπους. καὶ τοῖς τρόποις C : om. F_1 **3** οὗτος (sic F_1) : ὃς C **3–4** ταῦτα – βουλῆς (sic F_1) : τὸ αἰσχρῶς βιοῦν καὶ ἀπανθρώπως ὑπὸ τῆς βουλῆς θανάτῳ ψηφισθεὶς ἐσφάγη C **4** post ἐπιβοώμενος add. ἐν τῷ σφάττεσθαι C : non adhib. F_1 **cap. 69.1** Σευῆρος (σεβῆρος K) : σευῆρος ἔτη ιζ μῆνας ξ (ζ?) ϛ in mg. C : βασιλεία σεβήρου F_1 **2** η' (sic F_1) : ἑπτά C **3** post δὲ add. τὸ βυζάντιον C (non add. F_1)

τούτων, εἴ τις ἐν ἑτέρῳ πύργῳ προσῆλθεν, οὐδεμία αἴσθησις τοῖς ἄλλοις ἐγίνετο. εἰ δὲ ἐν τῷ πρώτῳ πύργῳ ἀνεβόησεν ἢ καὶ λίθον ἐσάλευσεν, αὐτός τε ἤχει καὶ τῷ δευτέρῳ καὶ τοῖς λοιποῖς πᾶσιν ἐφεξῆς μετεδίδου τῆς ἠχῆς. οὗτος καὶ τὸ Ζεύξιππον λοετρὸν ἔκτισε Βυζαντίοις καὶ τὸ πρῶτον κτίσμα τῷ ἱπποδρομίῳ παρέδωκε καὶ κυνήγιον καὶ θέατρον αὐτοῖς κατεσκεύασεν. **3** ἐπὶ τούτου ἤκμαζε καὶ Ὠριγένης, ὃς ἐνέσπειρεν ἐπὶ τῆς γῆς πονηρὰ ζιζάνια καὶ πᾶσαν ἀκαθαρσίαν ἐπεδείξατο. ἐμαρτύρησε δὲ καὶ Λεωνίδης, ὁ πατὴρ Ὠριγένους. **4** νοσηλευθεὶς δὲ ὁ βασιλεὺς ἐτελεύτησεν ἐν πολέμῳ. **5** οὗτος τὸν ἐν Βρεττανίᾳ νικήσας πόλεμον ἀπὸ θαλάσσης εἰς θάλασσαν περιετείχισε τὴν νῆσον σταδίοις χιλίοις.

70 Ἀντωνῖνος

Ἀντωνῖνος, ὁ υἱὸς Σευήρου, ἐβασίλευσεν ἔτη ϛ', μῆνας β'. οὗτος τὸν ἴδιον ἀδελφὸν ἐν τῷ κόλπῳ τῆς μητρὸς ἀπέσφαξε. **2** Σαραπίων δέ τις μαθηματικὸς ἔλεγεν, ὡς τεθνήξεται Ἀντωνῖνος καὶ Μακρῖνος αὐτὸν διαδέξεται· καὶ ἔδειξεν αὐτὸν τῷ δακτύλῳ παρεστῶτα μετὰ τῆς συγκλήτου.

---

§ 3: cf. Georg. Mon. 452.18–20 § 5: cf. Georg. Mon. 452.16–18 cap. 70, § 1: cf. Georg. Mon. 459.25–460.2

C [F_1]PH[K]

---

5 εἰσῆλθεν H αἴσθησις post ἐγίνετο transp. C (non transp. F_1) **6** ἀνεβόησεν : ἐνευόησεν F_1 : ἐβόησεν C **8–10** οὗτος – κατεσκεύασεν (sic F_1) : ἔκτισε δὲ καὶ τὸ δημόσιον λουτρὸν τὸ λεγόμενον ζεύξιππον. διὰ τὸ ἐν ἐκείνω τῶ τόπω πρότερον· στήλην χαλκῆν τοῦ ἡλίου ἵστασθαι. ἣν οἱ θράκες τῆ ἰδία γλώσση, ζεύξιππον ἔλεγον· ᾠκοδόμησε δὲ καὶ ναὸν ἐν τῆ ἀκροπόλει τῶ ἡλίω· πλησίον τῶν ἐκεῖσε ὄντων δύο ἱερῶν· τῆς τε ἀρτέμιδος καὶ τῆς ἀφροδίτης· καὶ κυνήγιον πάνυ μέγα· καὶ θέατρον κατέναντι τοῦ ἱεροῦ τῆς ἀφροδίτης· καὶ τὸ ἱπποδρόμιον αὐτὸς ἔκτισεν C **8** Ζεύξιππον : ζεύξημον F_1 : ζευξιππὸν H : ζεύξιπον K **10–12** ἐνέσπειρεν (ἔκτισεν H) – Ὠριγένους (sic F_1) : πονηρῶν ζιζανίων ὑφηγητὴς γενόμενος, αἱρέσεις ἐνέσπειρε· λόγοις πιθανοῖς τοὺς ἀφελεστέρους πείθων· καὶ πρὸς ἑαυτὸν τῆ τούτου κομψεία ἐπισυρόμενος· καὶ μετεμψύχωσιν ἐδόξαζεν· ἀπ᾽ ἄλλου εἰς ἄλλον τὴν ψυχὴν μεταβαίνουσαν· ἐπὶ δὲ σευήρου ὥς φησὶν εὐσέβιος, παῦλος ὁ σαμοσατεὺς, τὴν ἀρτέμονος αἵρεσιν ἀνενεώσατο· καὶ λεωνίδης ὁ πατὴρ ὠριγένους διὰ χριστὸν ἐμαρτύρησεν C **11** post πονηρά add. καὶ ἄριζα H **12–13** νοσηλευθεὶς – πολέμῳ : ὁ δὲ αὐτὸς σευῆρος· ἐν πολέμοις σχολάζων, νόσω τελευτᾶ C (non add. F_1) **13–14** οὗτος τὸν (τὸν om. H) – χιλίοις om. C (non add. F_1) **cap. 70.1** Ἀντωνῖνος : ἀντωνῖνος ἔτη ϛ μῆνας β in mg. C : βασιλεία ἀντωνίνου F_1 : ἀντωνῖνος ὁ υἱὸς σευήρου, ὁ καράκαλος P : om. H **2** ὁ (sic F_1) om. P H K μῆνας β om. H K **3** post μητρὸς add. αὐτοῦ H K Σαραπίων : σεραπίων H K : non adhib. F_1 § 2 post § 3 transp. C : non adhib. F_1 **3–4** μαθητικὸς P **4** post τεθνήξεται add. οὐκ εἰς μακρὰν C : non adhib. F_1 τεθνήξαντα ἀντωνῖνον H

ὁ δὲ ὑπὸ θυμοῦ (μᾶλλον δὲ ὑπὸ τῆς τύχης) οὐ συνῆκε τῷ προσώπῳ Μακρίνου, ἀλλ' ἕτερον τὸν πλησίον ἐκέλευσεν ἀποκτανθῆναι. ὁ δὲ Μακρῖνος ἐσπούδαζε τὸν Ἀντωνῖνον προκαταλαβεῖν καὶ τοῦ Ἀντωνίνου ἀπὸ τοῦ ἵππου κατελθόντος ἐν κυνηγίῳ εἰς ἀπόπατον ἑκατόνταρχον ἀποστείλας τοῦτον τῷ ξίφει ἀνεῖλεν, εἰπὼν πρὸς αὐτόν, ὡς σὺ τὸν ἀδελφὸν ἀπέσφαξας, οὕτω κἀγὼ σέ. **3** ἐπὶ Ἀντωνίνου Ὠριγένης διάφορα συγγράμματα καταλέλοιπε, μετὰ καὶ τῆς τῶν Ἑβραίων σημειώσεως τὰ λεγόμενα Ἑξαπλᾶ.

71 Μακρῖνος

Μακρῖνος ἐβασίλευσεν ἔτος ἕν, μῆνας δύο. **2** Εὐτυχιανὸς δέ τις παραλαβὼν τὸν Ἄβιτον ὡς Ἀντωνίνου ὄντα υἱὸν μοίχιον περιτέθηκε διάδημα καὶ αὐτοκράτορα ἀνηγόρευσε. καὶ δοὺς χρυσίον τοῖς στρατιώταις συνέβαλε πόλεμον μετὰ Μακρίνου, καὶ ἡττηθεὶς Μακρῖνος ἔφυγε καὶ ἀπεσφάγη μετὰ τοῦ υἱοῦ αὐτοῦ.

72 Ἄβιτος

Ἄβιτος ἐβασίλευσεν ἔτη τρία, μῆνας ἐννέα. οὗτος γυναικώδης ἦν, ὥστε καὶ Ἱεροκλέα ἔννομον αὐτοῦ ἄνδρα ποιῆσαι. **2** ἐσφάγη δὲ διὰ τὰς ἀκαθαρσίας αὐτοῦ, κακῶς τὸ ζῆν ἀπορρήξας. καὶ ἐβασίλευσεν Ἀλέξανδρος,

---

cap. 71, § 1: cf. Georg. Mon. 460.8 cap. 71, § 2: cf. Georg. Mon. 460.12

C [F_1]PH[K]

---

6 τύχης : λύπης H K **8** ἀντωνΐου P **9** post ἑκατόνταρχον add. ὁ μακρῖνος C : non adhib. F_1 **10** τῷ : τὸ H **11** οὕτως H post ἐπὶ add. δὲ C : non adhib. F_1 post Ἀντωνίνου add. ὡς φησὶ κλήμης· ὅτι C : non adhib. F_1 **12** μετὰ καὶ : an scrib. καὶ μετὰ? **cap. 71.1** Μακρῖνος : μακρῖνος ἔτος α μῆνας β in mg. C : μαρκῖνου F_1 **3** ὡς om. C : non adhib. F_1 ὄντα om. P H K περιέθηκε H K **4** τοῖς : ταῖς H post στρατιώταις add. ἀντῆρε καὶ C : non adhib. F_1 **5** συνέβαλε : συνέλαβον H **6** τῶν υἱῶν P H K : non adhib. F_1 **cap. 72.1** Ἄβιτος : ἄβϊτος ἔτη γ μῆνας θ in mg. C : ἀβίτου F_1 **2** post Ἄβιτος add. ὁ νόθος υἱὸς ἀντωνίνου C (quod non add. F_1) ἦν : ὢν· τοσοῦτος ἦν πρὸς τὸ τῆς ἀσελγείας πάθος κακῶς διακείμενος C : exhib. ἦν, sed om. ὥστε – ποιῆσαι F_1 **3** post καὶ add. τὸν C : non adhib. F_1 **3–6** ἐσφάγη – ποιεῖσθαι (sim. exhib. F_1) : ὡς δὲ φησὶ δίων· ὅτι ἄβιτος· τὸν ἰατρὸν ἠντιβόλει· διφυῆ αὐτὸν διὰ τομῆς ἐμπροσθίου τῇ τέχνῃ ποιῆσαι· ὃς διὰ τὰς ἀκαθαρσίας αὐτοῦ καὶ μιαρὰς ἀκολασίας, ἐσφάγη· κακῶς τὸ ζῆν ἀπορρήξας. καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ, ἀλέξανδρος ὁ τούτου ἀδελφός C **4** ἀπορρίψας H

ἐξάδελφος αὐτοῦ. Ἄβιτος τὸν ἰατρὸν ἠντιβόλει διφυῆ αὐτὸν διὰ τομῆς ἐμπροσθίου τῇ τέχνῃ ποιεῖσθαι.

73 Ἀλέξανδρος ὁ Μαμαίας

Ἀλέξανδρος ὁ Μαμαίας ἐβασίλευσεν ἔτη ιγ', μῆνας η'. ἐπὶ αὐτοῦ γέγονε λιμὸς ἐν Ῥώμῃ, ὥστε καὶ κρεῶν αὐτοὺς ἀνθρωπίνων ἅψασθαι. **2** οὗτος ἐκστρατεύσας κατὰ Περσῶν ἡττήθη κατὰ κράτος καὶ καταφρονηθεὶς ἐσφάγη· καὶ προεβάλοντο οἱ στρατιῶται Μαξιμῖνον. **3** Μαμαία, ἡ Ἀλεξάνδρου μήτηρ, θεοσεβὴς ἐτύγχανε καὶ τὸν Ὠριγένην ἐν Ἀντιοχείᾳ διατρίβοντα μετεπέμψατο πρὸς αὐτὴν τοῦ διδαχθῆναι τὸ κατὰ Χριστὸν μυστήριον.

74 Μαξιμῖνος

Μαξιμῖνος ἐβασίλευσεν ἔτη ϛ'. οὗτος ποιμὴν ὢν καὶ μετὰ ταῦτα στρατιώτης γεγονώς, εἶθ' οὕτως στρατηγὸς Ἀλεξανδρείας, ὑπὸ τοῦ δήμου καὶ τῆς βουλῆς προεβλήθη βασιλεὺς δι' ἀνδρείαν καὶ φρόνησιν. **2** μετὰ

5–6 Ἄβιτος – ποιεῖσθαι: cf. Dio Cass. 80.16.7; Zon. 12.14, p. 118.30–119.3D; Cedr. I.449.22–450.1 **cap. 73.2** Ἀλέξανδρος – η': cf. Georg. Mon. 460.14–15 § 2: cf. Georg. Mon. 460.15–16 § 3: cf. Euseb. HE VI.21.3–4 **cap. 74.2** Μαξιμῖνος – ϛ': cf. Georg. Mon. 460.21 **4–5** μετὰ – Βαλβίνου: cf. Georg. Mon. 460.22

C [F_1]PH[K]

---

6 ποιῆσαι H **cap. 73.1** Ἀλέξανδρος ὁ Μαμαίας : ἀλέξανδρος ὁ μαμαίας ἔτη ιγ μῆνας η in mg. C : αλεξαν[δ] F_1 : ἀλέξανδρος H **2** post Μαμαίας add. ὁ ἀδελφὸς ἀβίτου C **3** ἀνθρωπείων C **4–5** ἡττήθη – καὶ : καὶ ἡττηθεὶς ἐσφάγη F_1 : om. P **4** καταφρονηθεὶς : συλληφθεὶς H **5** post ἐσφάγη add. ὑπὸ περσῶν H K : non adhib. P προὲβάλλοντω H **6** post μήτηρ add. ὡς φησὶν εὐσέβιος C : non adhib. F_1 **7** μετὲπέμπεται H ἑαυτὴν C : non adhib. F_1 **cap. 74.1** Μαξιμῖνος : μαξιμῖνος ἔτη ϛ in mg. C : βασιλεία μαξημίνου F_1 **2** ϛ' : re vera regnavit a. 235–238 (Georg. Mon. 3 annos) **2–4** οὗτος – φρόνησιν : οὗτος ποιμὴν ὢν τοπρότερον· εἶθ' οὕτως στρατιώτης γεγονὼς, μεταταῦτα στρατηγὸς ἀλεξάνδρου δι' ἀνδρίαν σώματος. καὶ σύνεσιν καὶ φρόνησιν, ὑπὸ τοῦ δήμου καὶ τῆς βουλῆς προεχειρίσθη βασιλεύς C : οὗτος ποιμὴν ὢν· ει[τ] στρατιώτης γεγωνὸς· ὑπὸ τῆς βουλῆς καὶ τοῦ δήμου προεβλήθη βασιλεὺς F_1 **2** ὢν : ἣ H **4** post προεβλήθη add. δὲ H K **4–8** μετὰ – Χριστιανῶν : ὃς ἔχθει τῶ πρὸς τὸν ἀλέξανδρον· ὡς πολλοὺς χριστιανοὺς ἔχοντα καὶ τιμῶντα, διωγμὸν ἤγειρε μέγαν κατὰ χριστιανῶν· ἐπάξιον δὲ τῆς ἑαυτοῦ ἀνοσιουργοῦ γνώμης, τὸ τέλος εὕρατο, σφαγεὶς δολίως ὑπὸ μαξίμου καὶ βαλβίνου C : ὃς τὴν (sic ut vid. F_1 : ὅστις E (Marcianus (Venetus) gr. 608)) πολλὴν διώγμὸν κατὰ τον χριστιανὸν ἤγειρεν· μετὰ δὲ ταῦτα ἐσφάγη παρὰ μαξίμου καὶ βαλβίνου F_1

δὲ ταῦτα ἐσφάγη δολίως παρὰ Μαξίμου καὶ Βαλβίνου, ἄξιον τῆς ἑαυτοῦ ἀνοσιουργοῦ γνώμης εὑρὼν τὸ τέλος· Μαξιμῖνος ἔχθει τῷ πρὸς Ἀλέξανδρον, πολλοὺς Χριστιανοὺς ἔχοντι καὶ τιμῶντι, διωγμὸν ἤγειρε μέγα κατὰ Χριστιανῶν.

75 Μάξιμος καὶ Βαλβῖνος

Μάξιμος καὶ Βαλβῖνος ἐβασίλευσαν ἡμέρας κβ'. τῷ αὐτῷ δὲ τρόπῳ ἀπεσφάγησαν οὗτοι ὑπὸ τῶν στρατιωτῶν, ὁμοίως καὶ Γορδιανὸς ὁ προγεγονὼς καῖσαρ παρὰ Μαξιμίνου καὶ αὐτὸς βασιλεύσας ἀνῃρέθη, ὡς κωλύσαντος Φιλίππου τοῦ ἐπάρχου τὸν σῖτον διακομισθῆναι τῷ στρατῷ. οὗτος δὲ ὁ Φίλιππος ἦν πατὴρ τῆς ἁγίας μάρτυρος Εὐγενίας. **2** ἐπὶ Μαξίμου καὶ Γορδιανοῦ Ἀφρικανὸς ὁ συγγραφεὺς ἐγνωρίζετο.

76 Φίλιππος

Φίλιππος ἐβασίλευσεν ἔτη πέντε· ὃς ὑπῆρχε μὲν τῆς τῶν Χριστιανῶν πίστεως σπουδαστής, συνέσει καὶ ἐπιεικείᾳ κεκοσμημένος, ὡρμᾶτο δὲ ἀπὸ Βόστρας, ἔνθα καὶ πόλιν ᾠκοδόμησεν ὀνομάσας αὐτὴν Φιλιππούπολιν. **2** οὗτος σπονδὰς εἰρηνικὰς ἐποίησε μετὰ Σαβώρου, βασιλέως Περσῶν. ὃς ἐθαυμάζετο ἐπὶ μεγέθει σώματος. μέχρι γὰρ ἐκείνου τοῦ χρόνου τηλικοῦτος ἄνθρωπος οὐκ ὤφθη. **3** ἀνῃρέθη δὲ ὁ Φίλιππος ἅμα τῷ υἱῷ ἀγωνιζόμενος ὑπὲρ Χριστιανῶν ὑπὸ Δεκίου.

---

§ 1: cf. Georg. Mon. 461.2–3 cap. 76, § 1: cf. Georg. Mon. 465.8–10 § 3: cf. Georg. Mon. 465.10

C [F_1]PH[K]

---

5 ἀπεσφάγη P (de C F_1 vide supra) **6** τὸ om. H ἔχθει τῷ : ἔχθη τὸ H : ἐχθητὸ K : non adhib. F_1 **6–7** ἀλεξάνδρειαν P : non adhib. F_1 **7** ἔχοντι : cf. introd. III.3.1.1 et ind. graecitatis s.v. *incongruentia casuum* **7** τιμῶντι (τιμόντι H) : τιμῶν P : τιμῶντα C : non adhib. F_1 **cap. 75.1** Μάξιμος καὶ Βαλβῖνος : μάξιμος καὶ βαλβῖνος ἡμέρ κβ in mg. C : βασιλεία μαξίμου καὶ βαλβίνου F_1 **2** ἐβασίλευσεν P δὲ αὐτῶ C : non adhib. F_1 **3** post ἀπεσφάγησαν (ἐπεσφάγησαν H) add. καὶ P H K : non adhib. F_1 **4** Μαξιμίνου (μαξημῖνου F_1) : μαξίμου P H K **5** τοὺς ἐπάρχους H **6** εὐγενείας H **7** post ἐπὶ add. δὲ C : non adhib. F_1 post Γορδιανοῦ add. ὡς φησὶν εὐσέβιος C : non adhib. F_1 post ἐγνωρίζετο add. γορδιανὸς (ante γορδιανὸς tituli modo add. γορδιανός P : ad cap. 75, § 1, add. γορδιανός in mg. C) καῖσαρ περὶ ἔτη που γεγονὼς δεκατρία αὐτοκράτωρ τε ἀνεδείχθη ἔτη ς καὶ τὴν ῥωμαίων ἀρχὴν ἀνεδέξατο. εἶτα ὑπὸ φιλίππου ἐπάρχου ἐπιβουλευθεὶς ἐτελεύτησεν P H K : non adhib. F_1 **cap. 76.1** Φίλιππος : φίλιππος ἔτη ε in mg. C : φιλίππου F_1 **3** σπαδαστῆς H **5** σαπφώρου C : non adhib. F_1 **8** post ὑπὲρ add. τῶν F_1 H K ὑπὸ (κατὰ C : παρὰ F_1) Δεκίου om. H

77 Δέκιος

Δέκιος ἐβασίλευσεν ἔτη δύο· ὃς πολλοὺς ἁγίους ἐτιμωρήσατο καὶ θανάτῳ παρέδωκεν. ἀνῃρέθη δὲ ὑπὸ Σκυθῶν, ὑποθήκαις Γάλλου καὶ Βολουσιανοῦ, ἐν πάλματι ἀποπνιγεὶς μετὰ τοῦ ἰδίου υἱοῦ, ἀξίαν τιμωρίαν τῆς ἰδίας αὐτῶν θηριωδίας ἐπιτυχόντες, ὡς μηδὲ τὰ σώματα αὐτῶν εὑρεθῆναι ἤ τι μέρος ἐξ αὐτῶν. **2** ἐπὶ τούτου ἦν Κλήμης ὁ Στρωματεὺς καὶ Ἀφρικανὸς καὶ Γρηγόριος ὁ Θαυματουργός. ἐπὶ Δεκίου Ναυάτος, πρεσβύτερος ὤν, ἀπέσχισε τῆς ἐκκλησίας· ὃς τοὺς ἐπιθύσαντας καὶ μετανοοῦντας οὐκ ἐδέχετο. ἐπὶ αὐτοῦ Κυπριανὸς ὁ ἅγιος ἐμαρτύρησε καὶ οἱ ἑπτὰ παῖδες οἱ ἐν Ἐφέσῳ καὶ πλῆθος ἁγίων.

78 Γάλλος καὶ Βολουσιανός

Γάλλος καὶ Βολουσιανὸς ἐβασίλευσαν ἔτη β', μῆνας η'. γέγονε δὲ ἐν ταῖς ἡμέραις αὐτῶν λοιμὸς κινηθεὶς ἀπὸ Αἰθιοπίας μέχρι τῆς δύσεως, καὶ οὐδεμία πόλις ἔμεινεν ἄμοιρος ταύτης τῆς ἀπειλῆς. ἐκράτησε δὲ ἔτη ιε', ἀρχόμενος ἀπὸ φθινοπώρου καὶ λήγων τῇ τοῦ Κυνὸς ἐπιτολῇ. μετεδίδοτο δὲ ἡ νόσος αὕτη ἀπό τε ἱματίων καὶ ψιλῆς θέας. καὶ Σκύθαι περάσαντες τὸν Ἴστρον πᾶσαν τὴν δύσιν καὶ Ἰταλίαν ἀνατολήν τε καὶ Ἀσίαν ἐπόρθησαν καὶ παρέλαβον δίχα μόνης Ἰλίου καὶ Κυζίκου. **2** ἀνῃρέθη δὲ ὁ Γάλλος καὶ Βολουσιανὸς ὑπὸ τῶν στρατιωτῶν, καὶ ἀνηγορεύθη

---

cap. 77, § 1: cf. Georg. Mon. 466.20–21 **7–8** ἐπὶ – ἐκκλησίας: cf. Georg. Mon. 467.4–5

C [F_1]PH[K]

---

1 Δέκιος : δέκιος ἔτη β in mg. C : om. H **2** ὃς : οὗτος C **3** post παρέδωκεν add. ἐπὶ τούτου ὡς φησὶν εὐσέβιος, ἦν γρηγόριος ὁ θαυματουργὸς· καὶ ναυάτος πρεσβύτερος. ὃς ἀπέσχισε τὴν ἐκκλησίαν· διὰ τὸ τοὺς ἐν τῶ διωγμῶ ἐπιθύσαντας καὶ μετανοήσαντας, μὴ δέξασθαι· ἐπὶ δὲ αὐτοῦ καὶ κυπριανὸς ὁ ἅγιος ἐμαρτύρησε· καὶ οἱ ἐν ἐφέσω ἑπτὰ παῖδες· καὶ πολὺ πλῆθος ἁγίων C (cf. cap. 77, § 2) ἀνῃρέθη δὲ : ὁ δὲ δέκιος C **3–4** Βολουσιανοῦ : βολοσιανοῦ P : βουλουσιανοῦ H K : non adhib. F_1 **4** πάλματι : τέλματι C : πέλματι H : non adhib. F_1 **5** ἐπιτυχόντες : εὑρόντες C **7–10** Γρηγόριος – ἁγίων : ὠριγένης ὁ ἐπικληθεὶς ἀδαμάντιος C (de C cf. autem supra) **7** post Δεκίου add. καὶ H **cap. 78.1** Γάλλος καὶ Βολουσιανός (βουλουσιανός P H) : γάλλος καὶ βολουσιανὸς ἔτη β μήνας η in mg. C : βασιλεία γάλου καὶ μουλουσιανοῦ F_1 **2–3** ἐν ταῖς ἡμέραις αὐτῶν (ἐκείναις C : non adhib. F_1) : ἐπ᾽ αὐτῶν H **3** λοιμὸς (λιμὸς H) ante ἐν (**1. 2**) exhib. C : non adhib. F_1 Αἰθιοπίας (αἰθιωπίας H) : non certe vid. P **4** ἔμεινεν : εὑρέθη P ταύτης τῆς : τῆς τοιαύτης C : τῆς αὐτῆς F_1 ιε' (sic F_1) : ια' P H K **6** νόσος : νῆσσος H post καὶ alt. add. οἱ P H K : non adhib. F_1 **8** Ἰλίου : ἰουλίου C : non adhib. F_1 ἀνῃρέθη (sic F_1) : ἀνηρέθησαν C **9** post ὁ add. τε C βουλουσιανὸς H

βασιλεὺς Αἰμιλιανός. ἐπὶ Γάλλου καὶ Βολουσιανοῦ ἡ κατὰ Σαβέλλιον αἵρεσις συνέστη.

79 Αἰμιλιανός

Αἰμιλιανὸς ἐβασίλευσε μῆνας δʹ. ἦρχε δὲ τοῦ ἐν Μυσίᾳ στρατεύματος ἔχων καὶ λιβυκὸν στρατόν. μεθʼ ὧν πολεμήσας τοὺς Σκύθας καὶ νικήσας ἐπήρθη τῇ εὐτυχίᾳ καὶ ἠντάρχησεν. **2** ἀναιρεῖται δὲ καὶ αὐτὸς ὑπὸ στρατιωτῶν.

80 Οὐαλεριανὸς καὶ Γαληνός

Οὐαλεριανὸς καὶ Γαληνός, ὁ υἱὸς αὐτοῦ, ἐβασίλευσαν ἔτη ιεʹ. **2** οὗτος Οὐαλεριανὸς πόλεμον μετὰ Σαβώρου τοῦ Πέρσου ποιήσας καὶ δορυάλωτος γεγονὼς ἐν Καισαρείᾳ τῇ πόλει ἔχων μυριάδας τεσσαράκοντα, ὑπὸ Σαβώρου ἐκδαρεὶς ἐτελεύτησεν. **3** ὁ δὲ Γαληνὸς μετὰ τοῦτον πρῶτος ἱππικὰ τάγματα κατέστησε. πεζοὶ γὰρ κατὰ πολὺ οἱ στρατιῶται τῶν Ῥωμαίων ὑπῆρχον. ἐσφάγη δὲ καὶ αὐτὸς ὑπὸ στρατιωτῶν.

---

cap. 79, § 1: cf. Georg. Mon. 467.7–8

C [F_1]PH[K]

---

10 post Αἰμιλιανός (αἱμυλιανὸς C : Αἱμιλιανός P) add. ὑπʼ αὐτῶν P H K : non adhib. F_1 Γάλλου καὶ Βολουσιανοῦ (βουλουσιανοῦ H) : τῶν αὐτῶν βασιλέων C : non adhib. F_1 **cap. 79.1** Αἰμιλιανός : αἱμυλιανὸς μήνας δ in mg. C : αἰμυλιανοῦ F_1 : αἱμιλιανός P **2** Αἰμιλιανός : αἱμυλιανὸς C : αἰμυλϊανὸς F_1 : αἱμιλιανὸς P **3** λιβυκὸν : κυλικῶν H ὧν : οὗ C : non adhib. F_1 **4** ἠντάρχησεν : ἐμονάρχησεν C : non adhib. F_1 : an scrib. ηὐτάρχησεν? post ὑπὸ add. τῶν C H (τῶν non exhib. F_1) **cap. 80.1** Οὐαλεριανὸς καὶ Γαληνός : οὐαλλεριανὸς καὶ γαλλῖνος ἔτη ιε in mg. C : οὖἀλεριανοῦ καὶ γαληνοῦ F_1 : οὐαλεριανὸς H **2** Οὐαλεριανὸς (sic F_1) : οὐαλλεριανὸς C Γαληνός (sic F_1) : γαλλῖνος C ἐβασίλευσαν (sic F_1 et H^{pc}) : ἐβασίλευσεν P H^{ac} (sic ut vid. H^{ac}) **2–3** οὗτος Οὐαλεριανὸς (sic F_1) : οὗτος ὁ οὐαλλεριανὸς C : οὗτος οὐαλεριανὸς οὗτος H **3** Σαβώρου : σαπφώρου C : σαπόρου F_1 τῶν περσῶν H K **5** Σαβώρου : σαπφώρου C : σαπώρου F_1 : σαβωρίου H : σαβωρείου K Γαληνὸς (sic F_1) : γαλλῖνος C **6–7** στρατιῶται τῶν Ῥωμαίων (sic F_1) : ῥωμαίων στρατιῶται C **7** post στρατιωτῶν add. ἐπὶ τοῦ αὐτοῦ, εὐσέβϊος ὁ παμφίλου· ὁ ἐπίσκοπος καισαρείας τῆς παλαιστίνης, τὴν ἐκκλησιαστικὴν ἱστορίαν συντάττει C (quod non add. F_1)

81 Κλαύδιος

Κλαύδιος ἐβασίλευσεν ἔτος ἕν. οὗτος πάππος γέγονε Κωνσταντίου, τοῦ πατρὸς Κωνσταντίνου τοῦ μεγάλου. **2** ἐπὶ αὐτοῦ οἱ Σκύθαι περάσαντες, ἀπελθόντες εἰς Ἀθήνας παρέλαβον αὐτὰς καὶ συναγαγόντες πάντα τὰ βιβλία ἐβούλοντο καῦσαι. ὡς φρονῶν δέ τις ἐξ αὐτῶν ἐκώλυσεν αὐτοὺς εἰπών, ὅτι περὶ ταῦτα οἱ Ῥωμαῖοι σχολάζοντες τῶν πολέμων ἀμελοῦσιν. **3** οὗτος Αὐρηλιανὸν εἰς τὴν βασιλείαν προαγαγὼν νόσῳ τελευτᾷ.

82 Αὐρηλιανός

Αὐρηλιανὸς ἐβασίλευσεν ἔτη ϛʹ. ἀνῃρέθη δὲ ὑπὸ στρατιωτῶν μεταξὺ Ἡρακλείας καὶ τοῦ Βυζαντίου ἐν τῷ καλουμένῳ Καινῷ φρουρίῳ· καὶ ἐκεῖ ἐτάφη. **2** Αὐρηλιανός τις, ὃν ὠτακουστὴν ἔσχεν, ἀναφέροντα αὐτῷ πάντα τὰ γενόμενα καὶ λεγόμενα, ἀπειληθείς ποτε παρ᾽ αὐτοῦ διά τινα αἰτίαν καὶ φοβηθεὶς ἐμιμήσατο τὴν χεῖρα τοῦ βασιλέως ἐν γραφῇ

---

2 Κλαύδιος – ἕν: cf. Georg. Mon. 467.15 cap. 82, § 1: cf. Georg. Mon. 467.19–20

C [F_1]PH[K]

---

1 Κλαύδιος : κλαύδιος ἔτος α in mg. C : βασιλέως (? (κλαυδίου βασι^λ´ E)) κλαυδίου F_1 **2** Κωνσταντίου : κώνσταντος C : κωνσταντίνου ut vid. F_1 : κώνστα supra κωνσταντίου ut vid. K **3** μεγάλου (sic C F_1) : ἁγίου P H K αὐτοῦ (sic F_1) : τούτου C **3–4** post περάσαντες add. καὶ τὰς πόλεις πορθήσαντες C (non add. F_1) **4** ἀπελθόντες : hic textum corruptum esse suspicatus est Tafel παρέλαβον : περιέσχον H **4–5** τὰ βιβλία πάντα C **5** ὡς – αὐτῶν : ἐξ αὐτῶν δέ τις C **7** νόσῳ om. C **8** post τελευτᾷ add. ἐπὶ τοῦ αὐτοῦ δὲ κλαυδίου· παῦλος ὁ σαμοσατεὺς ὁ ἐπίσκοπος ἀντιοχείας, ἑτεροδόξησε. ψιλὸν ἄνθρωπον τὸν χριστὸν εἰπών C : add. κυντῖλλος (-λ- H)· κυντῖλλος (-λ- H), ἀδελφὸς κλαυδίου, βασιλεὺς ἀναρρηθεὶς καὶ (βασιλεὺς ἀναρρηθεὶς καὶ : ἐβασίλευσεν H K) ἡμέρας ὀλίγας (ὀλίγας ἡμέρας H) βιώσας μνήμης τε οὐδὲν ἄξιον πεπραχώς, ἐπειδὴ αὐρηλιανὸν ἔγνω ἐπιβῆναι μέλλοντα τῆς ῥωμαίων ἀρχῆς, ἑαυτὸν ὑπεξάγει τοῦ βίου, τὴν φλέβα (φλέβαν H) τμηθεὶς τῆς χειρὸς ὑπό τινος τῶν ἰατρῶν (τῆς χειρὸς ὑπό τινος τῶν ἰατρῶν : ὑπό τινος τῶν ἰατρῶν τῆς χειρός H), μέχρις οὗ λιποψυχήσας ἐτελεύτησεν P H K (cf. Georg. Mon. 467.17 : non add. F_1) **cap. 82.1** Αὐρηλιανὸς : αὐρηλιανὸς ἔτη ϛ in mg. C : βασιλεία αὐριλιανοῦ F_1 cap. 82 (F_1 sim. exhib. P H K) : αὐρηλιανὸς ἐβασίλευσεν ἔτη ϛ· ἐπὶ τούτου ἐμαρτύρησεν ὁ ἅγιος λουκιανὸς· ἐγνωρίζετο δὲ καὶ μάνης ὁ κατάρατος. ἀφ᾽ οὗ καὶ μανιχαῖοι· ἀνηρέθη δὲ καὶ αὐτὸς ὑπὸ τῶν στρατιωτῶν C : fort. cap. 82 scrib.: Αὐρηλιανὸς ἐβασίλευσεν ἔτη ϛʹ. ἀνῃρέθη δὲ καὶ αὐτὸς ὑπὸ τῶν στρατιωτῶν. ἐπὶ τούτου ἐμαρτύρησεν ὁ ἅγιος Λουκιανός. ἐγνωρίζετο δὲ καὶ Μάνης ὁ κατάρατος, ἀφ᾽ οὗ καὶ Μανιχαῖοι. (C textum genuinum praebente sed ordine mutato) **3** τοῦ om. H Καινῷ om. H **4** ὃν : ὧν H αὐτῷ : αὐτὸν H

ποιησάμενος ὀνομασίας δυναστῶν, ὡς ἐπὶ θάνατον ἀπαχθησομένων· οἳ φοβηθέντες ἀνεῖλον αὐτόν. **3** ἐπὶ τούτου καὶ ὁ ἅγιος Χαρίτων ὡμολόγησεν. ἐπὶ Αὐρηλιανοῦ Μάνης ὁ κατάρατος ἐγένετο, ἀφ᾽ οὗ τὸ μανιχαῖον ὄνομα τοῖς πολλοῖς ἐπιπολάζει.

83 Τάκητος

Τάκητος ἐβασίλευσεν ἔτη δύο. οὗτος Μαξιμῖνον, συγγενῆ αὐτοῦ, ἐπέστησε τῇ Ἀσσυρίᾳ. ὃν διὰ τὰς ὑπ᾽ αὐτοῦ γενομένας ἀδικίας ἀνελόντες οἱ στρατιῶται, φοβηθέντες, μὴ ἐκδικήσῃ αὐτὸν ὁ Τάκητος, ἀπέκτειναν καὶ αὐτόν· καὶ γεγόνασι βασιλεῖς Πρόβος καὶ Φλοριανός.

84 Πρόβος καὶ Φλοριανός

Πρόβος καὶ Φλοριανὸς ἐβασίλευσεν ἔτη δύο. ἐπὶ αὐτοῦ βροχῆς γεγονυίας σῖτος κατηνέχθη πολύς, ὃν συναγαγόντες σωροὺς μεγάλους ἐποίησαν.

---

§ 3: cf. Euseb. HE VII.31; Georg. Sync. 471.9–10 **9** ἐπὶ – ἐγένετο: cf. Georg. Mon. 467.20–468.1 cap. 83: cf. Georg. Mon. 476.10–11 cap. 84: cf. Georg. Mon. 476.10–14

C [F_1]PH[K]

---

7 ὡς om. P : non adhib. C F_1 **cap. 83.1** Τάκητος : τάκϊτος ἔτη β in mg. C : βασιλεία τακίτου F_1 **2–5** Τάκητος – Φλοριανός (sim. exhib. F_1) : τάκϊτος ἐβασίλευσεν ἔτη δύο· ἀνηρέθη δὲ ὑπὸ τῶν στρατιωτῶν C **3** τῇ Ἀσσυρίᾳ : τηρεῖσθαι ἐν συρίᾳ H : τῇ συρίᾳ K : non adhib. C γενομένας : γινομένας H K : om. F_1 : non adhib. C **4** ἀδικήσει H αὐτὸν : αὐτοὺς H **5** φλωριανός P **cap. 84.1** Πρόβος καὶ Φλοριανός (φλωριανός P) : πρόβος καὶ φλωρϊανὸς ἔτη β in mg. C : πρόβου καὶ φλοριανοῦ F_1 **2** φλωριανὸς C P ἐβασίλευσεν (sic F_1) : ἐβασίλευσαν C H K post δύο add. μῆνας δ. οὗτος οὖν ὁ πρόβος παράφρονα ἑαυτὸν ποιήσας ἀνεῖλε τὸν φλοριανόν F_1 P H K αὐτοῦ : αὐτῶν C **3** post σῖτος add. μεμιγμένος τῷ ὕδατι P H K : non adhib. F_1 post ἐποίησαν add. ὡς αὔτως καὶ ἐπὶ (ἐπὶ om. H) αὐρηλιανοῦ ψεκάδας ἀργυρᾶς κατενεχθῆναί φασι. βικτωρῖνος δέ, φίλος τοῦ πρόβου, ᾔτησε φίλον αὐτοῦ γενέσθαι εἰς βρεττανίαν. ὁ δὲ ἀπελθὼν ἀντῆρεν. ὀνειδιζόμενος οὖν ὁ βικτωρῖνος (-ορῖνος H) δι᾽ αὐτὸν (αὐτὸν : αὐτὴν H) ἀπεστάλη παύσων τὴν ἀνταρσίαν. προσποιησάμενος οὖν (οὖν om. P) ἀπὸ προσώπου φεύγειν (φεύγει H) τοῦ βασιλέως ὡς φίλος τοῦ ἀντάραντος (ἀντάρτου P) ἀπεδέχθη καὶ ἀνεῖλεν αὐτόν. ὑποστρέψας δὲ ὡς ἐξῄει τοῦ πλοίου, λύσας τὴν ζώνην ἔρριψεν εἰς τὴν θάλασσαν καὶ εἰσῆλθε λυσίζωνος εἰς τὸν βασιλέα. ὁ δὲ ὠργίσθη δοκῶν ὑφ᾽ ἑτέρου αὐτὸν τοῦτο πεπονθέναι. βικτωρῖνος δὲ ἔφη ὑφ᾽ ἑαυτοῦ τοῦτο γενέσθαι αἰτησάμενος μηκέτι ἄρξαι πράγματος· ἀρχὴ γὰρ πᾶσα μετὰ κινδύνων καὶ κλιμακτήρων. ὁ δὲ καὶ ἡσυχίαν αὐτῷ ἐχαρίσατο καὶ δωρεὰς πολλὰς παρέσχεν P H K : non adhib. F_1

2 ἀπέκτεινε δὲ πάντας τοὺς ἀποκτείναντας Τάκητον καὶ Αὐρηλιανὸν ἐν τῇ Πειρίνθῳ ἐπὶ ἑστίασιν αὐτοὺς καλέσας. ἀνῃρέθη δὲ καὶ αὐτὸς ὑπὸ τῶν περὶ αὐτόν· καὶ βασιλεύει Κάρος καὶ Καρῖνος καὶ Νουμεριανός.

85 Κάρος καὶ Καρῖνος καὶ Νουμεριανός

Κάρος καὶ Καρῖνος καὶ Νουμεριανὸς ἐβασίλευσαν ἔτη β'. οὗτος ὁ Κάρος τὴν Περσίδα καὶ Κτησιφῶντα παρέλαβε, τοῦτο ἤδη τέταρτον ἁλωθέντων· ὑπὸ Τραϊανοῦ, ὑπὸ Βήρου, Σευήρου καὶ Κάρου. τελευτήσαντος δὲ Κάρου καὶ Καρίνου τυφλωθέντος ἀνεῖλεν αὐτὸν Ἄπρος· καὶ ἐβασίλευσε Νουμεριανός. **2** ἐπὶ αὐτοῦ δὲ ἐμαρτύρησεν ὁ ἅγιος Γεώργιος καὶ ὁ ἅγιος Βαβύλας ἐν Ἀντιοχείᾳ. τοῦτον ἀνεῖλε Διοκλητιανός, δοὺξ τυγχάνων Μυσίας.

86 Διοκλητιανός

Διοκλητιανὸς ἐβασίλευσεν ἔτη κ', τῷ γένει Δαλμάτης. μὴ περιγενόμενος δὲ τῶν πραγμάτων προβάλλεται βασιλέα Μαξιμιανὸν Ἑρκούλιον, γαμβρὸν καὶ φίλον αὐτοῦ ὄντα. ὑφ᾽ ὧν μέγας διωγμὸς κατὰ Χριστιανῶν ἐκινήθη. οὗτοι ἐν ταῖς ἑαυτῶν ἐξουσίαις Κωνστάντιον καὶ Γαλλέριον προβάλλονται καίσαρας καὶ ποιοῦσι γαμβροὺς πείσαντες τὰς ἰδίας καταλιπόντας γαμετὰς αὐτῶν τὰς αὐτῶν εἰληφέναι θυγατέρας· Θεοδώρα

---

cap. 85: cf. Georg. Mon. 476.19–477.7 **cap. 86.2** Διοκλητιανὸς – κ': cf. Theoph. 6.4–7; Georg. Mon. 477.9–10 **2–4** μὴ – ὄντα: cf. Theoph. 6.18–19 (de genealogia vide et Theoph., p. 5); Georg. Mon. 477.9–10 **4** ὑφ᾽ ὧν: cf. Georg. Mon. 477.10–11; Theoph. 7.15–18 **5–8** οὗτοι – Γαλλερίου: cf. Theoph. 7.1–6

C [F_1]PH[K] **cap. 86** [C] [F_1]PH[K]

---

§ 2 : οὗτος ἀνεῖλε πάντας τοὺς ἀποκτείναντας τάκιτον· ἀνηρέθη δὲ καὶ αὐτὸς ὑπὸ τῶν στρατιωτῶν C : non adhib. F_1 **5** ἐπὶ ἑστίασιν : καὶ ἐπὶ ἑστίασιν P : ἐπὶ αἰτίας ἥν H : non adhib. C F_1 **cap. 85.1** Κάρος καὶ Καρῖνος καὶ Νουμεριανός : κάρος καρῖνος καὶ νουμεριανὸς ἔτη β in mg. C : κάρου καρῆνου καὶ νουμεριανοῦ F_1 καὶ Νουμεριανός om. H **2** οὗτοι H **2–3** ὁ – καὶ : τὴν ἐν περσίδι C **4** ἁλωθέντων (fort. α sub ων H) : ἁλωθεῖσαν C : ἀναλωθεν[τ] F_1 Βήρου, Σευήρου (σεβήρου H) : σευήρου· βήρου C : βήρου καὶ σεβήρου F_1 **5** post Κάρου add. ὑπὸ λοιμικῆς F_1 P H K Καρίνου (sic F_1) : νουμεριανοῦ C P H K **5–6** ἀνεῖλεν – Νουμεριανός : ἦρξε καρῖνος C **6–7** Γεώργιος : γερμανὸς P H K **7** καὶ om. C post Ἀντιοχείᾳ add. καὶ C **cap. 86.4** fort. χρισιανῶν P **6–7** καταλοιπεὶν H **7** αὐτῶν pr. om. H αὐτῶν alt. : ἑαυτῶν H

δὲ ἦν ἡ τοῦ Κωνσταντίου καὶ Βαλερία ἡ τοῦ Γαλλερίου. **2** ὧν ὁ Γαλλέριος δεηθεὶς Διοκλητιανοῦ πρὸς Πέρσας ἀπεστάλη πολεμήσων αὐτούς· οὓς μάχῃ νικήσας παρέλαβε τά τε βασίλεια καὶ τὴν γυναῖκα Σαβώρου καὶ μετὰ μεγάλης νίκης πρὸς Διοκλητιανὸν ἐξελήλυθε βαλάντια πεπληρωμένα ἔχων λίθων τιμίων καὶ μαργαρίτων, ἀφ᾽ ὧν πρῶτος Διοκλητιανὸς ἐσθῆτι καὶ ὑποδήμασι λίθοις τιμίοις καὶ χρυσῷ κεκοσμημένοις ἐχρήσατο. προσκυνεῖσθαί τε αὐτὸν παρὰ τὸ ἐξ ἀρχῆς ἔθος ἐκέλευσεν καὶ θρίαμβον ἐπετέλεσεν (ὠνομάσθη δὲ θρίαμβος διὰ τὴν τῶν ποιητῶν λεγομένην θρίασιν, ἤγουν μανίαν, ἢ ἀπὸ τοῦ θρία τὰ φύλλα τῆς συκῆς ὀνομάζεσθαι). **3** τῷ δὲ εἰκοστῷ ἔτει τῆς αὐτῶν βασιλείας Διοκλητιανὸς καὶ Μαξιμιανὸς ἐν μιᾷ ἡμέρᾳ τὴν βασιλείαν ἀπέθεντο· καὶ ὁ μὲν Διοκλητιανὸς ἰδιώτευσεν ἔτη δώδεκα καὶ τῆς γλώσσης αὐτοῦ σαπείσης μετὰ τοῦ φάρυγγος πλῆθος σκωλήκων ἀναβρυσάσης ἀπέρρηξε τὸ πνεῦμα· ὁ δὲ Ἑρκούλιος τὴν βασιλείαν ἀναλαβέσθαι βουληθεὶς καὶ ἀποτυχὼν ἀπήγξατο· ὁ δὲ Γαλλέριος σκωληκόβρωτος γεγονὼς ἐξέψυξε, Λικίνιον κοινωνὸν τῆς βασιλείας προλαβόμενος ἐν τῇ ἑῴᾳ. **4** ἐπὶ Διοκλητιανοῦ Ἄδαυκτος μάγιστρος ἐμαρτύρησε. τῆς δὲ γυναικὸς καὶ τῶν δύο αὐτοῦ θυγατέρων ζητουμένων, αὗται φυγῇ χρησάμεναι διὰ τὸ μὴ διαφθεῖραι τὴν σωφροσύνην ἑαυτὴν σὺν ταῖς θυγατράσιν ἔρριψε κατὰ τοῦ ποταμοῦ. περὶ ὧν ζητητέον, εἰ ἀριθμοῦνται εἰς μάρτυρας. **5** Θεότεκνός τις γόης ὑποθήκῃ Μαξιμιανοῦ τὰ ἐπὶ Χριστοῦ δῆθεν παρὰ Πιλάτου πραχθέντα πλασάμενος ὑπομνήματα, πάσης βλασφημίας ἀνάπλεα, κατὰ πόλιν καὶ κώμην ἔσταλκε, Μαξιμιανοῦ προστάξαντος τοῖς γραμματοδιδασκάλοις ταῦτα τοὺς παῖδας ἐκδιδάσκειν, ὡς ἂν διαγελῷτο τὸ καθ᾽ ἡμᾶς μυστήριον.

---

§ 2: cf. Theoph. 8.32–9.20 § 3: cf. Theoph. 10.10–11.22 **19–23** καὶ – ἐξέψυξε: cf. Georg. Mon. 481.18–19 § 4: cf. Georg. Mon. 478.1–5 (a τῆς δὲ) § 5: cf. Theoph. 9.30–10.2; Euseb. HE IX.2–3; 4–5

[C] [F_1]PH[K]

---

8 βαλλερία P H : non adhib. F_1 **11** Σαβώρου : ut vid. generice pro rege Sassanidico (vide introd. III.3.1.1) ἐλήλυθεν H **11–12** fort. scrib. βαλλάντια **12** fort. scrib. μαργαριτῶν, cf. **cap. 88.37** **15–17** ὠνομάσθη – ὀνομάζεσθαι fort. glossa in textum irrepta **17** αὐτῶν : αὐτοῦ καὶ αὐτοῦ H **21** τὸ πνεῦμα : τὴν ἄθεον ψυχήν H τῆς βασιλείας H **23** προβαλλόμενος H **24** Ἄδαυκτος : ἄδαγκτος P : ἄδαυτος ut vid. K : non adhib. C F_1 **25** φυγῇ χρησάμεναι : φυγοῦσαι H **26** διαφθεῖραι : διαφθαρεῖν H : διαφθαρῆναι K (sic Georg. Mon. 478.3) : non adhib. C F_1 ἔρριψαν H **31–32** fort. διαγελῶσιν H

87 Κωνστάντιος ὁ πατὴρ τοῦ μεγάλου Κωνσταντίνου, ὁ Χλωρός

Κωνστάντιος ἐβασίλευσεν ἔτη δύο, καῖσαρ δὲ ἔτη ιγ'. ὃς ἐξ Ἑλένης ἐγέννησε Κωνσταντῖνον περὶ τὴν τῆς Δακίας πόλιν. Μαξέντιος δὲ καὶ Μαξιμῖνος ἀναιροῦνται ὑπὸ Λικινίου· καὶ οἱ Πέρσαι ἀπὸ Διοκλητιανοῦ καὶ Γαλλερίου εἰρήνευον μετὰ Ῥωμαίων, ἀπολυθεισῶν αὐτοῖς καὶ τῶν βασιλικῶν γυναικῶν καὶ παίδων. **2** Κωνστάντιος εὐσεβὴς ἦν καὶ τὸν υἱὸν Κωνσταντῖνον ὁμοίως ἐξεπαίδευσε, καὶ τῷ καθ' ἡμᾶς διωγμῷ οὐδαμῶς ἐκοινώνησαν, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτῶν χριστιανίζειν ἀδεῶς καὶ ἀκωλύτως ἐπέτρεπε. Κωνσταντῖνον σεβαστὸν καὶ βασιλέα ἐν Ῥώμῃ ἀναδείξας Μαξιμῖνος ἐν τῇ ἀνατολῇ πολλὰ δεινὰ κατὰ Χριστιανῶν εἰργάσατο, ὡσαύτως καὶ Μαξέντιος ἐν Ῥώμῃ. **3** Κωνσταντῖνος οὖν ὁ θεῖος εἰς τὴν τῶν τυράννων διανέστη κατάλυσιν, καὶ Μαξέντιος μὲν ἐν Ῥώμῃ κτείνεται ὑπ' αὐτοῦ, ὅτε καὶ τὸ τοῦ σταυροῦ σημεῖον εἰς συμμαχίαν Θεὸς αὐτῷ παρέσχετο· Μαξιμῖνος δὲ ὑπὸ Λικινίου οὔπω μανέντος ἐν τῇ ἀνατολῇ ἡττηθεὶς φεύγει καὶ νόσῳ δεινῇ τελευτᾷ. Μαξεντίου καὶ Λικινίου ἀναιρεθέντων πάσης κρατήσας τῆς ὑπὸ Ῥωμαίων γῆς Κωνσταντῖνος πολλὰ ὑπὲρ χριστιανικῆς θρησκείας ἐνομοθέτησε καὶ τὴν Παρασκευὴν καὶ τὴν Κυριακὴν τιμᾶσθαι προσέταξε, τὴν μὲν διὰ τὸν σταυρὸν τοῦ Κυρίου, τὴν δὲ διὰ τὴν ἀνάστασιν, καὶ σταυρῷ μηκέτι καταδικάζεσθαι ἄνθρωπον. **4** τὴν δὲ μητέρα πέμψας ἐν τοῖς ἁγίοις τόποις καὶ τὸν τίμιον σταυρὸν ἀνευρούσης μέρος τοῦ τιμίου ξύλου καὶ τοὺς ἥλους τῷ υἱῷ ἀπέστειλε, καὶ τὸν μὲν ἕνα περικεφαλαίαν †σωτηρίου, τὸν δὲ ἕτερον ἐν τῷ τοῦ ἵππου χαλινῷ κατεκόσμησεν προστάξας καὶ ἐν τοῖς αὐτοῦ νομίσμασι τὴν τούτου εἰκόνα καὶ τὸν τοῦ σταυροῦ τύπον ἐγχαράττεσθαι.

---

2 Κωνστάντιος – ιγ': cf. Theoph. 10.27; Georg. Mon. 481.21–482.2 **2–3** ὃς – πόλιν: cf. Theoph. 11.1–2 **3–4** Μαξέντιος – Λικινίου: cf. Theoph. 13.30–14.15; 14.33–34; 15.5–15 **4–6** καὶ – παίδων: cf. Theoph. 10.14–18 **6–9** Κωνστάντιος – ἐπέτρεπε: cf. Euseb. HE VIII.13.12sqq. **11–14** Κωνσταντῖνος – παρέσχετο: cf. Theoph. 13.29–14.15 **14–15** Μαξιμῖνος – τελευτᾷ: cf. Theoph. 14.34–35 **15–20** Μαξεντίου – ἄνθρωπον: cf. Th. Lect. 3.35–4.23; Theoph. 16.12–24 **17** Κωνσταντῖνος πολλὰ: cf. Georg. Mon. 490.6–11 § 4: cf. Theoph. 25.28–27.4 (cf. 23.17–22); Georg. Mon. 501.15–16 **20–23** τὴν – κατεκόσμησεν: cf. Th. Lect. 12.30–13.16 **23–25** προστάξας – ἐγχαράττεσθαι: cf. Th. Lect. 4.24–25; Georg. Mon. 490.11–12

---

cap. 87 [F_1] PH[K]

---

2 δὲ ⟨γέγονεν⟩ in app. Bekker Tafel **3** Δακίας : διδασκαλίας H K : non adhib. F_1 **7** ἐξεπαίδευσε : ἐξεπαίδευεν H K : ἐδίδασκεν F_1 τῷ : τὸ H K **13** τὸ : τῶ H K : non adhib. F_1 **13–14** post συμμαχίαν add. ὁ H K : non adhib. F_1 **14** οὔπω : ὑπὸ H **16** Ῥωμαίων (sic ut vid. recte F_1 P, cf. **l. 8**: τοὺς ὑπ' αὐτῶν χριστιανίζειν) : ῥωμαίους H K (sic Th. Lect.) **17** fort. scrib. ὑπὲρ ⟨τῆς⟩ **19** τοῦ κυρίου σταυρόν H **22** σωτηρίου F_1 P H K : σωτήριον Bekker Tafel, fort. recte τὸν alt. : τὸ H

88 Κωνσταντῖνος ὁ μέγας

Κωνσταντῖνος ὁ μέγας καὶ πρῶτος χριστιανικώτατος ἐν βασιλεῦσιν ἐβασίλευσεν ἔτη λα', ζήσας ἔτη ξε'. ἐν Ῥώμῃ δὲ ὑπὸ Σιλβέστρου βαπτισθεὶς Χριστιανὸς γέγονεν. **2** δεδιὼς δὲ τὴν σύγκλητον Ῥώμης διὰ τὸ εἰς Χριστὸν πιστεῦσαι ἐξῆλθεν δῆθεν ἐπὶ τὸν τῶν Σκυθῶν πόλεμον. Λικίνιον δὲ γαμβρὸν ἐπ' ἀδελφῇ ποιησάμενος βασιλέα κατέστησεν. προσφυγόντες δέ τινες τοῦ Κωνσταντίνου τῷ Λικινίῳ, ὡς ἀντάρται ἐπιζητούμενοι παρ' αὐτοῦ οὐκ ἐδίδοντο· καὶ ἐκστρατεύσας Κωνσταντῖνος κατὰ Λικινίου ἐπολέμησεν αὐτὸν εἰς Παιονίαν, ἔνθα καὶ τὸ σημεῖον τοῦ σταυροῦ ἐν τῷ οὐρανῷ ἐθεάσατο ἐπιγράφον· ἐν τούτῳ νίκα. καὶ τοῦτο τὸ σημεῖον χρυσοῦν ποιήσας καὶ ἐπὶ δόρατος ἀναρτήσας τοὺς ἐχθροὺς ἐτροποῦτο. Λικίνιος δὲ τραπεὶς ἔφυγεν εἰς Θρᾴκην κἀκεῖθεν καταπολεμηθεὶς εἰς Φιλιππούπολιν, ἔνθα δὴ λαμπρῶς καὶ περιφανῶς ἡττηθεὶς εἰρήνευσεν. **3** εἶτα πάλιν ἐχθρὸς ἐλεγχθεὶς κατεπολεμήθη ἐν Ἀδριανουπόλει καὶ ἡττήθη καὶ ἐλθὼν εἰς τὸ Βυζάντιον ἐπέρασεν ἐν Χρυσοπόλει κἀκεῖ πάλιν ἡττηθεὶς ἔφυγεν ἐν Νικομηδείᾳ. ἡ δὲ ἀδελφὴ Κωνσταντίνου εἰσελθοῦσα πρὸς αὐτὸν καὶ δεηθεῖσα τῷ ἀνδρὶ αὐτῆς τὸ ζῆν χαρίζεται ἐν ἰδιωτικῷ σχήματι, αἱρετισαμένου Λικινίου ἀπελθεῖν ἐν Θεσσαλονίκῃ κἀκεῖσε ταραχὰς ποιήσας ἀνῃρέθη ὑπὸ τοῦ στρατοῦ. ἐφ' οὗ Λικινίου καὶ ὁ ἅγιος Θεόδωρος ἐμαρτύρησεν, ἐν δέκα καὶ ὀκτὼ ἔτεσι τοῦ πολέμου ἱσταμένου μεταξὺ Λικινίου καὶ Κωνσταντίνου. **4** ἡ δὲ γενομένη εἰρήνη μεταξὺ Περσῶν καὶ Ῥωμαίων διελύθη δι' αἰτίαν τοιαύτην· Μητρόδωρός τις περσογενὴς προσποιησάμενος φιλοσοφεῖν ἀπῆλθεν ἐν Ἰνδίᾳ καὶ εἰς τοὺς

2–3 Κωνσταντῖνος – ξε': cf. Theoph. 11.23–34; 14.19; 33.23; Georg. Mon. 525.11–13 **3–4** ἐν – γέγονεν: cf. Theoph. 17.24–18.8 § 2–3: cf. Theoph. 19.25–20.11

---

cap. 88 T [F_1]PH[K]

---

1 Κωνσταντῖνος ὁ μέγας : βασιλεία κωνσταντίνου τοῦ μεγάλου F_1 : κωνσταντῖνος ὁ μέγας ὁ ἅγιος P H K **2** ἐν βασιλεῦσιν om. H **3** λα' (sic F_1) : λγ P H K **4** post γέγονεν add. ἦν δὲ τῇ ἰδέα τὴν μὲν τοῦ σώματος ἀναδρομὴν ὡς μήτε μακρὸν εἰπεῖν μήτε βραχῦν (βραχύ H)· εὐρυτέρους δὲ τοὺς ὤμους καὶ πάχες (πάχες ut vid. H K) τὸν αὐχένα· ὅθεν καὶ τραχηλὰν αὐτὸν ἐπώνομαζον· τὴν χροιὰν (τὸ χρῶμα H) ἐρυθρός· τὴν τρίχα (τρίχαν H) τῆς κεφαλῆς οὐ δασίαν οὐδὲ οὐλὴν ἔχων· τὸ γένειον ψιλόν πως· τὴν ῥίνα (ῥίναν H) ἐπίγρυπος (ἐπίγγρυμπος H) χαρίεις τε καὶ φαιδρότατος (-ῶτατος H)· καὶ παιδείας μετρίας μετασχών. τὸ δὲ ἐγκρατὲς περὶ τὰς ἐπιθυμίας τῆς γαστρὸς, ἄκρον κεκτημένος H K **5** τὸν om. H **6** ἀδελφῇ (sic F_1) : ἀδελφὴν T **7** τοῦ : τῶν T **9** ἐπολέμησαν H **9–10** ἐν τῷ οὐρανῷ om. F_1 P H K **10** ἐπιγράφον : ἐπιγράφων T P H : ἐπιγραφέν Bekker Tafel τοῦτο τὸ σημεῖον : τὸ σημεῖον τοῦτὶ H **10–11** χρυσὸν H **12** πολεμιθεῖς H **13** δὴ om. P H K : non adhib. F_1 **14** Ἀδριανουπόλει : ἀδρανουπόλει T : ἀνδριανοῦ πόλει H **15** κἀκεῖ : καὶ H **16** ἐλθοῦσα H **17** post ἰδιωτικῷ add. τῷ H **18** fort. scrib. αἱρετισαμένου ⟨δὲ⟩ **19** τοῦ om. H **20** ἐν om. P H K : non adhib. F_1 **23** φιλοσοφιεῖν T : non adhib. F_1

βραχμᾶνας χρησάμενος ἐγκρατείᾳ πολλῇ γέγονεν αὐτοῖς σεβαστός. εἰργάζετο δὲ ὑδρομύλους καὶ λοετρά, μέχρι τότε μὴ γνωριζόμενα. οὗτος ἐν τοῖς ἀδύτοις ὡς εὐλαβὴς εἰσιὼν λίθους καὶ μαργαρίτας πολλοὺς καὶ τιμίους ὑφείλετο. ἔλαβε δὲ καὶ παρὰ τοῦ βασιλέως τῶν Ἰνδῶν, ὥστε τῷ βασιλεῖ δῶρα κομίσαι, καὶ ἐπανελθὼν εἰς τὸ Βυζάντιον δέδωκεν ὡς ἴδια τῷ βασιλεῖ. θαυμάζοντι δὲ αὐτῷ ἔφη καὶ ἄλλα διὰ γῆς προπέμψαι, ἀλλ᾽ ἀφαιρεθῆναι ὑπὸ Περσῶν. γράφει οὖν ἀποτόμως Κωνσταντῖνος πρὸς Σαβώρην ἀποσταλῆναι αὐτά, καὶ δεξάμενος Σαβώρης οὐκ ἀνταπέστειλεν· διὰ τοῦτο καὶ διελύθη ἡ εἰρήνη. ἐκ τούτων οὖν τῶν λίθων ἔργον ποιήσας ὁ βασιλεὺς ἀπέστειλε τοῖς πέραν τοῦ Δανουβίου ἔθνεσιν ἐπιγράψας· τῷ μείζονι τὸ δῶρον· ὅπερ γέγονεν αὐτοῖς ὀλέθρου αἴτιον διὰ τὴν ἐπιγραφήν. **5** φασὶ δὲ αὐτὸν πρῶτον πάντων τῶν βασιλέων διαδήματι χρήσασθαι καὶ μαργαρίταις καὶ ἄλλοις λίθοις περιεργότερον κοσμηθῆναι· ἀλλὰ καὶ πτύχας εὐαγγελίου χρυσᾶς διὰ μαργαριτῶν καὶ λίθων κατασκευάσας ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ προσήγαγε θαύματος ἄξιον. οὗτος ἐξέθετο νόμον, ὥστε τοὺς τῶν εἰδώλων ναοὺς καὶ τὰς τούτων προσόδους ἀποδίδοσθαι τοῖς Χριστιανῶν ἱερεῦσιν καὶ μόνους Χριστιανοὺς ἄρχειν καὶ στρατεύεσθαι. **6** τῷ εἰκοστῷ ἔτει τῆς βασιλείας αὐτοῦ γέγονεν ἡ ἐν Νικαίᾳ πρώτη σύνοδος, κατὰ Ἀρείου. **7** ἐντεῦθεν ἦλθεν εἰς τὸ Βυζάντιον, ἀναλαβὼν τοὺς ἁγίους καὶ ἐμφανεῖς πατέρας πρὸς τὸ

39–41 οὗτος – στρατεύεσθαι: cf. Theoph. 16.15–18 § 6: cf. Theoph. 21.12sqq.; Georg. Mon. 509.3–9

T [F_1]PH[K]

24 post γέγονεν add. ἐν P **25** οὗτος : οὕτως H **26** εὐλαβὴς Tafel : εὐλαβεῖς T : εὐσεβὴς P H K : non adhib. F_1 εἰσιὼν ὡς εὐσεβὴς P **29** διὰ γῆς προπέμψαι : πλεῖστα σὺν αὐτοῖς ἐπιφέρειν H **29–30** ἀλλ᾽ ἀφαιρεθῆναι : ἀφαιρεθῆναι δὲ H **31** σαπώρην T : non adhib. F_1 αὐτά : ταῦτα H καὶ δεξάμενος : δεξάμενος δὲ H Σαβώρης (ὁ σαβώρης H) : σαπώρης T : non adhib. F_1 **31–32** ἀνταπέστειλεν (ἀντεπέστ- in app. proposuit Tafel) : ἀνταπέστειλεν αὐτὰ (αὐτὰ om. P) καὶ P H K : non adhib. F_1 **32** καὶ om. P H K : non adhib. F_1 ἐλύθη P H K : non adhib. F_1 ἡ om. T : non adhib. F_1 **32–33** ἔργον (ἔργων H) ποιήσας : ἐργοποιήσας T : ε^γ^ρ ποιήσας F_1 **33** πέρα P δαννουβίου P **36** διαδήματι : διάδυμα H : διάδημα K **37** εὐαγγελίου (sic F_1) : εὐαγγελίων P H K μαργαρίτων F_1 P H K **38–39** ἀξίας P H K : non adhib. F_1 **42** post Ἀρείου add. πρεσβυτέρου ἀλεξανδρείας, ὑπὸ πατέρων ἁγίων τιη. τὸν δὲ χρόνον ὡς ἐν παρασημειώσεσιν εὕρομεν (εὕρωμεν H K) ἔτη (ἔτι P) ἀπὸ τῆς ἀλεξάνδρου τοῦ μακεδόνος τελευτῆς χλς, καθὰ σωκράτει τῷ ἱστορικῷ δοκεῖ. ὑπῆρχον δὲ πατέρες σίλβεστρος, πάπας ῥώμης, μητροφάνης τῆς (τῆς om. H K) κωνσταντινουπόλεως, τῆς βυζαντίδος, ἀλέξανδρος ἀλεξανδρείας, εὐστάθιος ἀντιοχείας, μακάριος ἱεροσολύμων. συνῆλθον δὲ κατὰ ἀρείου βλασφημοῦντος τὸν θεὸν λόγον κτίσμα εἶναι καὶ ἑτεροούσιον τοῦ πατρός, καὶ ὅτι ἦν, ὅτε οὐκ ἦν. κτίζει δὲ τὴν πόλιν ἀπὸ μὲν τῆς ἐλεύσεως αὐτοῦ τῆς πρὸς τὸ βυζάντιον εἰκοστὸν πρῶτον (εἰκοστὸν πρῶτον : κα πρῶτον H) ἔτος, ἀπὸ δὲ τῆς ἀρχῆς τῆς βασιλείας αὐτοῦ ἔτη κε, ἀπὸ δὲ ἀδὰμ ἔτος ἦν εωλζ P H K (non add. F_1) **43** post ἀναλαβὼν add. καὶ P K (non add. F_1) ἐπιφανεῖς H (in app. Bekker: ἐκφανεῖς? an ἐπιφανεῖς?)

εὐλογηθῆναι παρ᾽ αὐτῶν τὴν πόλιν, ἣν ἔκτισεν. ἣν δὲ οἰκοδομήσας παλάτιον καὶ ἱππικὸν καὶ τοὺς δύο τερπνοὺς ἐμβόλους καὶ τὸν φόρον, ἐν ᾧ κίονα μονόλιθον καὶ ὁλοπόρφυρον ἔστησεν ἐκ Ῥώμης ἀγαγών, ἐκδήσας αὐτὸν διὰ χαλκῶν ζώνων γεγραμμισμένων, ἱδρύσας ἐπάνω αὐτοῦ ἀνδριάντα ἐπ᾽ ὀνόματι αὐτοῦ ἐπιγράψας· διὰ τὰς ἐν αὐτῷ ἀκτῖνας Κωνσταντίνῳ λάμποντι ἡλίου δίκην· ὃς ἦν μὲν ἔργον Φειδίου, ἤχθη δὲ ἐξ Ἀθηνῶν. οὗτος ἐν Κωνσταντινουπόλει τὰ λείψανα τῶν ἁγίων ἀποστόλων εἰσῆξεν Ἀνδρέου καὶ Λουκᾶ καὶ Τιμοθέου καὶ κατέθηκεν ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων. **8** εἶτα κατὰ Περσῶν κινήσας ἀπὸ Νικομηδείας ἐν τοῖς Πυθίοις θερμοῖς παραγίνεται καὶ κακωθεὶς ἐκεῖθέν τε δι᾽ Ἑλενοπόλεως ἐν τῷ χάρακι ἐλθὼν πυρετοῦ λάβρου κατασχόντος αὐτὸν ἐτελεύτησεν μετὰ ἔνατον ἔτος τοῦ οἰκισμοῦ καὶ ἐγκαινισμοῦ Κωνσταντινουπόλεως. καὶ ἀπεκομίσθη τὸ λείψανον αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων καὶ ἀπετέθη εἰς τὸ ἡρῷον, ὅπερ κατεσκευάσθη παρ᾽ αὐτοῦ εἰς ταφὴν τῶν βασιλέων, καταλείψας τρεῖς υἱούς, Κωνστάντιον, Κωνσταντῖνον καὶ Κώνσταντα, διορισάμενος Κωνστάντιον μὲν ἔχειν τὰ Θρᾴκης καὶ ἑῴας μέρη, Κωνσταντῖνον δὲ τὰ πρὸς Ὠκεανὸν ἑσπέρια, Κώνσταντα δὲ Κρήτην, Ἀφρικὴν καὶ τὸ Ἰλλυρικὸν †τούτων. **9** Κωνσταντίνου τοῦ θείου ὑπὸ Ἑλλήνων φιλοσόφων ὀνειδισθέντος εἰς τὸ Βυζάντιον, ὡς οὐ πράττει καλῶς παρὰ τὰ ἔθη τῶν παρὰ Ῥωμαίοις βασιλευσάντων διαγινόμενος, ἀλλὰ νεωτερίζοι τὴν θρησκείαν μεταθέμενος, ἔδοξεν ἕνα τῶν φιλοσόφων διαλεχθῆναι Ἀλεξάνδρῳ τῷ ἐπισκόπῳ τοῦ Βυζαντίου περὶ τῆς πίστεως. λόγων δὲ ἄπειρος ὢν ὁ Ἀλέξανδρος, τὰ δὲ ἄλλα θεῖος,

---

44–49 ἣν – δίκην: cf. Theoph. 28.23–29; Georg. Mon. 500.4–9 **50** οὗτος ἐν Κωνσταντινουπόλει: cf. Georg. Mon. 536.11–13 § 8: cf. Theoph. 33.11–33; 34.16–18 § 9: cf. Th. Lect. 7.21–28; Theoph. 23.7–14; Georg. Mon. 523.3–12

T [F_1]PH[K]

---

46 κίον H ἐνδήσας H **47** ζώνων (sic T P H K) : non adhib. F_1 γεγραμμισμένων : vide introd. III.3.1.1 ἱδρύσας : ἱδρύσατο δὲ P H K : non adhib. F_1 **54** τε om. H K Ἑλενοπόλεως : ἑλενουπόλεως H : ενουπόλεως ut vid. K χάρικι H ἐξελθὼν H **55** οἰκισμοῦ καὶ ἐγκαινισμοῦ : τοῦ οἰκισμοῦ P : ἐνκαινισμοῦ καὶ οἰκισμοῦ H **57–58** εἰς – βασιλέων (sic fere F_1) : ἐν λάρνακι πορφυρῷ, ἤτοι ῥωμαίῳ, αὐτός τε καὶ ἡ μήτηρ αὐτοῦ ἑλένη, πρὸ δώδεκα ἐτῶν τῆς αὐτοῦ τελευτῆς θανοῦσα, καὶ ἡ γυνὴ αὐτοῦ φαῦστα, θυγάτηρ μαξιμιανοῦ τοῦ ἑρκουλίου P H K **57** ἡρῷον : ἡρωΐον T : ἤριον F_1 **59** Κωνσταντῖνον καὶ Κώνσταντα (sic F_1) : κώνσταντα (κώνσταν H) καὶ κωνσταντῖνον P H K Κωνστάντιον : κωνσταντίῳ H **60** Κωνσταντῖνον – ἑσπέρια post τούτων (τούτων (**l. 61**) om. P) transp. P H K : non adhib. F_1 (non transp. sed ut vid. non potest comparari) **61** post Κρήτην add. καὶ P H K (non add. F_1) τούτων om. P Bekker Tafel (vide introd. III.3.1.1) **63** πράττοι P **64** διαγινόμενος : περιγενόμενος H : διαγενόμενος K νεωτερίζοι : νεωτερίζων H : νεωτερίζει K : non adhib. F_1 post ἔδοξεν add. αὐτῷ P H K : non adhib. F_1 **65** τοῦ Βυζαντίου om. H K **66** τῆς om. H K post πίστεως add. οὗτος ὁ (ὁ om. P) ἀλέξανδρος πατριάρχης ἦν πρὸς τὸ τέλος τοῦ μεγάλου κωνσταντίνου P H K : non adhib. F_1

ἐν τῇ ἡμέρᾳ τῆς διαλέξεως εἶπε τῷ διαλεκτικῷ φιλοσόφῳ· ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ ἐπιτάττω σοι σιωπᾶν καὶ μὴ φθέγγεσθαι· ἅμα δὲ τῷ λόγῳ ἐφιμώθη καὶ διέμεινεν ἄλαλος. **10** Εὐσεβίῳ δὲ τῷ Παμφίλου βίβλους ἱερὰς Κωνσταντῖνος κατασκευάσαι προσέταξεν λόγῳ τῶν ἐκκλησιῶν Κωνσταντινουπόλεως παρασχόμενος αὐτῷ δημόσια χρήματα· ὃς ἄτερ τῶν λοιπῶν ἱερῶν βίβλων βίβλους ἑξήκοντα ἐκ δορκάδων μεμβράνων γράψας ἐφιλοκάλησε. τὸν ναὸν τῆς ἁγίας Εἰρήνης καὶ τῶν θείων Ἀποστόλων καὶ τοῦ ἁγίου Μωκίου καὶ Ἀγαθονίκου μάρτυρος καὶ τοῦ ἀρχαγγέλου Μιχαὴλ ἐν τῷ Ἀνάπλῳ καὶ Σωσθενείῳ, ἔνθα καὶ θείας ὀμφὰς θαυμαστῶς ἤκουσέν τε καὶ ἐθεάσατο, ὁ θεῖος Κωνσταντῖνος κτίζει. **11** Μητροφάνης ὁ ἐν ἁγίοις πρὸ Ἀλεξάνδρου ἐπίσκοπος Βυζαντίου ἦν. **12** πρώην τῷ βασιλεῖ κτίζειν ἀρξαμένῳ πόλιν εἰς ὄνομα ἴδιον ἐν τῷ †πανδίῳ τῷ πρὸ τοῦ Ἰλίου, ὑπὲρ τὸν Αἴαντος τάφον, ὁ Θεὸς κατ᾽ ὄναρ τῷ βασιλεῖ ἐκέλευσεν ἐν τῷ Βυζαντίῳ κτίσαι τὴν νῦν Κωνσταντινούπολιν. ὀλίγους δὲ ὁρῶν τοὺς οἰκήτορας ἀπό τε Ῥώμης τοὺς ἀξιολόγους κατὰ γένος ἐπιλεξάμενος ἀπό τε τόπων ἑτέρων καὶ οἴκους αὐτοῖς μεγάλους οἰκοδομήσας καὶ χαρισάμενος οἰκῆσαι τὴν πόλιν ἐποίησεν. **13** ἐπὶ αὐτοῦ πολλὰ τῶν ἐθνῶν τὸν χριστιανισμὸν προσεδέξαντο ἀπό τε Κελτῶν καὶ Γαλατῶν τῶν ἑσπερίων, ἀλλὰ καὶ Ἰνδοὶ οἱ ἐνδότεροι, ἐπισκόπων παρὰ Κωνσταντίνου ἀποσταλέντων εἰς αὐτοὺς ἅμα μὲν καὶ ἐπὶ ἱστορίᾳ τῶν τόπων, ἅμα δὲ καὶ τὴν πίστιν κηρῦξαι. ὡσαύτως καὶ Ἴβηρες καὶ Ἀρμένιοι χριστιανίζουσιν, ἀρχὴν ἐκ Τηριδάτου,

§ 10: cf. Theoph. 23.30sqq.; Georg. Mon. 501.2–4 **69–72** Εὐσεβίῳ – χρήματα: cf. Th. Lect. 12.19–20; Theoph. 27.18–20 **73–77** τὸν – κτίζει: cf. Th. Lect. 14.23–24 § 12: cf. Th. Lect. 13.25–14.22; Theoph. 23.22–30; Georg. Mon. 499.16–500.4 **80** κτίσαι: cf. Georg. Mon. 499.8–10 § 13: cf. Theoph. 24.5–20; Georg. Mon. 502.11–15 **86** ἐνδότεροι: cf. Theoph. 24.8–11

T [F_1]PH[K]

67 διαλεκτικῷ : διαλεκτῶ H **71–72** χρήματα : χαρίσματα H K **72** βιβλίων P H K : non adhib. F_1 βίβλους ἑξήκοντα : ἑξήκοντα βίβλους P H K : non adhib. F_1 **73** μεμβράνων : βεμβράνων P : βεβράνων K **74** θείων : ἁγίων H K post καὶ alt. add. τοῦ ἁγίου P H K (non add. F_1) Ἀγαθονίκου μάρτυρος (sic F_1) : μάρτυρος ἀγαθονίκου P K : ἀγαθονίκου H **76** θαυμαστῶς om. H K **79** πανδίῳ : πεδίῳ scrib. sec. Theoph. 23.24 (πεδίῳ etiam Bekker Tafel) πρὸ (sic F_1 et Theoph. 23.24) ut vid. T^{ac} : πρὸς T^{pc} (T^3?) τοῦ Ἰλίου : τὸν ἥλιον H **80** κατ᾽ ὄναρ τῷ βασιλεῖ (sic F_1) : αὐτῷ κατ᾽ ὄναρ P H K (cf. κατ᾽ ὄναρ ὁ Θεὸς αὐτῷ Georg. Mon. 499.9–10; ὁ Θεὸς κατ᾽ ὄναρ αὐτῷ Theoph. 23.26) τὴν : τῶ H **82** ἐπιλεγξάμενος H **83** αὐτοῖς (sic Theoph. Georg. Mon.) : αὐτοὺς T : non adhib. F_1 **84–85** προσεδέξαντο : ν s.l. exhib. T **85** τῶν om. H **86** ἐπισκόπων : ἐπίσκοποι P : ἐπισκόπου H K : non adhib. F_1 Κωνσταντίνου : κωνσταντινουπόλεως P ἀποσταλέντων : ἀποστείλας F_1 : ἀποσταλέντες P : ἀποσταλέντος H K εἰς : πρὸς P **87** τὸν τόπον T : non adhib. F_1 ἅμα δὲ om. T : non adhib. F_1 **88** τιριδάτου T

τοῦ ἐκ Πάρθων καταγομένου, λαβόντες, καὶ Πέρσαι ὁμοίως ἐπὶ Συμεών, ἐπισκόπου Κτησιφῶντος· μεθ᾽ οὗ καὶ Οὐσθαξάδης εὐνοῦχος, παιδαγωγὸς Σαβωρίου, ἐμαρτύρησεν.

89 Κωνστάντιος

Κωνστάντιος μὲν ἐβασίλευσεν ἔτη κδ', Κώνστας ἔτη ιζ', Κωνσταντῖνος δὲ ταχὺ τετελεύτηκεν. τετελεύτηκεν δὲ τρόπῳ τοιῷδε· πρὸς τὸν ἀδελφὸν Κωνστάντιον κοινωσόμενος ᾔει περί τινων μετὰ πολλῆς ἰσχύος τε καὶ δυνάμεως· ὃ τὸν Κωνστάντιον εἰσῆγεν εἰς ἔκπληξιν, μή τι νεωτερίσων ἀφικνεῖται ἐπ᾽ αὐτόν, καὶ πονηρῶν συμβούλων ἐπιτυχών, πλέον ἐναγόντων αὐτὸν εἰς ἀγῶνα καὶ φόβον καὶ διὰ τούτων εἰς πόλεμον ἢ ἀνατρεπόντων αὐτὸν τῶν τοιούτων λογισμῶν, ἐξῆλθε κατ᾽ αὐτοῦ· καὶ πολέμου γεγονότος ἐν τοῖς ἐσχάτοις τῶν φευγόντων εὑρεθεὶς ὁ Κωνσταντῖνος ἀναιρεῖται, καὶ Κώνστας ἐγκρατὴς πάντων τῶν ἑσπερίων ἐγένετο. **2** ὃν τῷ ιζ' τῆς ἀρχῆς ἔτει Μαγνέντιος τύραννος ἐν Γαλλίαις ἀναφανεὶς ἀνεῖλε μετὰ θήραν Κώνσταν ὕπνῳ κατεχόμενον· ὅπερ μαθὼν ἐν Ἀντιοχείᾳ ὁ Κωνστάντιος προβάλλεται μὲν Γάλλον καίσαρα, γαμβρὸν ἐπ᾽ ἀδελφῇ, τὰ ἑσπέρια διοικεῖν, αὐτὸς δὲ εἴχετο τοῦ κατὰ Περσῶν πολέμου, τρίτον ἤδη ἐκστρατεύσας κατ᾽ αὐτῶν. καὶ Γάλλος κατεπολέμει Μαγνέντιον, εἶτα δὲ καὶ κατὰ Κωνσταντίου γίνεται· ὃν ὁ Κωνστάντιος θωπείᾳ καὶ κολακείᾳ χειρωσάμενος ἀναιρεῖ. **3** καὶ τὴν τούτου ἀρχὴν μηδενὶ τότε δούς, μετ᾽ οὐ πολὺν χρόνον, ἐπεὶ μεγάλως τὸ Περσῶν κεκίνητο στράτευμα, τῷ τοῦ Γάλλου ἀδελφῷ Ἰουλιανῷ παραδίδωσιν, ἐξ

---

2 Κωνστάντιος – κδ': cf. Theoph. 34.6–10; Georg. Mon. 533.22–23 **2–11** Κωνσταντῖνος – ἐγένετο: cf. Theoph. 35.30–33 § 2: cf. Theoph. 43.32–44.16; 40.15–18

T [F_1]PH[K] **17** a χειρωσάμενος T [F_1]PH

---

89 Πάρθων : παρθένου T : non adhib. F_1 **90** Κτησιφῶντος : κτιστηφόντος T : κτηφώνος H : non adhib. F_1 οὖσ θαξάδης T **cap. 89.1** Κωνστάντιος (sic F_1) : κωνστάντιος κώνστας καὶ κωνσταντῖνος, οἱ (οἱ om. P) υἱοὶ τοῦ μεγάλου κωνσταντίνου P H K **2** μὲν om. H K fort. scrib. Κώνστας ⟨δὲ⟩ **3** τετελεύτηκεν pr. : τελευτά H **4** κοινωσάμενος F_1 P H K ᾔει : εἴη T F_1 H K **5** ὃ : ᾧ H **6** ἐπ᾽ : εἰς H **7** αὐτὸν : αὐτῶν T **8** αὐτὸν : αὐτῶν H τοιοῦτον T : non adhib. F_1 **10** post ἀναιρεῖται add. τρίτος ὢν ἀδελφὸς P H K (non add. F_1) **11** ἔτει τῆς ἀρχῆς H τύραννος ἐν Γαλλίαις om. H **12** Κώνσταν : vide introd. III.3.1.1 **13** post Ἀντιοχείᾳ add. ὢν F_1 P H K **15** post κατεπολέμει add. μὲν P H K : non adhib. F_1 **16** post Μαγνέντιον add. ὃν καὶ ἀνεῖλεν P H K : non adhib. F_1 δὲ om. P H K : non adhib. F_1 κατὰ : μετὰ P H K : non adhib. F_1 **18** τὸ : τῶν T : non adhib. F_1 **19** post Ἰουλιανῷ add. ταύτην P H : non adhib. F_1

Ἀθηνῶν αὐτὸν ἀγαγὼν καὶ προχειρισάμενος καίσαρα, οὐκ ἔλαττον εἰς τοῦτο σφαλεὶς ἢ τῷ Ἀρείου προΐστασθαι, ὡς Ἀθανάσιον, ἐπίσκοπον Ἀλεξανδρείας, καὶ Παῦλον Κωνσταντινουπόλεως πολλὰ κακὰ ἐνδείξασθαι. **4** κατὰ Περσῶν δὲ ἐκστρατεύσας καὶ μαθών, ὡς ἀντῆρεν Ἰουλιανὸς αὐτῷ, ὑπὸ τῆς συνεχείας τῶν φροντίδων νόσου ἐπιγενομένης ἐκ μελαίνης χολῆς εἰς Μόμψου κρήνην ἐτελεύτησεν, ἐν ταῖς ὑπωρείαις τοῦ Ταύρου κειμένην. τὸ δὲ σῶμα αὐτοῦ Ἰουβιανὸς ὁ μετὰ ταῦτα βασιλεύσας, πρωτίκτωρ ὤν, ἀποκομίσας ἀπέθετο πλησίον τοῦ πατρὸς αὐτοῦ ἐν τῷ ἡρῴῳ. **5** Κωνστάντιον δὲ κουφότητι λογισμοῦ Εὐσέβιος ὁ Νικομηδείας παρέπεισεν ἀρειανίζειν καὶ τὴν λέξιν τοῦ ὁμοουσίου ὡς ἄγραφον ἐκβαλεῖν. **6** Ἀλεξάνδρου πατριάρχου τελευτήσαντος Παῦλος ὁ ὁμολογητὴς χειροτονεῖται. τούτου ἐκβληθέντος ἑαυτὸν Εὐσέβιος δώροις, ὁ Νικομηδείας, ἐνθρονίζει εἰς πατριάρχην, εἶθ' οὕτως πάλιν Παῦλος, καὶ μετ' αὐτὸν Μακεδόνιος ὁ πνευματομάχος, ὃς διωγμὸν κατὰ τῶν Χριστιανῶν ἐκίνησε τῶν εἰδωλολατρῶν οὐχ ἧττονα. **7** Κωνστάντιος δὲ κτίζει τὴν τοῦ Θεοῦ Σοφίαν πλησίον Εἰρήνης, ἐκκλησίαν περικαλλῆ, ἀλλ' οὐ κατὰ τὸ νῦν ὁρώμενον σχῆμα καὶ κάλλος καὶ μέγεθος. καὶ ταύτης τὰ ἐγκαίνια ποιεῖ ἐπὶ Εὐδοξίου πατριάρχου, μαθητοῦ Εὐνομίου. **8** ὁ ἐν ἁγίοις Ἐφραὶμ ὁ Σύρος ἐπὶ Κωνσταντίου ἦν μέγας ἐν ἔργῳ καὶ λόγῳ· ὃς πολλὰ ἐγγράφως ὠφέλιμα καταλέλοιπε. **9** τοῦ στρατοῦ ἀνελόντος τὸν νέον Δαλμάτιον, Γάλλον μὲν νόσος, Ἰουλιανὸν δὲ ἡ ἡλικία ἐρρύσατο. δοθέντων δὲ παρὰ Κωνσταντίου ἐν χωρίῳ τινὶ πλησίον Καισαρείας

23–25 κατὰ – ἐτελεύτησεν: cf. Theoph. 46.9–15 § 5: cf. Th. Lect. 28.26–28; Theoph. 35.16–19 **30–32** Ἀλεξάνδρου – πατριάρχην: cf. Th. Lect. 29.21–26; Theoph. 37.22–23 (**30–31** Ἀλεξάνδρου – χειροτονεῖται); 37.34–38.2 (**31** τούτου ἐκβληθέντος) **32–34** εἶθ' – ἧττονα: cf. Theoph. 38.28–30; 42.19sqq. **34–36** Κωνστάντιος – μέγεθος: cf. Th. Lect. 33.20–22 § 8: cf. Th. Lect. 37.21–22; Theoph. 62.33sqq. § 9: cf. Th. Lect. 56.5–12 **39–40** τοῦ – ἐρρύσατο: cf. Theoph. 35.12–16 **41–45** δοθέντων – ἐδέχετο: cf. Theoph. 35.33–36.5; Georg. Mon. 535.5–11

T [F_1]PH

---

21 τῷ : τὸ P: τὸ τοῦ H : non adhib. F_1 post ὡς add. εἰς P H (ὃν εἰς F_1) **24** ἐπιγενομένης : ἐπιγομένης T : ἐπιγινομένης H : non adhib. F_1 **25** μόψου P **26** Ἰουβιανὸς (sic F_1) : ἰουλιανὸς P H **27** πρωτίκτωρ : προτίκτων P : fort. scrib. προτέκτωρ vel προτήκτωρ vel πρωτέκτωρ vel sim. post ὤν add. μετὰ εὐσεβίας τῆς αὐτοῦ πρώτης γυναικὸς P H (non add. F_1) **28** ἡρῴῳ : ἡρωΐω T : ἡρίω F_1 δὲ om. P H : non adhib. F_1 λογισμοῦ : γνώμης P εὐσέβειος T H **30** ἄγραφον : ἔγγραφον T : ἐγγράφως F_1 (vide introd. III.3.1.1) **31** εὐσέβειος T H **32** ἐνθρονιάζει H post Παῦλος add. τὸν θρόνον ἀπολαμβάνει P H (non add. F_1) **33** τῶν om. P **33–34** ἐκίνησεν κατὰ τῶν χριστιανῶν H **34** εἰδωλολατρῶν : εἰδώλων T : non adhib. F_1 ἧττον H **35** δὲ om. P H (ὁ δὲ F_1) Σοφίαν : fort. scrib. Σοφίας ἐκκλησία fort. P post περικαλλῆ add. δρομικήν H **37** ἐγκαίνια : ἐγγαῖα H **39** ὠφέλιμα : ὀφελήματα παραδοὺς H **40** post Γάλλον add. λέγω γάλλω H post δὲ add. υἱοὺς ὄντας τοῦ ἀναιρεθέντος γάλλου καίσαρος P H (non add. F_1) ἡλικία : ὑλικῇ H

παιδεύεσθαι Ἰουλιανὸς ἐν χρῷ κειράμενος τὴν μοναχικὴν ὑπεκρίνατο ἄσκησιν. ἀναγνῶσται δὲ ἄμφω γενόμενοι ἐκκλησίαν κτίσαι προεθυμήθησαν τῷ μάρτυρι Μάμαντι. τὸ δὲ μέρος, ἐν ᾧ Ἰουλιανὸς κτίζειν ἔλαχεν, ἡ γῆ οὐκ ἐδέχετο.

90 Ἰουλιανὸς ὁ Παραβάτης

Ἰουλιανὸς ἐβασίλευσεν ἔτη β', καῖσαρ δὲ ἐγεγόνει ἔτη δ' καὶ μῆνας ἕξ, ἐξάδελφος ὢν Κωνσταντίου. ὃς ἐτράφη ὑπὸ Εὐσεβίου, τοῦ Νικομηδείας ἐπισκόπου. ἦν δὲ βραχὺς τὸ σῶμα καὶ ὕπνου μὲν καὶ τροφῆς καὶ ἀφροδισίων ὅτι μάλιστα ἐγκρατής, τῷ δὲ ἄλλῳ τρόπῳ καὶ πρὸς εὐσέβειαν πονηρός· τοῖς γὰρ Χριστιανῶν μυηθεὶς μυστηρίοις, ὕστερον αὐτὰ παριδὼν τὰ τῶν Ἑλλήνων προείλετο καὶ ἠλλάξατο δυσσεβείᾳ μὲν τὴν εὐσέβειαν, πονηρίᾳ δὲ καὶ ποικιλίᾳ γνώμης τὴν ἀρετήν. **2** οὗτος τὴν μὲν τοῦ Προδρόμου θήκην ἀνοίξας πυρὶ τὰ λείψανα παραδέδωκεν καὶ τὴν κόνιν διελικμήσατο, τὴν δὲ τοῦ Χριστοῦ εἰκόνα, τὴν ἐν τῇ Πανεάδι, ὃν ἡ αἱμόρρους ἀνέστησεν, κατεαγῆναι καὶ συρῆναι προσέταξεν, εἴδωλον ἐκεῖσε τοῦ Διὸς ἀναστήσας ἀντὶ τῆς Χριστοῦ εἰκόνος ὁ δυσσεβής τε καὶ ἀλιτήριος, καὶ πολλὰ λείψανα τῶν ἁγίων κατέκαυσεν, οὐκ ἀτιμωρητὶ δέ· **3** στρατεύσας γὰρ ἐπὶ Πέρσας ἐδελεάσθη ὑπὸ τῶν αὐτομόλων ἐμπρῆσαι τὰς ναῦς. εἶτα διʼ ἐρημίας καὶ ἀνομάλων χωρίων τὴν πορείαν ποιούμενος ἐφʼ ἱκανόν, πάντων ἐπιλελοιπότων τῶν τε χρειωδῶν καὶ τῶν ἀναγκαίων καὶ πολλὰ ταλαιπωρησάντων τῶν μετʼ αὐτοῦ, ἐπειδὴ καιρὸς τοῦ πολέμου καὶ μάχης ἀφίκετο, τραπεὶς εἰς φυγὴν τιτρώσκεται δόρατι

---

2 Ἰουλιανὸς – ἕξ: cf. Theoph. 46.21–32; 53.2–4; Georg. Mon. 539.11–12 **8–10** οὗτος – διελικμήσατο: cf. Georg. Mon. 540.6–8 **10–12** τὴν alt. – εἰκόνος: cf. Th. Lect. 60.14–17; Theoph. 49.9–15; Georg. Mon. 540.8–16 § 3: cf. Theoph. 52.30–53.2; Georg. Mon. 544.9–545.21

T [F_1]PH **cap. 90** T [C][F_1]PH

---

42 τὴν om. P ὑπεκρίνετο H **43** ἀμφότεροι H **44** τὸ δὲ : εἰς δὲ τὸ P H : non adhib. F_1 **45** post ἐδέχετο add. τὰ τῶν θεμελίων βάθρα P H (ut T F_1 etiam Georg. Mon.) **cap. 90.2** post Ἰουλιανὸς add. ὁ παραβάτης C P H (non add. F_1) ἐγεγόνει scripsi : ἐγεγόνη T : ἐγένετο C : γέγονεν P H : om. F_1 δ' : fort. scrib. ἔτη ἓξ καὶ μῆνας δ' (Caesar fuit a. 355-mens. Nov. 361) **3** εὐσεβείου H **4** post σῶμα add. εὐπώγων (ἀπώγων H) τιτανόθριξ P H : non adhib. C F_1 **5** post τρόπῳ add. σκαιὸς P H : non adhib. C F_1 **6–7** παριδὼν τὰ om. H **7** καὶ ἠλλάξατο om. P H : non adhib. C F_1 **8** post εὐσέβειαν add. ἀπωσάμενος P H : non adhib. C F_1 **9** μὲν om. H παρέδωκεν H **10** εἰκόναν H Πανεάδι (sic C) : πανεάδη T : πενεάδα F_1 : παναία H ὃν (i.e. de Christo) : ἣν C F_1 P H **11** ἔστησεν H **14** ἐδελιάσθη P **15** fort. scrib. ἀνωμάλων **16** ἐπιλελοιπότων : ἀπολιπόντων C : ἀπολελοιπότων P : ἀπολοιπότων H : non adhib. F_1 τε : τὰ T : om. H

καὶ τοῦ αἵματος διὰ τῶν ῥινῶν φερομένου λαβὼν αὐτὸ ταῖς χερσὶ καὶ εἰς τὸν ἀέρα λικμήσας ἔφη· κορέσθητι, Ναζωραῖε· καὶ οὕτως ἀπέρριψε τὴν δολίαν αὐτοῦ ψυχήν. οὗ τὸ σῶμα ἀπεκομίσθη ἐν Ταρσῷ. **4** Κωνσταντίου τελευτήσαντος Ἰουλιανὸς μονοκράτωρ γενόμενος ἀναιδῶς ἑλλήνιζε καὶ τὸ ἅγιον βάπτισμα αἵματι θυσιῶν ἀπεπλύνατο. Εὐσέβιον τὸν πρῶτον τῶν βασιλικῶν εὐνούχων ἀνεῖλεν ὡς ἄδικον, τὴν τοῦ δικαίου δῆθεν δόξαν θηρώμενος. ἐδίωξε δὲ καὶ πάντας εὐνούχους τοῦ παλατίου διὰ τὸ καὶ τὴν γαμετὴν ἀποβαλεῖν διὰ τὸ εἶναι ἀδελφὴν Κωνσταντίου, μίσει τῷ πρὸς αὐτόν, ἀλλὰ καὶ μαγείρους καὶ κουρεῖς, ἐκ δὲ τοῦ δημοσίου δρόμου καμήλους, βόας, ὄνους καὶ ἡμιόνους. μόνους δὲ τοὺς ἵππους τῷ δημοσίῳ δρόμῳ ὑπουργεῖν συνεχώρησεν. **5** ὁ αὐτὸς ἐνομοθέτησεν μὴ μετέχειν Χριστιανοὺς ἑλληνικῶν μαθημάτων. Ἀπολλινάριος δὲ τῇ μὲν θείᾳ Γραφῇ ὕλῃ χρησάμενος, πάντων δὲ ποιητῶν τοὺς χαρακτῆρας μιμησάμενος ἔγραψε παιδεύεσθαι δι᾽ αὐτῶν Χριστιανούς. **6** μαντείαις καὶ θυσίαις καὶ δαιμόνων ἀπάταις φραξάμενος κατὰ Περσῶν ἐστράτευσε, ὅτε καὶ χρησμὸν λέγεται λαβεῖν ἔχοντα οὕτως· *νῦν δὲ πάντες ὡρμήσθημεν θεοὶ νίκης τρόπαια κομίσασθαι παρὰ Θῆρι ποταμῷ. τῶν δ᾽ ἐγὼ ἡγεμονεύσω θοῦρος πολεμόκλονος Ἄρης.*

22–23 Ἰουλιανὸς – ἀπεπλύνατο: cf. Th. Lect. 56.17–18; Theoph. 46.17–19; Georg. Mon. 536.4–5 **23–29** Εὐσέβιον – συνεχώρησεν: cf. Th. Lect. 57.3–9; Theoph. 47.6–14 § 5: cf. Th. Lect. 58.13–15; Theoph. 48.18–22 § 6: cf. Th. Lect. 61.8–11; Theoph. 52.19–25; Georg. Mon. 544.9–15

T [C][F_1]PH

---

19 αὐτὸ : αὐτοῦ P H (λαβὼν αὐτὸ ταῖς οἰκείαις χερσὶ C : ταῖς χερσὶν αὐτοῦ λαβὼν F_1) **20** post ἔφη add. *νενίκηκας χριστέ* P H (cf. Georg. Mon. 545.18: ἐνίκησας, Γαλιλαῖε, ἐνίκησας) (non add. T C F_1) **21** δολίαν : ἀθλίαν H post Ταρσῷ add. καὶ ἐτάφη πλησίον τοῦ τάφου μαξιμιανοῦ, υἱοῦ γαλλερίου. ἀπεκομίσθη δὲ αὖθις ἐν κωνσταντινούπολει καὶ ἐτέθη, ἔνθα καὶ τοῦ ἰοβιανοῦ (ἔνθα καὶ τοῦ ἰοβιανοῦ : ἐν τῶ τοῦ ἰοβιανοῦ λειψάνω H), ἐν λάρνακι πορφυρῷ, κυλινδροειδεῖ, μετὰ ἑλένης, θυγατρὸς κωνσταντίνου καὶ γυναικὸς αὐτοῦ. τῆς δὲ ἐκκλησίας τότε ἐπὶ ἰουλιανοῦ τοῦ παραβάτου ἐκράτει εὐδόξιος ὁ ἀρειανός P H : non adhib. C F_1 **23** τὸν om. P H (quod exhib. C : non adhib. F_1) **24** τῶν βασιλικῶν εὐνούχων (sic C) : τὸν βασιλικὸν εὐνοῦχον P : τῶν βασιλικῶν εὐνοῦχον H : non adhib. F_1 ἀνεῖλεν ὡς ἄδικον, τὴν (sic C) : ἀνεῖλεν ὡς ἀδικητὴν P : ὡς ἀδικητὴν ἀνεῖλε H : non adhib. F_1 **25** διὰ (etc.) : vide introd. III.3.1.1 **26** ἀδελφὴν εἶναι H κωνσταντίνου P τῷ : τὸ H **28** μόνον H **30** τὴν μὲν θεῖαν γραφὴν P **32** παιδεύεσθαι δι᾽ αὐτῶν : τοῦ δι᾽ αὐτῶν παιδεύεσθαι P H : non adhib. C F_1 post Χριστιανούς add. ἰουλιανὸς δὲ P **33** ὅτε : ὅτι P **34** ὡρμήθημεν P **35** θηρὶ P H K : non adhib. C F_1 τῶν : τὸν T P : non adhib. C F_1

91 Ἰουβιανός

Ἰουβιανὸς ἐβασίλευσε μῆνας η'. ὃς ἐν μὲν τῷ στρατῷ Χριστιανὸν ἑαυτὸν ὡμολόγει, ἦν δὲ καὶ γνωστὸς τῷ Ἰουλιανῷ, ὥστε ὄπισθεν αὐτοῦ ποτε περιπατῶν τὴν Ἰουλιανοῦ χλαμύδα πεπάτηκεν, πρὸς ὅνπερ ἐπιστραφεὶς Ἰουλιανὸς καὶ ἰδὼν οὐκ ἄλλον ἀλλ' αὐτὸν εἶπεν· εἴθε γοῦν ἄνθρωπος. οὗτος Ἰουβιανὸς ὑπὸ τοῦ στρατοῦ παντὸς ᾑρέθη βασιλεὺς τῷ τε εὐσεβὴς εἶναι περιφανῶς καὶ τῷ πραῢς καὶ ἐπιεικής. **2** ὃς εἰρηνικὰς σπονδὰς μετὰ Περσῶν ποιήσας ἐν τῷ ὑποστρέφειν μύκητα πεφαρμαγμένον φαγὼν ἐτελεύτησεν. **3** Ἰουβιανὸς σῶσαι τὸν περιλειφθέντα λαὸν θέλων ἠναγκάσθη Νίσιβιν μεγίστην καὶ πολυάνθρωπον Πέρσαις παραχωρῆσαι. ὁ αὐτὸς προέτεινε τῷ στρατῷ, ὡς ἄρχειν οὐ δύναμαι στρατοῦ ἐν τοῖς χρόνοις Ἰουλιανοῦ ἑλληνίζειν ἐθίσαντος· πρὸς ὃν πᾶς ὁ στρατὸς Χριστιανοὶ ὑπάρχειν ὡμολόγησαν.

---

2 Ἰουβιανὸς – η': cf. Theoph. 53.14–18; 54.19; Georg. Mon. 548.14; 550.3–5 **2–3** ὃς – ὡμολόγει: cf. Georg. Mon. 548.14–549.9 **6–7** οὗτος – ἐπιεικής: cf. Theoph. 53.24–26 § 2: cf. Theoph. 54.19–21; Georg. Mon. 549.9–18; 550.3–5 **9–11** Ἰουβιανὸς – παραχωρῆσαι: cf. Theoph. 53.31–33; Georg. Mon. 549.18–20 **11–13** ὁ – ὡμολόγησαν: cf. Th. Lect. 62.2–4; Theoph. 53.29–31

T [C][F_1]PH **8** a Περσῶν T [C][F_1]PH[K]

---

1 Ἰουβιανός : ἰοβιανὸς μῆνας η in mg. C : βασιλεία ἰουβιανοῦ F_1 : ἰοβ- supra ἰουλ- P : om. H **2** Ἰουβιανὸς (sic F_1) : ἰοβ- C : ἰοβ- supra ἰουλ- P μῆνας η' (sic F_1) : μῆνας ὀκτὼ ἔτος ἓν P : ἔτος ἓν μῆνας θ H post μῆνας η' add. οὗτος τὸ σῶμα εὐμήκης· ὥστε μὴ βασιλικῶν ἱματίων ἁρμῶσαι αὐτῷ· γυνὴ δὲ ἦν αὐτῷ χαριτῶ, ἥτις οὐδὲ αὐτὸν βασιλεύσαντα ἐθεάσατω H ὃς : οὗτος H ἑαυτὸν : αὐτὸν P **3** ὥστε (sic C) : ὃς καὶ P H : non adhib. F_1 ποτε (sic F_1) : om. P H **5** ἀλλ' αὐτὸν εἶπεν om. H εἴθε (sic F_1) : εἴθα T **6** post οὗτος add. ὁ C (cf. ind. graec. s.v. *pronomina*) ἰοβιανὸς P ᾑρέθη : ἀνηγορεύθη H **7** εἰρηνικὰς : εἰρικὰς T post σπονδὰς add. καὶ P **8** post ὑποστρέφειν add. εἰς τὸ βυζάντιον ἐν ἀγκύρᾳ (ἀγγύρα P) τῆς γαλατίας ἐν χωρίῳ δαδαστάνῳ (an scrib. Δαδαστάνᾳ?) P H K (non add. F_1) πεφαρμαγμένα H **9** post ἐτελεύτησεν add. ἀπεκομίσθη δὲ τὸ σῶμα αὐτοῦ καὶ ἀπετέθη ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν λάρνακι πορφυρῷ P H K : non adhib. C F_1 **9** Ἰουβιανὸς – θέλων : ἰοβιανὸς δὲ σῶσαι βουλόμενος τὸν περιλειφθέντα στρατὸν C : ἰουβιανὸς δὲ τὸν περιλειφθέντα στρατὸν σῶσαι θέλων P H K : non adhib. F_1 **10** ἠνακάσθη H νήσιβην P H μεγάλην P post πολυάνθρωπον add. τοῖς P fort. scrib. πολυάνθρωπον ⟨πόλιν⟩ (cf. Theoph. 53.32), vel ⟨πόλιν⟩ μεγίστην (⟨πόλιν⟩ μεγάλην? in app. Bekker; πόλιν μεγίστην C, ut vid. per corr.) **13** post ὡμολόγησαν add. ἰουβιανὸς οὗτος ἦν τῇ ἡλικία εὐμήκης ὥστε μηδὲ τῶν βασιλικῶν ἱματίων ἁρμόσαι αὐτῷ· γυνὴ δὲ ἦν αὐτῷ χαριτὼ ἥτις οὐδὲ αὐτὸν βασιλεύσαντα ἐθεάσατο· τὴν δὲ ἐκκλησίαν κατεῖχεν ἐπὶ αὐτοῦ δημόφιλος ἀρειανός P (cf. H ad cap. 91, § 1)

92 Οὐαλεντινιανός

Οὐαλεντινιανὸς ἐβασίλευσεν ἔτη ιγ'. οὗ καὶ τὸ αὐστηρὸν διὰ τὸ δίκαιον ἐπηνεῖτό τε καὶ ἐθαυμάζετο. οὐ γὰρ ἄνευ λογισμοῦ τὸ αὐστηρὸν ὡς ἐκέκτητο, ᾔδεισαν, ἀλλ᾽ ἀεὶ τῷ δικαίῳ τὰ πρῶτα παρεῖχεν, ὑπ᾽ οὐδενὸς ἐκ τούτου περιτρεπόμενος οὐδὲ μετατιθέμενος ὑπό τινος ἐξ ὧν ἅπαξ ἐβουλεύσατο. **2** ὃς ὑπὸ τοῦ στρατοῦ μετὰ Ἰουβιανὸν ἀνηγόρευτο, καὶ ἐπεὶ ἠξίουν αὐτὸν κοινωνὸν προσλαβέσθαι τῆς βασιλείας, ἔφη· λήψομαι κοινωνόν, ὃν θέλω. καὶ φθάσας εἰς Νικομήδειαν ἐπυνθάνετο τῶν ἐν τέλει περὶ τοῦ σὺν αὐτῷ βασιλεύσαντος. πρὸς ὃν Δαγλάιφος συγκλητικὸς ἀπεκρίνατο· εἰ τοὺς σοὺς φιλεῖς, κράτιστε αὐτοκράτορ, ἔχεις ἀδελφόν, εἰ δὲ τὴν πολιτείαν, σκόπησον, ὅτῳ ἂν τὴν ἁλουργίδα περιβαλεῖς. ὁ δὲ τῇ φύσει μᾶλλον πιστεύσας τὸν ἀδελφὸν Οὐάλεντα προσελάβετο καὶ ἑαυτῷ μὲν τὴν δύσιν ἀπένειμεν, ἐθνῶν τινων ἐπανάστασιν ἐνταῦθα μαθών, τῷ δὲ Οὐάλεντι τὴν ἀνατολήν. **3** ἦν δὲ περὶ τῆς ἀρχῆς τῆς βασιλείας παρὰ Σαλουστίου τινὸς μεμαθηκώς, ὡς ἐγκρατὴς αὐτῆς γενήσοιτο· ὃν μηδενὸς ἀποτεύξασθαι ἐπηγγείλατο, ἐπειδὰν ἐπὶ τῆς τοιαύτης ἀρχῆς γένηται. γενόμενος δὲ καὶ ἀπαιτούμενος κατὰ τὴν ὑπόσχεσιν ὑπὸ Σα-

---

2 Οὐαλεντινιανὸς – ιγ': cf. Theoph. 54.21–22; 27–31; Georg. Mon. 550.7 § 2: cf. Theoph. 55.1–9 (cf. 54.24–26); Georg. Mon. 550.13–19

T [C][F_1]PH[K]

---

2 post οὐαλεντινιανὸς add. οὗτος ἀνηγορεύθη ἐν νικαία τῆς τῶν βιθυνῶν ἐπαρχίας παρὰ τοῦ στρατοπέδου· διὰ τὸ εὐδοκιμῆσαι αὐτὸν ὡς χριστιανὸν ἐν τῆ ὁμολογία ἐπὶ ἰουλιανοῦ. ἦν δὲ τὴν μορφὴν τοῦ σώματος ἀνὴρ εὐμεγέθης· τὴν χροιὰν ἐρυθρός· τὴν τρίχα τῆς κεφαλῆς ἐπίξανθον ἔχων· τοὺς ὀφθαλμοὺς ὡραίους· ἰστέον ὅτι γυναῖκες οὐαλεντινιανοῦ δύο ὑπῆρχον· σιβῆρα καὶ ἰουστίνα· ἥντινα διὰ κάλλος ἔτι ζώσης σιβήρας ἔγημε· καὶ νόμον ἔθετο τοὺς θέλοντας δύο γυναῖκας ἐπὶ τὸ αὐτὸ ἀγαγέσθαι, ἀκωλύτους εἶναι (ἰστέον – εἶναι: cf. Th. Lect. 74.9–17; Theoph. 56.23–31)· ἀνηνέχθη δὲ τὸ σῶμα αὐτοῦ ἀπὸ τῶν γαλιῶν ἐν κωνσταντινουπόλει· καὶ ἐτέθη ἐν τῶ ναῶ τῶν ἁγίων ἀποστόλων· κατεῖχε δὲ τὴν ἐκκλησίαν εὐδόξιος καὶ δημόφιλος ἀρειανοί· οὐαλεντινιανὸς P ιγ': vide introd. III.3.1.1 **4** ἀλλὰ H πρῶτα : πρέσβεια H παρεῖχεν : παρεῖλεν ut vid. P ὑπ᾽ οὐδενὸς : ὑπὸ δ᾽ ἑνὸς H **6** ἰοβιανὸν P ἀνηγόρευτο T : ἀνηγορεύετο F_1 P H K (C aliter, sed exhib. ἀνηγορεύθη) post ἐπεὶ add. ἐν κωνσταντινουπόλει P H K : non adhib. C F_1 **7** προσλαβέσθαι (sic ut vid. F_1 (προλαβέσθαι E (Marcianus (Venetus) gr. 608))) : προλαβέσθαι P : λαβέσθαι H K **8** post ὃν add. ἂν F_1 P H K : non adhib. C θέλω (sic F_1) : ἐθέλω P K **9** βασιλεύσοντος Bekker Tafel (vide introd. III.3.1.1) Δαγλάιφος (sic F_1) : δαγλάφος P : δάγλαφος H K **10** εἰ pr. : εἰς P **11** περιβαλεῖς : περιβαλῆς P : περιβαλεῖν H **12** προσελάβετο : προσεβάλετο H **13** δύσιν : δύναμιν P H K : non adhib. F_1 (C aliter, sed exhib. δυτικὰ (μέρη)) **15** αὐτῆς om. T H (fort. quasi per haplographiam (vel homoeotel.): vide introd. III.3.1.1) : non adhib. C F_1 γενοίσεται H post ὃν add. καὶ P H K : non adhib. C F_1 **16** ἀποτεύξασθαι : ἀποτάξασθαι H : ἀποτεύξεσθαι Bekker Tafel (vide introd. III.3.1.1) ἀπηγγείλατο Tafel (fort. per errorem) ἐπὶ om. H

λουστίου τὴν τοῦ ἐπάρχου ἀρχὴν ἔφη μὴ δεῖν ἴσως τὴν τῶν ἐπαγγελιῶν φυλάττεσθαι πίστιν, ὅταν τοῦτο βλάβος φέρει τῇ πολιτείᾳ. **4** ἐπὶ τούτου γυναικός τινος διηρπάγη ἡ οὐσία ὑπὸ Ῥοδάνου, πραιποσίτου. ὁ δὲ βασιλεὺς κρίνας περὶ τούτων προσέταξε τῷ πραιποσίτῳ ἀποδοθῆναι αὐτῇ τὰ ἴδια. ὁ δὲ οὐκ ἐπείσθη· ὅπερ μαθὼν ὁ βασιλεὺς προσελθεῖν αὐτῷ ἔφη τὴν γυναῖκα. ἡ δὲ ἐν ἱπποδρομίᾳ δεηθεῖσα τοῦ βασιλέως ἐρωτηθεῖσά τε καὶ εἰποῦσα τὴν ἀπείθειαν τοῦ πραιποσίτου, ἐκέλευσε τὸν πραιπόσιτον παριστάμενον αὐτῷ μετὰ τῶν ἀμφίων τῆς ἀξίας πυρὰν μεγάλην ἀνάψαντας εἰς τὴν Σφενδόνην καῦσαι αὐτὸν καὶ τὴν οὐσίαν αὐτοῦ πᾶσαν ἀποδοθῆναι τῇ γυναικί. **5** οὗτος καὶ τὴν πόλιν Καλχηδόνα καταλύσας τοῖς λίθοις αὐτῆς τὸν μέγαν ἀγωγὸν ἔκτισε καὶ τὸ ὕδωρ εἰσήγαγεν ἐν τῇ πόλει. **6** καταπολεμήσας δὲ καὶ τοὺς Σαυρομάτας, πρέσβεις ἐξ αὐτῶν ἰδὼν ἐλθόντας ἠρώτησεν, εἰ τοιοῦτοι Σαυρομάται. καὶ μαθών, ὡς οἱ ἄριστοι πρὸς αὐτὸν ἥκασι, πλησθεὶς θυμοῦ ἔφη· δεινὰ Ῥωμαίοις, εἰ τοιοῦτοι ὄντες πρεσβεύειν ἀξιοῦσιν. ἐκ δὲ τοῦ θυμοῦ φασιν ἀναστομωθῆναι φλέβα καὶ ἀρτηρίαν διαρραγῆναι καὶ αἵματος πολλοῦ ἐκχυθέντος τελευτῆσαι τὸν αὐτὸν βασιλέα Οὐαλεντινιανόν. **7** Οὐαλεντινιανὸς ὀρθοδοξότατος ὢν Ἀμβρόσιον ἐν Μεδιολάνῳ προεχειρίσατο ἐπίσκοπον, ὅν φασι τοὺς ἀδίκους ἄρχοντας ἐπὶ τοῦ βασιλέως διελέγχειν. **8** οἱ Γότθοι κακῶς ἐχρῶντο Οὐάλῃ. ὁ δὲ αἰτεῖται τὸν θειότατον Οὐαλεντινιανὸν πέμψαι αὐτῷ στρατὸν εἰς βοήθειαν. ὁ δὲ οὐ

---

§ 6: cf. Th. Lect. 73.23–74.5; Theoph. 61.25–62.2; Georg. Mon. 559.8–560.1 § 7: cf. Th. Lect. 70.12–18; Theoph. 60.23–34; Georg. Mon. 557.25–558.2; 558.10–559.6 § 8: cf. Th. Lect. 73.12–14; Theoph. 61.21–23 (cf. 62.10–14); Georg. Mon. 552.1–5; 557.7–24

T [C][F_1]PH[K]

---

18 τοῦ om. P H : non adhib. C F_1 τῶν om. H **19** φυλάσσεσθαι H τοῦτο : τὸ H φέρῃ Bekker Tafel (e Cedreno) τῆς πολιτείας H **20** ἡ om. H K ῥοδανοῦ C F_1 P H K **20–21** ὁ – πραιποσίτῳ : ὃς κρίνας προσέταξεν F_1 : om. T (ὁ δὲ βασιλεὺς τοῦτο μαθὼν προσέταξε τῷ πραιποσίτῳ ἀποδοῦναι τῇ γυναικὶ τὰ ἴδια C) **21** περὶ τούτων : αὐτοὺς Bekker : αὐτὸς Tafel **22** προελθεῖν H K **23** ἱπποδρομίῳ Bekker Tafel δεηθεῖσα : προσῆλθε θεωμένου Bekker (e Cedreno) **24** ἀπείθειαν : ἐπίθειαν F_1 : ἀπάθειαν vel fort. ἀπείθειαν P : non adhib. C **25** αὐτῷ : αὐτὸν H τῆς ἀξίας : vide introd. III.3.1.1 **26** ἀνάψαντες P H K : non adhib. C (ἀνάψαι exhib. F_1, sed fort. non potest comparari) **28** αὐτῆς : an scrib. αὐτοῖς? ἀγωγὸν : ὑδραγωγὸν τῆς πόλεως P **29** καὶ om. F_1 P H K : non adhib. C **30** post τοιοῦτοι add. εἶεν P H K (non add. F_1) : non adhib. C **31** οἱ om. T (quod exhib. F_1) : non adhib. C post θυμοῦ add. καὶ πρηνεῖ τῇ χειρὶ τὸν μηρὸν πλήξας P H K (non add. F_1) : non adhib. C **32** πρέσβειν ut vid. T **33** φασιν : φησὶν H φλέβα : φλέμα P : βλέβαν H **34** αὐτὸν om. H **34–35** Οὐαλεντινιανόν (sic F_1) : οὐάλεντα T : οὐαλεντιανόν H : non adhib. C **35** Οὐαλεντινιανὸς : οὐαλεντιανὸς H : om. K **37** ἐλέγχειν H οἱ Γότθοι (sic F_1) : οἱττώθη T : non adhib. C ἐχρῶντο (sic F_1) : ἐχθρῶν τὸ T : non adhib. C Οὐάλῃ (sic F_1) : οὐάλεντι P H K : non adhib. C αἰτεῖται (sic K) : ᾔτι ut vid. F_1 : αἰτεῖ P H : non adhib. C **38** οὐαλεντιανὸν H **38–39** οὐ μόνον οὐ : οὐ μόνον T H K : οὐ F_1 : non adhib. C

μόνον οὐ δέδωκεν, ἀλλὰ καὶ ἐπωνείδισεν εἰπών, ὅτι οὐ χρὴ ἐπαμύνειν ἀνδρὶ πολεμοῦντι Θεῷ. **9** ἐπὶ αὐτοῦ ἐν Ἀθήναις Βασίλειος καὶ Γρηγόριος ἤκμαζον παιδευόμενοι παρὰ Ἱμερίῳ καὶ Προαιρεσίῳ, εὐδοκίμοις σοφισταῖς. ἐμαθήτευσαν δὲ καὶ παρὰ Λιβανίῳ, τῷ ἐν Ἀντιοχείᾳ σοφιστῇ.

93 Οὐάλης

Οὐάλης ἐβασίλευσεν ἔτη γ'. **2** ἐπὶ αὐτοῦ οἱ Γότθοι περάσαντες τὴν Μαιῶτιν λίμνην, ἐλάφου ἡγησαμένης, ἦλθον εἰς τὴν Θρᾴκην καὶ δύο γεγονότες μέρη ἀλλήλοις ἐμάχοντο, καὶ συμμαχίαν αἰτήσαντες οἱ τοῦ ἑνὸς μέρους παρὰ Οὐάλεντος ἔτυχον ὑποσχέσει τοῦ Χριστιανοὺς γενέσθαι· ὅθεν καὶ βαπτισθέντες Ἀρειανοὶ ἀπεκατέστησαν, καθὼς ἦν καὶ Οὐάλης. μετὰ τοῦτο οὖν ἐν Συρίᾳ τοῦ Οὐάλεντος διατρίβοντος οἱ Σκύθαι περάσαντες κατὰ τῆς πόλεως εἰσέφρησαν, σπονδὰς μὴ φυλάξαντες. ὁ δὲ καταλαβὼν καὶ πολεμήσας, ἡττηθεὶς κατέφυγεν ἐν Ἀχυρῶνι, ἐν χωρίῳ Ἀδριανουπόλεως, καὶ κατεκάη ἐκεῖσε. **3** πολλὰ δεινὰ Οὐάλης κατὰ τῶν ὀρθοδόξων εἰργάσατο· ἐμπρησμοὺς θαλαττίους σὺν αὐταῖς ναυσὶ καὶ πνιγμοὺς ἐν ὕδατι καὶ βασάνοις πολλοῖς. πᾶσαν οὖν ἐκκλησίαν πορ-

§ 9: cf. Th. Lect. 73.5–7; Theoph. 61.17–18 cap. 93, § 1: cf. Theoph. 63.4–8 § 2: cf. Theoph. 64.16–23; 64.35–65.19; Georg. Mon. 557.7–24 **12–18** πᾶσαν – ἀγράμματον: cf. Th. Lect. 72.12–18; Theoph. 63.20–28; Georg. Mon. 551.17–552.1

T [C][F_1]PH[K]

39 ἐπαμύνειν (sic F_1) (ἐπαμύνειν ἀνδρὶ om. H) : ἐπὰμόνην T : non adhib. C **41** ἔκμαζον T : non adhib. C F_1 παρὰ om. T : non adhib. C F_1 **42** ἐμαθήτευσαν : ἐμαθήτευσεν T : ἐμαθητεύθησαν H : non adhib. C F_1 **cap. 93.1** post Οὐάλης : add. ὁ κατάρατος H : add. ὁ ἀδελφὸς αὐτοῦ K **2** post Οὐάλης add. ὁ ἀδελφὸς αὐτοῦ H (sim. exhib. in mg. P) οἱ Γότθοι : fort. οἱττόθοι T (vel οἱ γτόθοι) **3** ἡγησάμενοι H K **4–5** οἱ τοῦ ἑνὸς μέρους om. T (quae etiam om. F_1, sed plura om.) : non adhib. C **7** τοῦτο : τούτων H **7–8** περάνσαντες H **8** post φυλάξαντες add. μετὰ τὸ βαπτισθῆναι αὐτούς P H K : non adhib. C F_1 **9** κατηττηθεὶς H ἔφυγεν H K ἐν Ἀχυρῶνι : κατὰ ἀχυρώνην H **10** ἀνδριανουπόλεως P H K (ἀνδριανοῦ πόλεως H) post ἐκεῖσε add. γυνὴ δὲ τούτω (τοῦτο H) δομνίκα (-ήκα H) ἀνήρει (ἀρειανὴ P) διὰ πυρός (διάπυρος P) (hinc cf. C f. 23v, l. 7–8)· δημόφιλος δὲ ἀρειανὸς τὴν ἐκκλησίαν ἔτι κατεῖχεν (κατεῖχεν ἔτι H) P H K : non adhib. F_1 post πολλὰ add. δὲ P H K : non adhib. C F_1 **11–12** ἐμπρησμοὺς – ὕδατι : ἐμπρισμοὺς καὶ πνιγμούς, θαλαττίους καὶ ἐν ἑτέροις ὕδασιν H **11** θαλαττίους P H K (εμπρησμοῖς θαλατίους F_1) : θαλαττίοις T : non adhib. C σὺν αὐταῖς ναυσὶ : σὺν αὐταῖς νηυσὶ P : om. H K : σὺν ταῖς ναυσὶ F_1 : non adhib. C **12** ὕδατι : ὕδασι F_1 P H K : non adhib. C καὶ βασάνοις πολλοῖς : καὶ βασάνους ἄλλας πολλάς P K : καὶ βασάνας ἄλλας πολλάς H : om. F_1 : non adhib. C

θήσας ἧκεν εἰς Καισάρειαν κατὰ Βασιλείου πράξας οἷα καὶ ὁ Θεολόγος εἰς τὸν Ἐπιτάφιον γέγραφε, ὅτε καὶ Γαλάτης, υἱὸς Οὐάλεντος, καὶ ἡ σύμβιος Δομνίκα νόσῳ χαλεπῶς ἐχειμάσθησαν. **4** καὶ Δημοσθένους δὲ ἑνὸς τῶν ὀψοποιῶν Οὐάλεντος ἐν τῇ ὁμιλίᾳ τῇ πρὸς Οὐάλεντα μεμφόμενον Βασίλειον καὶ βαρβαρίσαντος εἰπεῖν τὸν διδάσκαλον· ἰδού, ἐθεασάμεθα καὶ Δημοσθένην ἀγράμματον. **5** πολλοὺς Οὐάλης ἐφόνευσε ὑπονοηθέντας βασιλεύειν ἀπὸ τοῦ θῆτα γράμματος.

94 Γρατιανός

Γρατιανός, ὁ υἱὸς Οὐαλεντινιανοῦ, ἐβασίλευσεν ἔτη γ' καὶ μετὰ Θεοδοσίου ἔτη γ'. οὗτος γὰρ τὸν μέγαν Θεοδόσιον προεχειρίσατο εἰς βασιλέα ἐν Βυζαντίῳ, ἀγαγὼν ἐκ Σπανίας πρὸς τὸ πολεμεῖν τοὺς Σκύθας τὴν Θρᾴκην ληϊζομένους. αὐτὸς δὲ ἐν Ῥώμῃ διέτριβε. **2** Μάξιμος δέ τις Βρεττανὸς δυσανασχετῶν, ὅτι Θεοδόσιος ὑπὸ Γρατιανοῦ βασιλείας ἠξίωται αὐτοῦ μηδεμιᾶς τυχόντος τιμῆς, διήγειρε τοὺς ἐν Βρεττανίᾳ ἀντᾶραι Γρατιανῷ καὶ ἀποστέλλει Ἀνδραγάθιον κατ᾽ αὐτοῦ. ὁ δὲ εἰσῆλθεν ἐν φορείῳ καταστέγῳ, φημίσας τὴν γυναῖκα Γρατιανοῦ εἶναι· ἧς τῇ ἀγάπῃ Γρατιανὸς κρατηθεὶς τῷ φορείῳ προσῆλθεν καὶ ἀνακαλύψας βλέπει τὸν Ἀνδραγάθιον, ὃς παραυτὰ διὰ στρατιωτῶν Γρατιανὸν διεχειρίσατο. μετετέθη δὲ ὑπὸ Θεοδοσίου Γρατιανὸς εἰς τοὺς βασιλικοὺς τάφους. **3** ὅστις τοσοῦτον εὐστόχως καὶ ἐπὶ πολὺ ἐτόξευεν, ὡς λέγειν

---

§ 5: cf. Th. Lect. 73.20–21; Theoph. 62.14–16 cap. 94, § 1: cf. Theoph. 66.16–20 § 2: cf. Theoph. 67.30–68.3

T [C][F_1]PH[K]

---

13 post ἧκεν add. καὶ H οἷα : οἷ H **14** γράφει H ὅτε (sic F_1) : ὅταν P H K : ἡνίκα C Γαλάτης (sic C) : γαλάτιος P H K : om. F_1 **15** χαλεπῶς (sic C, cf. Theoph. 63.23) : χαλεπῇ P H K : om. F_1 Δημοσθένους (sic F_1) : δημοστένης T : non adh. C **16** ἑνὸς (sic F_1 et Georg. Mon.) : εἷς T τῶν om. H K Οὐάλεντα (sic F_1 et Georg. Mon.) : οὐάλεντι T **16–17** μεμφόμενον (sic F_1) : μεμφομένου P K : μεμφόμενος H : non adhib. C (vide introd. III.3.1.1) **19** γράμματα T K (sic ut vid. K : F_1 per comp.) : non adhib. C **cap. 94.1** Γρατιανός scripsi : γρατινιἀνὸς ut vid. T : βασιλεία γρατιανοῦ ἔτη γ in mg. C : γρατιανοῦ F_1 : γρατιανὸς οὐαλεντινιανοῦ P : γρατιανός, υἱὸς οὐαλεντινιανοῦ H K **2** ὁ (sic F_1) : om. P H K **3** μέγα H **4** ἐκ Σπανίας (sic F_1) : ἐξ ἰσπανίας P H **7** μηδεμιᾶς : οὐδὲ μιᾶς H **9** φημήσας F_1 P H : ἐφημίσας K : non adhib. C post εἶναι add. ἐκ βρεττανίας ἐπανήκουσαν P H K (non add. F_1) **10** ἀνακύψας T : non adhib. C F_1 **11** παραυτὰ (sic F_1) : παραυτίκα P H K post στρατιωτῶν add. παρεσκευασμένων (παρασκ- H) ὄντων ἐπὶ τοῦτο (τούτων P : τούτω H) P H K (non add. F_1) : non adhib. C **11–12** διεχειρήσατο H K **13** εὔστοχος T : non adhib. C F_1

τινὰς τὰ Γρατιανοῦ βέλη φρένας ἔχειν. **4** ἐπὶ Γρατιανοῦ Μελέτιος ὁ Ἀντιοχείας ἐν Κωνσταντινουπόλει γενόμενος καὶ Δημόφιλον εὑρὼν τὰς ἐκκλησίας κατέχοντα, Γρηγόριον τὸν Θεολόγον ἐκ Ναζιανζοῦ ἤγαγεν πρὸς τὴν τῆς ἀρειανικῆς πλάνης κατάλυσιν.

95 Θεοδόσιος ὁ μέγας

Θεοδόσιος ὁ μέγας ἐβασίλευσεν ἔτη ις'. οὗτος τῷ γένει ἦν Ἱσπανός, ἔχων γυναῖκα ὀνόματι Πλακίλλαν, ἐξ ἧς ἔσχεν Ἀρκάδιον καὶ Ὁνώριον. ἧς τελευτησάσης Γάλλαν, ἀδελφὴν Γρατιανοῦ, ἔγημεν. **2** καὶ κατὰ τῶν Σκυθῶν χωρήσας πάντας ἀνεῖλε. τοὺς δὲ τοὺς συγγενεῖς Γρατιανοῦ ἀνελόντας τυράννους ἐν Ῥώμῃ καὶ Ἀνδραγάθιον τὸν αὐτὸν διαχειρισάμενον πάντας θανάτῳ παρέδωκεν. **3** ἐπὶ δὲ αὐτοῦ γέγονεν ἡ δευτέρα σύνοδος ἐν Κωνσταντινουπόλει, ὅτε καὶ Γρηγόριος ὁ Θεολόγος τῆς ἐκκλησίας ἐξεβλήθη. **4** ἤχθη δὲ ἐπὶ αὐτοῦ ἐν Κωνσταντινουπόλει ἡ κεφαλὴ Ἰωάννου τοῦ Βαπτιστοῦ καὶ τὰ λείψανα τῶν ἁγίων μαρτύρων

---

§ 4: cf. Theoph. 61.11–17 **cap. 95.2** Θεοδόσιος – ις': cf. Theoph. 67.20–24 (cf. 74.16); Georg. Mon. 561.20 (cf. 592.17–18) **2–3** οὗτος – Ὁνώριον: cf. Georg. Mon. 562.20–25; 567.1–5 § 3: cf. Theoph. 68.21sqq.; Georg. Mon. 574.11–576.2 **9–12** ἤχθη – Πέτρᾳ: cf. Theoph. 75.11–13; Georg. Mon. 582.15–583.4

T [C][F_1]PH[K] **16** ab ἐκκλησίας T [C][F_1]PH

---

14 τὰ om. H **14–15** ὁ Ἀντιοχείας : ἀντιοχείας F_1 : ἀρχιεπίσκοπος ἀντιοχείας P H K (ὁ ἀρχιεπίσκοπος ἀντιοχείας C) **cap. 95.2** τῷ γένει (sic F_1) : om. P H post ἦν add. τὴν μὲν ἀναδρομὴν τοῦ σώματος σύμμετρος, ἄμεμπτος, ὑπέρυθρος τῷ προσώπῳ, ξανθὴν ἔχων τὴν τρίχα (τρίχαν H), τὴν (τὴν δὲ H) ῥῖνα (ῥῖναν H) λεπτὴν καὶ (λεπτὴν καὶ om. H) ἐπίγρυπον (ἐπίγρυμπον H), χαρίεις τὴν ὁμιλίαν, τὸν τρόπον δὲ χαριέστερος καὶ εὐγενής (καὶ εὐγενής om. H), ἐξ ἰβήρων τῶν καὶ P H (non add. F_1) Ἱσπανός : ἱσπανῶν P : σπάνων H **3** γυναῖκαν H Ἀρκάδιον καὶ Ὁνώριον (ὀνώριον P (sic etiam infra P)) : ὀνώριον καὶ ἀρκάδιον H **3–4** ἧς τελευτησάσης (sic F_1) : τελευτησάσης P : τελευτησάσης δὲ H **4** καὶ om. H **5** τοὺς δὲ τοὺς : τοὺς δὲ H **6** ἀνελόντας τυράννους : τοὺς καὶ αὐτὸν τυραννικῶς ἀνελόντας H **6–7** καὶ – διαχειρισάμενον : μετὰ καὶ τοῦ ἀνδραγαθίου H **7** παραδέδωκεν H δὲ : δευτέρω δὲ τῶ δευτέρω ἔτει P : δὲ τῷ δευτέρῳ ἔτει H : om. F_1 (τῷ δὲ ἕκτῳ C sec. Theoph.) ἡ bis exhib. H **8** post Κωνσταντινουπόλει add. ὑπὸ πατέρων ρν κατὰ μακεδονίου τοῦ πνευματομάχου. ὑπῆρχον δὲ τιμόθεος ἀλεξανδρείας, μελέτιος ἀντιοχείας (μελέτιος ἀντιοχείας· τιμόθεος ἀλεξανδρείας H), κύριλλος ἱεροσολύμων, γρηγόριος ὁ θεολόγος ἀναθεματίσαντες (ἀνεθεμάτισαν P) μακεδόνιον περὶ τοῦ ἁγίου πνεύματος βλασφημοῦντα καὶ σὺν αὐτῷ σαβέλλιον καὶ ἀπολλινάριον. ἀπέχει οὖν ἡ δευτέρα σύνοδος ἀπὸ τῆς πρώτης ἔτη ἑξήκοντα P H (quae om. F_1, sed plura om. : non adhib. C) **9** ἐν Κωνσταντινουπόλει (sic F_1) : ἐπὶ κωνσταντινουπόλει P : om. H **10** τὰ λείψανα om. H

Τεεντίου καὶ Ἀφρικανοῦ, καὶ ἀπετέθη εἰς τὴν ἁγίαν Εὐφημίαν ἐν τῇ Πέτρᾳ. ὁ αὐτὸς ἤγαγεν ἐκ Ῥώμης τὸν μέγαν Ἀρσένιον, ἀκούσας περὶ τῆς αὐτοῦ φιλοσοφίας καὶ θεϊκῆς γνώσεως, καὶ τούτῳ Ἀρκάδιον καὶ Ὁνώριον, τοὺς αὐτοῦ παῖδας, δέδωκε παιδεύεσθαι παρ᾿ αὐτοῦ τὰ ἱερὰ γράμματα. ὃν καὶ βασιλεοπάτορα πεποίηκεν. οὗτος ἐν νυκτὶ δεόμενος τοῦ Θεοῦ ἤκουσε φωνῆς λεγούσης· Ἀρσένιε, φεῦγε τοὺς ἀνθρώπους καὶ σῴζει. **5** οὗτος ὁ Θεοδόσιος οὓς Κωνσταντῖνος ὁ μέγας τῶν Ἑλλήνων ναοὺς οὐ κατέλυσεν, ἀλλὰ κλεισθῆναι μόνον προσέταξεν, πάντας ἕως ἐδάφους κατέλυσε. **6** τελευτῶντος δὲ τὸν μὲν Ἀρκάδιον ἀποκαθίστησι βασιλέα Κωνσταντινουπόλεως καὶ τῆς ἑῴας πάσης, Ὁνώριον δὲ σὺν Πλακιδίᾳ χειροτονεῖ τῆς δύσεως βασιλέα. καὶ ὁ μὲν Ὁνώριος ἔσχεν τὰ βασίλεια εἰς Ῥάβενναν, Πλακιδία δέ, ἡ θυγάτηρ Γρατιανοῦ, ἐν τῇ Ῥώμῃ. ἐπὶ τούτων Γιζέριχος εἷλεν Ῥώμην καὶ αἰχμαλώτους ἦγε τὰς βασιλίδας. **7** ἐπὶ Θεοδοσίου τοῦ μεγάλου Γρηγόριος ὁ Θεολόγος τῇ νῦν ἐκκλησίᾳ Ἀναστασίας τῆς μάρτυρος, εὐκτηρίῳ οὔσῃ μικρῷ, τοὺς ὀρθοδόξους ἐδίδασκεν. Ἀναστασίαν δὲ τὸν μέγαν οἶκον ὁ ἱστορῶν φησιν ὀνομάζεσθαι ἢ διὰ τὴν τῆς ὀρθῆς πίστεως ἀνάστασιν ἢ διὰ τὸ γυναῖκα ἐγκύμονα πεσοῦσαν ἄνωθεν τελευτῆσαι, κοινῆς δὲ ὑπὸ τῶν ὀρθοδόξων γενομένης εὐχῆς ἀναστῆναι τὴν τελευτήσασαν. **8** Θεοδόσιος ἐδήλωσε Δημοφίλῳ ἢ τῆς Ἀρείου πλάνης ἀποστῆναι ἢ τῶν ἐκκλησιῶν ὑπεκστῆναι. ἐξῆλθεν οὖν τεσσαράκοντα ἔτη τῶν Ἀρειανῶν κατασχόντων τὰς ἐκκλησίας. ἡ σύν-

12–16 ὁ – σῴζει: cf. Georg. Mon. 567.1–574.10 **19–22** τελευτῶντος – Ῥώμῃ: cf. Theoph. 74.16–18; Georg. Mon. 592.8–19 § 7: cf. Th. Lect. 77.8–12 **23–26** ἐπὶ – ἐδίδασκεν: cf. Theoph. 67.12–15 **29–34** Θεοδόσιος – ἐλευθερώσαντα: cf. Theoph. 68.7–13 **29–31** Θεοδόσιος – ἐκκλησίας: cf. Th. Lect. 77.14–20 **31–37** ἡ – προχειρισθέντος: cf. Th. Lect. 78.10–17; Georg. Mon. 574.11–20

T [C][F_1]PH

11 ἀπετέθη : ἀπετέθησαν F_1 P H : non adhib. C **12** ἐκ Ῥώμης post Ἀρσένιον transp. P περὶ om. P **14** αὐτοῦ pr. (sic F_1 : sim. exhib. C) : αὐτοὺς T **16** σῴζει (sic F_1) : σώζῃ P H **18** ἀλλ᾿ ἀνακλησθῆναι H post ἐδάφους add. τῆς γῆς H **19** τελευτῶντος : τελευτῶν F_1 P : τελευταῖον H : non adhib. C **20** πάσης (sic F_1) : ἁπάσης P H **21** βασιλέα : βασιλεῖς F_1 P H : non adhib. C τὰ βασίλεια (sic F_1) : βασίλειαν T : non adhib. C **22** Ῥάβενναν : ῥάβεναν T : ῥάβαιναν H πλακίδα P H (πλακι^{δ} F_1) : non adhib. C τούτων : τούτου H **23** ἦγε : ἤγαγε F_1 P : εἷλε H : non adhib. C **24** post Θεολόγος fort. add. ἐν vel εἰς : ἐν add. Bekker Tafel (sic etiam Th. Lect. 77.8) τῇ νῦν ἐκκλησίᾳ : τὴν νῦν ἐκκλησίαν F_1 (τηνῦν ἐκκλησίαν ut vid. F_1 : τῆνῦν ἐκκλησίαν E (Marcianus (Venetus) gr. 608)) H : τὴν ἐκκλησίαν T, fort. recte : non adhib. C **25** post εὐκτηρίῳ add. ἔτι P H (non add. F_1) **26** Ἀναστασίαν : an scrib. Ἀναστασίας? **27** ἀνάστασιν : τράνωσιν F_1 : om. T : non adhib. C **29** post τελευτήσασαν add. τὸ δὲ τὴν τοῦ ναοῦ ἐπωνυμίαν παρά τισι δισσῶς ὀνομάζεσθαι τοῖς ἱστοροῦσιν οὕτως ἡρμήνευται· τὸ μὲν ἀναστασίαν αὐτὴν κεκλῆσθαι διὰ τὸν τῆς ὀρθοδοξίας λόγον ἐν αὐτῇ τὴν ἀνάστασιν δέξασθαι, τὸ δὲ ἀναστασίαν καλεῖσθαι αὐτὴν διὰ τὸ συμβᾶν ἐν αὐτῇ θαυματούργημα P H (non add. F_1) **30** post οὖν add. κατησχυμμένος (κατησχημένος H) P H (non add. F_1) **31** κατασχῶν H

οδος οὖν καὶ ὁ βασιλεὺς Γρηγόριον καὶ ἄκοντα βιασάμενοι τῷ θρόνῳ ἐνίδρυσαν, ὡς πολλὰ καμόντα καὶ τῆς λώβης τῶν αἱρέσεων τὴν πόλιν ἐλευθερώσαντα. τοὺς ἐξ Αἰγύπτου δὲ μαθὼν ὁ θεῖος Γρηγόριος τῷ λόγῳ τούτου φθονήσαντας, τὸν συντακτήριον λόγον ἐπιδειξάμενος ἑκουσίως τῆς ἐπισκοπῆς ὑπεχώρησε, Νεκταρίου ἀντ᾽ αὐτοῦ ὑπὸ τοῦ βασιλέως προχειρισθέντος. **9** τὸ σῶμα Παύλου τοῦ Ὁμολογητοῦ Θεοδόσιος εἰς τὴν πόλιν εἰσήγαγεν καὶ ἐν τῇ ἐπὶ Παῦλον ὀνομαζομένῃ ἐκκλησίᾳ ἀπέθετο, ἣν ᾠκοδόμησεν Μακεδόνιος Παύλῳ ἐπιβουλεύων. Ἡλιόδωρος ὁ γράψας τὰ λεγόμενα Αἰθιοπικὰ ἐπίσκοπος ἦν Τρίγκης ἐπὶ Θεοδοσίου. γράφει δὲ καὶ διὰ στίχων ἰάμβων τὴν τοῦ Χρυσοῦ ποίησιν πρὸς τὸν αὐτὸν Θεοδόσιον. **10** διὰ τοὺς γενομένους φόνους ἐν Θεσσαλονίκῃ σὺν τῷ πλήθει καὶ τοῦ ὑπάρχου καὶ τοῦ παιδὸς αὐτοῦ ἐν Μεδιολάνῳ Θεοδόσιος ἀπιὼν εἴργεται τῆς ἐκκλησίας παρὰ Ἀμβροσίου ἐπὶ πολύ. μετὰ πολλῆς οὖν ἱκεσίας καὶ μετανοίας μόλις δεχθείς, ὡς ἔθος τὰ δῶρα προσενεγκών, τοῦ θυσιαστηρίου ἐκστῆναι τοῦτον ἐκέλευσεν Ἀμβρόσιος, διδάξας ἱερέων καὶ βασιλέων τύπον· ὃς ἐν Κωνσταντινουπόλει ἐλθὼν ἐτύπωσε τοῦτο, τῶν βασιλέων πρὸ τούτου ἔνδοθεν τοῦ θυσιαστηρίου ἱσταμένων. ἐν Ἀντιοχείᾳ κατεσύρη ἡ τῆς γυναικὸς αὐτοῦ Πλακίλλης εἰκὼν φόρων ἕνεκα πλείστων. δι᾽ ἣν ὀργισθεὶς ὁ βασιλεὺς ὄλεθρον ἄρδην ἠπείλησε τῇ πόλει, ἐκεκώλυτο δὲ διὰ τὸν τοῦ θυμοῦ νόμον, ὃν Ἀμβρόσιος γράψαι τοῦτον πεποίηκε. **11** τότε καὶ Ἰωάννης ὁ Χρυσόστομος, πρεσβύτερος ἐν Ἀντιοχείᾳ ὤν, τοὺς Ἀνδριάντας ἔγραψεν. **12** Θεοδοσίου ἐν Μεδιολάνῳ τελευτήσαντος τὸ σῶμα αὐτοῦ Ἀρκάδιος ἐν τῇ πόλει ἀποκομίσας κατατίθησιν.

37–39 τὸ – ἐπιβουλεύων: cf. Theoph. 69.30–32 **39–40** Ἡλιόδωρος – Τρίγκης: cf. Th. Lect. 82.28–29; Socr. HE V.22 **42–49** διὰ – ἱσταμένων: cf. Th. Lect. 84.1–13 (cf. Theoph. 73.1–6; Georg. Mon. 580.6–20) **42–44** διὰ – πολύ: cf. Theoph. 72.27–29; Georg. Mon. 576.22–580.20 **49–53** ἐν – ἔγραψεν: cf. Georg. Mon. 580.21–582.14 § 12: cf. Theoph. 74.15–19; Georg. Mon. 592.8–19

T [C][F_1]PH **43** ab αὐτοῦ T [C][F_1]PH[K]

---

32 post θρόνῳ add. τῆς ἀρχιερωσύνης P H (non add. F_1) **34** θεῖος (sic F_1) : om. P H **34–35** τῷ λόγῳ τούτου : vide introd. III.3.1.1 **39** post ᾠκοδόμησεν (post ᾠκοδόμησεν exhib. παῦλος P[ac]) add. ὁ F_1 H K : non adhib. C ἐπιβουλεύοντι H ὁ om. F_1 P H : non adhib. C **40** Τρίγκης : fort. scrib. Τρίκκης sec. Th. Lect. et Socr. HE V.22 (sic Bekker Tafel) **42** φόνους : θορύβους Cramer **43** τοῦ pr. – παιδὸς : τοῦ ἐπάρχου καὶ τοῦ παιδὸς F_1 : τῷ ἐπάρχῳ καὶ τῷ παιδὶ P H : non adhib. C **44** εἴργετο P **45–46** προσενεγκών : προσαγαγών H **46** τοῦτον ἐκστῆναι P H K : non adhib. C F_1 **47** τύπον : τόπον Bekker et in app. Tafel Κωνσταντινουπόλει (sic F_1) : κωνσταντίνοπόλει T **49** κατεσύρη Tafel : κατὰσυρεῖ T : κατεσύρει F_1 H K : om. P (περιέσυραν C) πλακίλης H **50** post πλείστων (πλείστης H) add. ἐπιθέσεως P H K (non add. F_1) **51** post ὃν add. ὁ P **55** post κατατίθησιν (κατέθετο H) add. ἐν τῷ ἡρῴῳ, ὅπερ ὁ ἐν ἁγίοις κωνσταντῖνος κατεσκεύασεν εἰς ταφήν. τὴν δὲ τῆς ἀρχιερωσύνης καθέδραν κατεῖχε νεκτάριος P H K (non add. F_1)

96 Ἀρκάδιος

Ἀρκάδιος ἐλθὼν ἀπὸ Ῥώμης ἐβασίλευσεν ἔτη †κβ', ἐάσας ἐν τῇ Ῥώμῃ Ὁνώριον. οὗτος ἐποίησεν ἴδιον ἀριθμόν, οὓς Ἀρκαδιακοὺς ἐκάλεσεν. ἔστησε δὲ καὶ τὸν κίονα τοῦ Ξηρολόφου, ἱδρύσας ἐν αὐτῷ τὸν ἑαυτοῦ ἀνδριάντα, καὶ πόλιν ἐν τῇ Θρᾴκῃ κτίσας ἐκάλεσεν Ἀρκαδιούπολιν. **2** ἐπὶ τούτου ἐξωρίσθη καὶ Ἰωάννης ὁ Χρυσόστομος, συσκευῆς γεγονυίας ὑπὸ Εὐδοξίας αὐγούστης καὶ Θεοφίλου, πάπα Ἀλεξανδρείας, καὶ ἐπέμφθη ἐν Κουκουσῷ. ἀσπασαμένου δὲ αὐτοῦ Ὀλυμπιάδα, θυγατέρα Σελεύκου ἀπὸ ἐπάρχων, καὶ ἑτέρας σεμνὰς γυναῖκας ἐξῆλθε τῆς ἐκκλησίας· καὶ παρευθὺ πῦρ ἐξελθὸν ἀπὸ τοῦ θυσιαστηρίου κατέκαυσε πάντα. τῷ αὐτῷ δὲ χρόνῳ ἀντῆραν οἱ Ἰσαυροὶ πραιδεύοντες ἕως Καππαδοκίας. ἐπὶ τοῦ αὐτοῦ Ἀρκαδίου εἰσῆλθον καὶ τὰ λείψανα τοῦ ἁγίου Σαμουὴλ τοῦ προφήτου καὶ ἀπετέθησαν ἐν τῷ ναῷ αὐτοῦ πλησίον τοῦ Ἑβδόμου. **3** ἀρρωστήσας δὲ ὁ αὐτὸς βασιλεὺς τελευτᾷ. **4** Νεκταρίου τελευτήσαντος Ἀρκάδιος Ἰωάννην ἀπὸ Ἀντιοχείας ἀγαγὼν ποιεῖ πατριάρχην. τῶν εὐγενῶν δὲ ἦν Ἰωάννης καὶ ἐλλόγιμος, ᾧ καὶ Λιβάνιος ἐμαρτύρησε· πυθομένων γὰρ τῶν αὐτοῦ φοιτητῶν, τίνα ἀντ' αὐτοῦ προΐστησι τῷ διδασκαλείῳ, Ἰωάννην, ἔφη, εἰ μὴ ἐσυλήθη ὑπὸ τῶν Γα-

---

2 Ἀρκάδιος – †κβ': cf. Theoph. 74.20 (regnavit 14 annos); 81.1–2; Georg. Mon. 592.21–22 (regnavit 13 annos) **3** οὗτος – ἐκάλεσεν: cf. Theoph. 75.16–17 **4–5** ἔστησε – Ἀρκαδιούπολιν: cf. Theoph. 77.24–25; Georg. Mon. 592.22–593.1 **6–11** ἐπὶ – πάντα: cf. Theoph. 78.16sqq.; Georg. Mon. 600.11sqq. § 3: cf. Theoph. 80.35 **14–19** Νεκταρίου – Γαλιλαίων: cf. Theoph. 75.19–32; Georg. Mon. 593.3–21

T [C][F_1]PH[K]

---

1 post Ἀρκάδιος add. ὁ (ὁ om. K) υἱὸς θεοδωσίου H K **2** post Ἀρκάδιος add. ὁ υἱὸς θεοδωσίου H κβ' : an scrib. ιβ'? (cf. app. font.) **4** ἑαυτοῦ om. H **5** πόλιν (sic F_1) : πάλιν T : non adhib. C ἐκάλεσεν : ἐπωνόμασεν H K post Ἀρκαδιούπολιν add. ἦν δὲ τὴν θέσιν τοῦ σώματος ἠδεχθέστατος· μέλας μὲν τὴν χροιάν· τὴν ἡλικίαν φαυλώτατος· ἓν μόνον ἔχων πλεονέκτημα, τὸ καλῶς γράφειν· ὃ παρὰ τοῦ μεγάλου ἀρσενίου ἐξεπαιδεύθη H K **6** καὶ om. P **7** ὑπ' P καὶ alt. (sic F_1) : om. P K **8** ἐπέφθη H **9** ἀπὸ : ἐκ P H K : om. F_1 : non adhib. C **11** Ἰσαυροὶ : ἴσαυροι P H : non adhib. C F_1 πραιδεύοντες : παιδεύοντες T : non adhib. C F_1 ἕως : μέχρι P **12** εἰσῆλθε F_1 P H K : non adhib. C **13** ἐπετέθησαν H **14** post τελευτᾷ add. καταλιπὼν (καταλειπὼν H : καταλειπὸν K) θεοδόσιον τὸν υἱὸν αὐτοῦ, πάντας τοὺς ὑπ' αὐτὸν ὄντας ἀρίστους (ἀρίστου K) προαποκτείνας διὰ τὸ μεῖζον εἶναι τὸ ἐκείνου φρόνημα· ἐν οἷς ἦν καὶ ῥουφῖνος, ὁ παρ' αὐτῷ μεγάλα (μέγα P) δυνάμενος. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῇ μεσημβρινῇ (post μεσημβρινῇ exhib. ἐκκ P^{ac}) στοᾷ, ἔνθα καὶ ἡ γυνὴ αὐτοῦ εὐδοξία προαπετέθη, ἐν λάρνακι ῥωμαίῳ P H K (non add. F_1) **16** ἦν : ὢν (ὢν ὁ P H) P H K : non adhib. C F_1 **17** πυθομένων γὰρ (sic Bekker Tafel) : ποιθομένων T : πυθομένων δὲ γὰρ P : ποιθομένων γὰρ αὐτῶ H : non adhib. C F_1 (cf. Georg. Mon. 593.18 (γὰρ exhibet))

λιλαίων. μεταξὺ Ἰωάννου καὶ Ἐπιφανίου, τοῦ τῆς Κύπρου, γογγυσμὸς δι' Εὐδοξίαν γέγονεν. ἐδήλωσεν δὲ Ἰωάννης Ἐπιφανίῳ τὴν ἐν τῷ πλοίῳ αὐτοῦ τελευτήν, ὡσαύτως καὶ Ἐπιφάνιος τὴν ἐπ' ἐξορίας αὐτοῦ τελευτήν. τοῖς δὲ παραπέμπουσι φίλοις ὁ Ἐπιφάνιος ἔφη· σπεύδω ἐγώ, σπεύδω, ἀφίημι δὲ ὑμῖν τὰ βασίλεια, τὴν πόλιν καὶ τὴν ὑπόκρισιν. **5** τελευτήσαντος Ἰωάννου χειροτονεῖται Ἀρσάκιος πατριάρχης. **6** Γαϊνὰς Ἀρκαδίῳ ἀντάρας πολλὰ δεινὰ κατὰ τῆς πόλεως εἰργάσατο. πολέμου δὲ συρραγέντος κατά τε γῆν καὶ θάλασσαν αὐτὸς καὶ οἱ σὺν αὐτῷ ἀπώλοντο.

97 Θεοδόσιος ὁ *νέος*

Θεοδόσιος ὁ *νέος*, ὁ υἱὸς Ἀρκαδίου, ἐβασίλευσεν ἔτη λγ'. οὗτος ἔγημε βουλῇ Πουλχερίας τῆς ἰδίας ἀδελφῆς καὶ Παυλίνου, φιλουμένου παρ' αὐτοῦ, Εὐδοκίαν Ἀθηναίαν, ὡραιοτάτην σφόδρα. **2** ἐν τῇ Μεγάλῃ δὲ ἐκκλησίᾳ ἀπιόντος αὐτοῦ προσήγαγεν αὐτῷ πένης μῆλον μέγα, ὑπερφυές. ὅπερ ἰδὼν ὁ βασιλεὺς καὶ ἡ σύγκλητος ἐξεπλάγησαν, καὶ δεδωκὼς τῷ πένητι νομίσματα ἑκατὸν ἀπέστειλε τοῦτο τῇ αὐγούστῃ. αὐτὴ δὲ νοσοῦντι τῷ Παυλίνῳ, τῷ συμπράξαντι τοῖς γάμοις αὐτῆς, ἀπέστειλε. πάλιν δὲ ὁ Παυλῖνος εἰσερχομένῳ τῷ βασιλεῖ ἐν τῷ παλατίῳ ἀγνοῶν

19–23 μεταξὺ – ὑπόκρισιν: cf. Theoph. 79.23–28; Georg. Mon. 602.1–4 **20–23** ἐδήλωσεν – ὑπόκρισιν: cf. Th. Lect. 89.1–5 § 5: cf. Th. Lect. 90.3–4; Theoph. 79.19–21 § 6: cf. Th. Lect. 87.1–8; Theoph. 76.10–18 **cap. 97.2** Θεοδόσιος – λγ': cf. Theoph. 80.25–29; Georg. Mon. 604.8–9 **2–4** οὗτος – σφόδρα: cf. Theoph. 83.19–22 (cf. etiam Theoph. 99.18–28; 101.32–102.4; 109.14–15; Georg. Mon. 609.6–610.6)

T [C][F_1]PH[K]

---

19 τοῦ om. P **21–22** post τελευτήν : add. μέλλων δὲ ἐπιφάνιος πλεῖν F_1 : add. μέλλων δὲ ἀποπλεῖν ἐπιφάνιος (ἐπιφάνιος ἀποπλεῖν H) ἐπὶ κύπρον (κύπρου K) P H K : non adhib. C **22** δὲ om. F_1 P H K : non adhib. C ὁ Ἐπιφάνιος om. F_1 P H K : non adhib. C **24** post Ἰωάννου add. ἐν τῇ ἐξορίᾳ P H K (non add. F_1, sed fort. non potest comparari) : non adhib. C **25** γαϊνᾶς P **26** ῥαγέντος T : non adhib. C F_1 **cap. 97.1** Θεοδόσιος ὁ *νέος* : θεοδόσιος ὁ μικρὸς ἔτη μδ in mg. C : βασιλεία (βασιλεία in mg.) θεοδωσίου τοῦ *νέου* F_1 : θεοδόσιος ὁ *νέος*, υἱὸς ἀρκαδίου P H K **2** ὁ alt. om. F_1 P H K (quod exhib. C) **4** post σφόδρα (πάνυ F_1 P H K : non adhib. C) add. θυγατέρα (θυγατέραν H K) οὖσαν λεοντίου τοῦ φιλοσόφου P H K (non add. F_1) δὲ om. H **5** post μέγα add. καὶ P **5–6** ὑπερφυές (sic F_1) : ὑπερφυεῖ T : non adhib. C **7** ρ νομίσματα ἑκατὸν H τοῦτο (sic F_1) : om. P H K **7–8** αὐτὴ – Παυλίνῳ : τῶ παυλίνω δὲ αὐτῆ *νοσοῦσα* H **8** συνπράξαντι H K τοὺς γάμους H K αὐτῆς (sic F_1) : αὐτοῖς T : non adhib. C ἐξαπέστειλλεν H **9** δὲ (sic F_1) om. T : non adhib. C

ἀπέστειλεν. ὁ δὲ γνωρίσας ἀπέκρυψεν καὶ εἰσελθὼν ἠρώτησε τὴν αὐγούσταν περὶ τοῦ μήλου. ἡ δὲ εἶπεν φαγεῖν αὐτό. ὁ δὲ ὥρκωσεν αὐτὴν τὴν σωτηρίαν αὐτοῦ, μή τινι τοῦτο πέπομφεν. ἡ δὲ εἶπεν φαγεῖν αὐτό. καὶ τοῦ μήλου ἐνεχθέντος γέγονεν ἔκτοτε μεταξὺ αὐτῶν λύπη καὶ ἀπομερισμός. τὸν δὲ Παυλῖνον ἀποστείλας ἀνεῖλεν ὁ βασιλεύς. γνοῦσα δὲ τοῦτο ἡ αὐγούστα ὡς ὑβρισθεῖσα ἐξώρμησεν εἰς τοὺς ἁγίους τόπους κἀκεῖ τελευτᾷ ἐν Ἱεροσολύμοις. ἐν δὲ τῷ μέλλειν τελευτᾶν ἐπωμόσατο μὴ συνειδέναι τῇ κατηγορίᾳ τῇ κατ᾽ αὐτῆς ἕνεκεν Παυλίνου. **3** ὁ δὲ βασιλεὺς Θεοδόσιος πέμψας εἰσήγαγε τὸ λείψανον Ἰωάννου τοῦ Χρυσοστόμου καὶ ἀπέθετο ἐν τῷ θυσιαστηρίῳ τῶν ἁγίων Ἀποστόλων. ἐπὶ αὐτοῦ δὲ ἀπετέθη καὶ τὰ λείψανα τῶν ἁγίων Στεφάνου καὶ Λαυρεντίου. **4** γέγονε δὲ καὶ ἡ τρίτη σύνοδος ἐν Ἐφέσῳ, ὅτε καὶ οἱ ἑπτὰ παῖδες ἀνέστησαν οἱ κοιμηθέντες ἐπὶ Δεκίου. **5** ἐξῆλθε δὲ καὶ ὁ βασιλεὺς Περσῶν κατὰ Ῥωμαίων. ἀπέστειλε δὲ ὁ βασιλεὺς Προκόπιον

17–19 ὁ – Ἀποστόλων: cf. Theoph. 92.37–93.5 **20–21** ἐπὶ – Λαυρεντίου: cf. Theoph. 86.26–87.5 § 4: cf. Theoph. 89.29sqq.; 88.31–32; Georg. Mon. 605.11sqq. § 5: cf. Georg. Mon. 606.23–607.12

T [C][F_1]PH[K]

---

10 ἀπέστειλεν (sic F_1 et Theoph. 99.23) : ἀνταπέστειλεν T : non adhib. C ἀπέκρυψεν : ἀπέστειλεν αὐτῶ καὶ εἶχεν κρυφίως ἐν τῶ κοιτῶνι αὐτοῦ H εἰσελθεῖν H **10–11** ἠρώτησε τὴν αὐγούσταν (αὐγούστην P K) : τὴν αὐγούσταν πρὸς αὐτὸν διωρίσατω· ἐρωτίσας οὖν H **11** post μήλου add. αὐτῆ ὤπει γέγωνεν H ἡ δὲ εἶπεν : ἔφη H ὥρκησεν H K post αὐτὴν add. εἰς F_1 P H K (quod add. etiam Tafel) : non adhib. C (non exhib. εἰς Theoph.) **12** πέπομφεν : πέμπομφε H : πέμποφεν K **13** ἐνεχθέντος : ἐλεγχθέντος H **14** post ὁ βασιλεύς (ὁ βασιλεύς om. H) add. νυκτί (τῇ νυκτί H K) P H K (non add. F_1) γνοῦσα δὲ : καὶ γνοῦσα F_1 P H K : non adhib. C **15** τοῦτο : τοῦτον T : non adhib. C F_1 αὐγούστα : βασίλισα H εἰς τοὺς ἁγίους τόπους om. H **17** post Παυλίνου add. οὗτος δὲ ὁ θεοδόσιος ἦν τὸ σῶμα μέσος, ὄμματα (-τα vix leg. P) ἐσκύκλον (ἐσκύκλων H K) τῶν βλεφάρων μείζονα ἔχων, μέλανά (μέλανάς H) τε καὶ ὀξυβλέποντα (ὀξύβλέποντας μέλενάς τε καὶ ὀξυδερκὲς λεόντιον καὶ φρικώδες H), ῥὶς λεπτὴ καὶ ὀρθεῖα, μελίθριξ, πάσης παιδείας μετασχὼν καὶ ἀστρονομίας, ἱππεύειν τε καὶ τοξεύειν ἀσκηθεὶς τοῦ μετρίου πέρα, μείλιχος (μειλίχιος P) ὢν τὸν τρόπον, καὶ ἐπ᾽ ἄγραν (ἐσ᾽ ἄγραν P) ἐπιτήδειος, ὥστε διὰ τοῦτο (διὰ τοῦτο om. H K) καὶ (καὶ om. H) πολλὰ τῶν κοινῶν (κυνῶν H) διαπεσεῖν, τῇ πρὸς τοὺς εὐνούχους κρατηθέντα αἰδῷ, οἵτινες ἦσαν εὐτρόπιος, λαῦσος καὶ καλοπόδιος. καὶ πρὸς τούτοις χρυσάφιος αὐτὸν κατεδουλώσατο P H K (non add. F_1) post δὲ add. αὐτὸς P H K (non add. F_1) **18** Ἰωάννου om. H **20** καὶ pr. om. H K **21** post Λαυρεντίου (λαβρεντίου T) add. ἐν δὲ τῷ τρισκαιδεκάτῳ αὐτοῦ ἔτει P H K (non add. F_1) δὲ om. (sed vide supra) P H K : non adhib. C F_1 post σύνοδος add. ἡ P K (non add. F_1) post Ἐφέσῳ add. ὑπὸ διακοσίων πατέρων, ἐξ ὧν κύριλλος ἀλεξανδρείας, κελεστῖνος ((-λλ- H) κυλεστῖνος P) πάπας ῥώμης, ἰουβενάλιος (-λλ- H) ἱεροσολύμων, κατὰ νεστορίου ἐπισκόπου κωνσταντινουπόλεως καὶ ἀλεξάνδρου ἱεραπόλεως, λέγοντος (λέγοντες H) μὴ εἶναι θεοτόκον ἀλλὰ χριστοτόκον· καὶ τοῦτον ἀναθεματίσαντες ἐκήρυξαν θεοτόκον κυρίως καὶ ἀληθῶς τὴν ἁγίαν παρθένον μαρίαν. ἀπέχει δὲ τῆς δευτέρας ἡ τρίτη ἔτη λη (λη : ὀκτώ P) P H K (non add. F_1) **22** οἱ om. H καὶ om. P **23** post δὲ add. καὶ H K

στρατηλάτην κατ᾽ αὐτῶν. ὁ δὲ Περσῶν βασιλεὺς δηλοποιεῖ Προκοπίῳ, ὡς ὅτι ποιῶ πάκτα εἰρήνης μετὰ Ῥωμαίων ἐπὶ ἔτη πεντήκοντα, ἐὰν ἡττηθῇ ὃν προβάλλομαι Πέρσην εἰς τὸ μονομαχῆσαι· εἰ δὲ ἡττηθῇ παρ᾽ αὐτοῦ ὁ ἐξ ὑμῶν μέλλων μονομαχεῖν αὐτῷ, λαμβάνειν με κεντηνάρια πεντήκοντα καὶ τὰ ἐξ ἔθους δῶρα πάντα. καὶ τούτων δοξάντων ἐξῆλθεν ὁ Πέρσης. ὁ δὲ στρατηλάτης προεβάλετο Ἀρεόβινδον, κόμητα φοιδεράτων. καὶ ἐξελθόντες ἔνοπλοι καὶ ἔφιπποι, τοῦ Ἀρεοβίνδου σόκιστρον κατέχοντος, καὶ πρώτου τοῦ Πέρσου ὁρμήσαντος κατ᾽ αὐτοῦ, ὑποπλαγιάσας ὁ Ἀρεόβινδος ἐσόκισεν αὐτὸν καὶ κατενεγκὼν ἐκ τοῦ ἵππου ἔσφαξεν· καὶ ἐποίησεν πάκτα εἰρήνης ὁ βασιλεὺς Περσῶν. εἰσελθὼν δὲ ἐν τῇ πόλει Ἀρεόβινδος καὶ μεγάλως παρὰ τοῦ βασιλέως ἀποδεχθεὶς προήχθη ὕπατος. **6** ὁ δὲ αὐτὸς βασιλεὺς καταλύσας τὸ χερσαῖον τεῖχος τῆς πόλεως καὶ προσθεὶς ἄλλα διαστήματα δύο ᾠκοδόμησεν ἕτερον τεῖχος δι᾽ ἡμερῶν ξ'. **7** μετὰ δέ τινα χρόνον ἐξῆλθεν ὁ βασιλεὺς ἱππασθῆναι καὶ συμπεσόντος αὐτῷ τοῦ ἵππου καὶ πληγεὶς εἰσῆλθε ἐν λεκτικίῳ. καὶ καλέσας τὴν ἀδελφὴν Πουλχερίαν εἶπεν αὐτῇ διὰ Μαρκιανόν, τὸν μετ᾽ αὐτὸν βασιλεύσαντα· τοῦτο γάρ μοι, φησίν, Ἰωάννης ὁ Θεολόγος ἀπεκάλυψεν ἐν Ἐφέσῳ μοι ὄντι. καὶ μεταστειλάμενος Μαρκιανὸν εἶπεν αὐτῷ ἐπὶ Ἄσπαρος καὶ τῆς συγκλήτου· ἐδείχθη μοι, ὅτι σὲ δεῖ γενέσθαι βασιλέα μετ᾽ ἐμέ· καὶ μεθ᾽ ἡμέρας δύο ἐτελεύτησεν. **8** Πουλχερία ἡ βασιλὶς καίπερ νέα οὖσα ἄριστα τὴν βασιλείαν ἐδιοίκει. ἐπαίδευε δὲ καὶ τὸν ἀδελφὸν σωφρόνως βιοῦν καὶ αὐτὴ τὴν ἰδίαν παρθενίαν Θεῷ προσανέθηκε καὶ τὰς ἀδελφὰς Ἀρκαδίαν καὶ Μαρίναν τὸ ὅμοιον πρᾶξαι

---

§ 6 (cf. § 14 infra): cf. Georg. Mon. 604.12–14 § 7: cf. Theoph. 103.6–16; Georg. Mon. 604.9–10 § 8: cf. Th. Lect. 91.4–7; Suda π (2145), p. 183.1–5; Theoph. 81.5–12; Georg. Mon. 610.22sqq.

T [C][F_1]PH[K]

---

24 post δηλοποιεῖ add. τῷ H **25** πεντήκοντα ἔτη (πενᵀ´ ἔτη F_1) F_1 P H K : non adhib. C **27** αὐτῷ (F_1 per comp.) : αὐτόν P H K **29** προεβάλετο : προεβάλλετο T H : προελάβετο C F_1 **29–30** φοιδεράτων : φοιβεράτων T, fort. e -δ- **31** αὐτοῦ (F_1 per comp.) : αὐτὸν T : non adhib. C **32** post αὐτὸν add. τῷ σοκίστρῳ, ᾧ ἐπεφέρετο P H K (non add. F_1) **33** περσῶν ὁ βασιλεὺς H **34** ὁρεόβινδος T : non adhib. C F_1 **35** προσήχθη H K **36** ἄλλα : ἀλλὰ H **37** post τεῖχος add. διὰ κύρου, ἐπάρχου σοφωτάτου καὶ ἱκανοῦ C P H K : non adhib. F_1 **38** καὶ alt. om. P H K (quod exhib. F_1) ἐν om. T (quod exhib. F_1) : non adhib. C **40–41** Ἰωάννης ὁ Θεολόγος (sic F_1) : ὁ θεολόγος ἰωάννης P : ὁ θεολόγος H K **42** post καὶ add. πάσης H **43** βασιλέα γενέσθαι H **43–44** Πουλχερία bis exhib. T (primo tituli modo) : non adhib. C F_1 **44** post ἐδιοίκει (ἐδιώκει P K (sic etiam C sed e Theoph. hausit ut vid.) : non adhib. F_1) add. διὰ τὸ τὸν ἀδελφὸν αὐτῆς καὶ βασιλέα θεοδόσιον πάνυ μικρὸν εἶναι P H K : non adhib. F_1 ἐπαίδευσε P H K : non adhib. F_1 **45** καὶ αὐτὴ : ἑαυτῇ δὲ H **46** ἀρκαδία καὶ μαρῖνα T : non adhib. C F_1 τὸ ὅμοιον πρᾶξαι : τὰ ὅμοια πράττειν P H K : non adhib. C F_1

ἐδίδαξεν. **9** Ἀρσακίου τελευτήσαντος Ἀττικὸς ὁ ἐν ἁγίοις χειροτονεῖται πατριάρχης. ἐπὶ Θεοδοσίου Ἄσπαρ καὶ Ἀρδαβούριος προχειρίζονται δομέστικοι ἀνατολῆς τε καὶ δύσεως. Ἀττικοῦ τελευτήσαντος Σισίνιος προχειρίζεται. τούτου τελευτήσαντος Νεστόριος γέγονε πατριάρχης. τούτου καθαιρεθέντος Πρόκλος ἀντ' αὐτοῦ χειροτονεῖται· ὅτε καὶ τὸ λείψανον τοῦ Χρυσοστόμου ἐν τῇ πόλει μετετέθη. **10** ἐπὶ αὐτοῦ ἐν τῇ λιτῇ τοῦ Κάμπου ἤρθη παιδίον μετέωρον ἐπὶ ὥρας πολλάς, ὃ καὶ ἐπήκουσε θείας φωνῆς μὴ προστιθέναι ἐν τῷ τρισαγίῳ »ὁ σταυρωθεὶς δι' ἡμᾶς«, ὃ καὶ μέχρι τοῦ νῦν ᾄδεται. **11** Θεοδόσιος ὁ βασιλεὺς εὐμετάγωγος ἦν σφόδρα πειθόμενος τοῖς ὑποβάλλουσιν αὐτῷ οἰκείοις, ὥστε καὶ χάρτας ἀπαραναγνώστους ὑπέγραφε. ὅπερ γνοῦσα Πουλχερία, ἡ αὐτοῦ ἀδελφή, σοφῶς ὑπῆλθεν αὐτὸν δωρεὰν ὑποβαλοῦσα Θεοδοσίῳ ἐκχωροῦσαν πρὸς δουλείαν Εὐδοκίαν, τὴν γαμετὴν αὐτοῦ· ἣν καὶ ὑπέγραψε καὶ δεινῶς ὑπὸ τῆς Πουλχερίας ὠνειδίσθη. **12** Πρόκλου τελευτήσαντος Φλαβιανός, ἀνὴρ ἱερώτατος, τῆς ἐκκλησίας προέστη. ἐκ τῶν Γότθων ἔθνη γέγονε τέσσαρα· Γότθοι, Ὑπόγοτθοι, Γήπαιδες καὶ Οὐανδῆλοι· ἐξ ὧν Ἄβαρις ἤρξαντο διαπερᾶν ἐν τῇ Ῥωμαίων γῇ. Χρυσάφιον εὐνοῦχον πολλὰ δυνάμενον παρὰ τῷ βασιλεῖ Θεοδοσίῳ ὡς καὶ Νεστορίῳ προσκείμενον μετὰ θάνατον Θεοδοσίου Πουλχερία ἀνεῖλεν. **13** Κῦρος, ἔπαρχος τῆς πόλεως, ἀνὴρ σοφώτατος καὶ ἱκανός, ἔκτισε τὰ τείχη τῆς πόλεως, τοῦ δήμου ἐκβοήσαντος, καθεζομένου τοῦ

47–48 Ἀρσακίου – πατριάρχης: cf. Theoph. 80.30–34 **49–51** Ἀττικοῦ – χειροτονεῖται: cf. Theoph. 87.6; 88.6–10; 92.31 **51–52** ὅτε – μετετέθη: cf. Theoph. 92.37–93.1 § 10: cf. Theoph. 93.5–20 § 11: cf. Th. Lect. 99.22–100.3; Theoph. 101.13–17; Georg. Mon. 611.5–11; Suda π (2145), p. 183.12–17 (Excerpta de virtutibus I.154.8–14) **60–61** Πρόκλου – προέστη: cf. Th. Lect. 97.16–18; Theoph. 97.26–29 **62–63** ἐκ – Οὐανδῆλοι: cf. Theoph. 94.9sqq. **63–66** Χρυσάφιον – ἀνεῖλεν: cf. Theoph. 103.27–33 § 13: cf. Theoph. 96.33–97.3

T [C][F_1]PH[K]

---

49 δομέστικον P^{pc} (P^2?) τε om. H σισύνιος H **52** τῇ om. T (quod exhib. F_1) : non adhib. C post μετετέθη add. ὑπὸ θεοδοσίου παρακλήσει πρόκλου πατριάρχου P H K (non add. F_1) **57** ἀπαραναγνώστους : ἀπαραγνώστως P : ἀπαραναγνώστως K : non adhib. C F_1 **58** σοφὸν P αὐτὸν : αὐτῶν T : αὐτῷ H K : non adhib. C F_1 ὑποβαλοῦσα scripsi sec. Georg. Mon. 611.8–9 : ὑποβαλλοῦσα T : ὑποβάλλουσα P K : ὑποβάλλου H : non adhib. C F_1 **59** ἐκχωροῦσα P H K : non adhib. C F_1 (vide introd. III.3.1.1) **60** πουλχερίαν T : non adhib. C F_1 **62–63** ἐκ – γῇ : vide introd. III.3.1.1 **63** Οὐανδῆλοι : οὐανδῖλοι P : οὐανδύλοι H Ἄβαρις : ἄβρις T : ἄβαρες C H (fort. sic etiam P, aut -ις) : ἀβάρης F_1 ἤρξαντο (sic C F_1) : ἤρξατο T P περᾶν H **63–64** χρυσάμφιον P **64** παρὰ om. T : non adhib. C F_1 **66** κύρος T ἔπαρχος (sic C F_1) : ὕπαρχος T **67** τοῦ δήμου ἐκβοήσαντος (sic F_1) : ὅπερ ἐξέπληξε τὸν δῆμον διὰ τὸ κάλλος καὶ τὸ τάχος τῆς τοῦ τείχους κτίσεως καὶ ἐποίησεν ἐκβοῆσαι P H K

βασιλέως ἐν τῷ ἱππικῷ· Κωνσταντῖνος ἔκτισε, Κῦρος ἀνενέωσε. φθονηθεὶς οὖν διαβάλλεται ὡς ἑλληνόφρων. δεσμευθεὶς οὖν καὶ ἀποκαρεὶς χειροτονεῖται ἐν Σμύρνῃ ἐπίσκοπος.

98 Μαρκιανός

Μαρκιανὸς ἐβασίλευσεν ἔτη ἓξ καὶ μῆνας ε', στεφθεὶς ὑπὸ Ἀνατολίου πατριάρχου. ἔγημε δὲ ὁ αὐτὸς θειότατος Μαρκιανὸς Πουλχερίαν, τὴν ἀδελφὴν Θεοδοσίου τοῦ βασιλέως, ἐνιαυτῶν οὖσαν νδ', παρθένον καὶ μὴ διαφθαρεῖσαν. **2** ἐπὶ τούτου γέγονεν ἡ τετάρτη σύνοδος ἐν Καλχηδόνι. **3** εἰσῆλθον δὲ καὶ τὰ λείψανα τοῦ ἁγίου προφήτου Ἡσαΐου ἐνεχθέντα ἀπὸ Πανεάδος καὶ κατετέθησαν εἰς τὸν ἅγιον Λαυρέντιον. τῷ δὲ τρίτῳ ἔτει αὐτοῦ ἐκοιμήθη Πουλχερία, ἥτις κτίζει τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου τὸν ἐν τοῖς Χαλκοπρατείοις καὶ τὸν ἐν Βλαχέρναις. **4** στυφθεὶς δὲ τοὺς πόδας αὐτοῦ Μαρκιανὸς καὶ ἀρρωστήσας ἐπὶ μῆνας πέντε ἐτε-

---

§ 1: cf. Theoph. 103.13–14; 17–21; 27–28; Georg. Mon. 610.8–18 § 2: cf. Theoph. 105.21–106.14; Georg. Mon. 611.20–612.12 **7–9** τῷ – Βλαχέρναις: cf. Theoph. 106.25–29; 105.13–16; Georg. Mon. 610.18–22 (cf. etiam Th. Lect. 102.23–24) § 4: cf. Theoph. 109.23–24

T [C][F_1]PH[K]

---

68 κύρος T **69** διαβάλλεται (post διαβάλλεται add. τῷ βασιλεῖ H K (non add. F_1)) – οὖν alt. om. T ut vid. per homoeotel. (quod exhib. F_1) δεσμευθεὶς : δημευθεὶς F_1, fort. recte (sic etiam Theoph. 97.5) **70** post ἐπίσκοπος add. ἐπὶ τούτου τὰ τέλη (fort. scrib. τῷ τέλει) γέγονεν ἐν κωνσταντινουπόλει σεισμὸς μέγας, ὥστε πολὺ μέρος τῆς πόλεως καταπεσεῖν P H K (non add. F_1) **cap. 98.1** post Μαρκιανός add. ὁ γαμβρὸς θεοδοσίου P K : non adhib. F_1 : om. tit. C **2** ἓξ : ια H : ἕνδεκα K **2–3** post πατριάρχου add. οὗτος ὁ μαρκιανὸς ἦν πρεσβύτης τὴν ἡλικίαν, αἰδέσιμος, ἱεροπρεπὴς τῇ καταστάσει, ἐρύθημα ἐπὶ τοῦ προσώπου φέρων κεκερασμένον χάριτι, μεγαλόψυχος, φιλαργυρίας ὑπέρτερος, σώφρων καὶ περὶ τὰ θεῖα εὐλαβής, περὶ δὲ (δὲ om. K (P non certe vid.)) τοὺς ἁμαρτάνοντας συμπαθής, ἄπειρος δὲ παιδείας τῆς ἔξωθεν P H K (non add. F_1) **4** ἐνιαυτῶν οὖσαν νδ' (sic F_1) : οὖσαν πεντήκοντα τεσσάρων ἐτῶν P : ἐτῶν οὖσαν νδ H : ἐνιαυτῶν οὖσαν πεντήκοντα τεσσάρων K **5** post Καλχηδόνι add. ὑπὸ πατέρων χλ κατὰ εὐτυχοῦς (εὐτυχοὺς H) καὶ διοσκόρου καὶ νεστορίου, τῶν ματαίων, λεγόντων μὴ εἶναι τὴν σάρκωσιν τοῦ κυρίου ὁμοούσιον ἡμῖν, ἀλλ' ἐκ δύο φύσεων τὴν ἕνωσιν λέγεσθαι, μίαν δὲ ἀποτελεσθῆναι μετὰ τὴν ἕνωσιν, καὶ ὡς ἐν φαντασίᾳ τὴν σάρκα φορέσαι (φορέσαι τὴν σάρκα P) τὸν κύριον μυθολογούντων (καθομολογούντων P) καὶ θεότητι πάθος ἀπονεμόντων. ἡγοῦντο δὲ λεόντιος ῥώμης, ἀνατόλιος κωνσταντινουπόλεως, ἰουβενάλιος ἱεροσολύμων P H K (non add. F_1) **7** Πανεάδος : νεάδος F_1 P H K : non adhib. C κατέστησαν H λαβρέντιον T **8** τὸν om. H K **9** post Βλαχέρναις add. καὶ τοὺς αὐτῶν ὀρόφους χρυσῷ ἐποίκιλλέ τε καὶ ἐκαλλώπισεν P H K (non add. F_1) **10** τοὺς – Μαρκιανὸς : μαρκιανὸς τοὺς πόδας H **10–11** καὶ – Μαρκιανὸς om. F_1 P H K (homoeotel.) : non adhib. C

λεύτησεν. **5** Μαρκιανὸς ἐν στρατείᾳ ὢν νοσήσας ὑπελείφθη ἐν πόλει Σύδιμα. ἀναρρωσθεὶς οὖν οἰκειώθη δυσὶν εὐπόροις ἀδελφοῖς. ἅμα δὲ αὐτοῖς ἐπὶ θήραν ἐξιών, μεσημβρίας ἀναπαυσάμενος ὕπνωσε. ἔξυπνοι δὲ γενόμενοι οἱ αὐτάδελφοι ὁρῶσιν ὑπνοῦντα ἐν ἡλίῳ Μαρκιανόν, ὑπὸ ἀετοῦ δὲ περισκεπόμενον. ἐκπλαγέντες οὖν διϋπνισθέντι λέγουσιν· εἰ βασιλεύσεις, τί ἡμῖν χαρίσῃ; ὁ δὲ διαπιστῶν ὅμως ἔφη· ἀντὶ πατρὸς ἔχειν ὑμᾶς. δόντες οὖν αὐτῷ νομίσματα σ' ἀπέστειλαν ἐν τῇ πόλει, »μέμνησο ἡμῶν« φήσαντες. **6** ὁ δὲ εἰσελθὼν προσεκολλήθη Ἄσπαρι καὶ Ἀρδαβουρίῳ. εἶθ' οὕτως μετὰ Ἄσπαρος εἰς Ἀφρικὴν ἐλθὼν ἐζωγρήθη. ὑπνοῦντος δὲ ἐν τῇ αὐλῇ Γιζερίχου ἀετὸς αὖθις κατελθὼν ἐσκέπασεν αὐτόν. ὁραθεὶς δὲ παρὰ Γιζερίχου, τοῦτον ἀνελεῖν ᾠήθη ὡς βασιλεύειν μέλλοντα. λογισάμενος δέ, ὡς τὴν τοῦ Θεοῦ βουλὴν κωλῦσαι ἀδύνατον, σπονδὰς εἰρήνης μετ' αὐτοῦ ποιήσας ἐξαπέστειλε. **7** Φλαβιανοῦ τελευτήσαντος ἐπὶ Μαρκιανοῦ Ἀνατόλιος προχειρίζεται.

99 Λέων ὁ μέγας

Λέων ὁ μέγας, ὁ Μάκελ, ἐβασίλευσεν ἔτη ιη', διὰ τὴν ἀρετὴν αὐτοῦ καὶ διὰ τὸ εἶναι ὀρθόδοξον προβληθεὶς παρὰ Ἄσπαρος καὶ Ἀρδαβουρίου. τούτων γὰρ βουληθέντων τὴν βασιλείαν κρατῆσαι οὐκ εἴασεν ἡ

---

§ 5: cf. Theoph. 103.33–105.2 § 7: cf. Theoph. 101.25 **cap. 99.2** Λέων – ιη': cf. Theoph. 110.9–13; Georg. Mon. 616.5 **2–5** διὰ – ὄντων: cf. Theoph. 116.6–9

T [C][F_1]PH[K]

---

11 ἔτι (ἔτη F_1) ἐν F_1 P H K post ὢν add. καὶ P K (non add. F_1) **12** Σύδιμα : σήδημα H : fort. scrib. Σίδυμα (Σίδημα Theoph.) οἰκειώθη scripsi : οἰκειώθει T : ᾠκειώθη F_1 P (-ει H) H K : non adhib. C ἐμπόρεις H **13** θήρας F_1 H post ἐξιών add. ὡς F_1 P H K : non adhib. C ἀναπαυσάμενος ὕπνωσε : πάντες ἀναπαυσάμενοι (ἀναπαυσάνοι H) ὕπνωσαν F_1 P H K : non adhib. C **15** post λέγουσιν add. αὐτῷ P H K (non add. F_1) **16** ὑμῖν T **17** αὐτῷ om. H K ἀπέστειλαν (F_1 per comp.) : ἀπέστειλεν P K : ἐξαπέστειλαν H **18** post ἡμῶν add. ὁπόταν εὐτυχῇς P H K : non adhib. C F_1 **20** ἐσκέπασεν : ἐπέσκεπεν P : ἐπεσκέπασεν H K : non adhib. C F_1 **21** post παρὰ add. τοῦ H βασιλεύειν non vid. P : βασιλεύσειν Bekker Cramer **22** post μέλλοντα add. ῥωμαίων P H K (non add. F_1) τοῦ Θεοῦ non vid. P : τούτων Cramer **23** εἰρήνης μετ' αὐτοῦ : μετ' αὐτοῦ εἰρηνικὰς H : εἰρηνικὰς μετ' αὐτοῦ K **24** ἐπὶ Μαρκιανοῦ : vide introd. III.3.1.1 post προχειρίζεται add. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ἡρῴῳ P H K (non add. F_1) **cap. 99.1** Λέων ὁ μέγας : λέων ὁ μέγας ἔτη ιζ in mg. C : βασιλεία λέοντος τοῦ μεγάλου τοῦ μάκελ F_1 : λέων ὁ μέγας ὁ μακέλλης P H K **2** Μάκελ (sic F_1) : μακέλλης P H K **3** ὀρθόδοξον (sic F_1) : ὀρθόδοξος P H K **4** τούτων γὰρ βουληθέντων : τούτους γὰρ βουληθέντας P H K : non adhib. C F_1 τῆς βασιλείας P

σύγκλητος ὡς Ἀρειανῶν ὄντων· οὓς ὁ βασιλεὺς Λέων βλέπων μὴ ὀρθὴν πίστιν πρὸς αὐτὸν ἔχοντας, ἀλλὰ πάντα τὰ πράγματα ὑπὸ τὴν διοίκησιν αὐτῶν βουλομένων εἶναι, ἀνεῖλεν αὐτούς, γράψας καὶ πρὸς Ἀνθέμιον, βασιλέα Ῥώμης, ἐπιστολήν τινα περιέχουσαν ταῦτα, ὅτι ἐγὼ ἐφόνευσα Ἄσπαρα καὶ Ἀρδαβούριον, ἵνα μηδείς μοι ἐναντιοῦται κελεύοντι. μάκελ δὲ λέγεται ῥωμαϊστὶ σφαγεύς. **2** ἐπὶ τούτου ἠνέχθη ἡ ἐσθὴς τῆς ὑπεραγίας Θεοτόκου ἐξ Ἱεροσολύμων εὑρεθεῖσα παρά τινι εὐλαβεστάτῃ γυναικὶ Ἑβραΐδι καὶ παρθένῳ, καὶ τὰ λείψανα τῆς ἁγίας Ἀναστασίας, καὶ κατετέθη ἐν τῷ μαρτυρίῳ αὐτῆς. ἐπὶ αὐτοῦ δὲ γέγονε καὶ ὁ μέγας ἐμπρησμὸς εἰς τὸ Νεώριν μέχρι τοῦ ἁγίου Θωμᾶ κατελθών. ἐφ᾽ οὗ καὶ κόνις ἐξ οὐρανοῦ κατηνέχθη, ὥστε κεῖσθαι εἰς τοὺς κεράμους ἕως σπιθαμῆς. **3** ἐν δὲ ταῖς ἡμέραις αὐτοῦ ἦν καὶ ὁ ἅγιος Δανιὴλ ὁ Στυλίτης ἐν τῷ Ἀνάπλῳ, εἰς ὃν καὶ πολλὴν πίστιν εἶχεν ὁ αὐτὸς βασιλεύς. **4** νόσῳ δὲ τελευτᾷ. **5** ἐπὶ Λέοντος Ἀνατολίου τελευτήσαντος Γεννάδιος προχειρίζεται πατριάρχης. **6** προεβάλετο δὲ Μαρκιανὸν οἰκονόμον, τῆς τῶν Καθαρῶν ὄντα θρησκείας, εἰς δὲ τὴν ἐκκλησίαν μετελθόντα· ὃς ἐν

5–7 οὓς – αὐτούς: cf. Theoph. 117.11–13 **10–13** ἐπὶ – αὐτῆς: cf. Georg. Mon. 617.5–13 **12–13** καὶ alt. – αὐτῆς: cf. Theoph. 111.7 **14–16** ἐφ᾽ – σπιθαμῆς: cf. Theoph. 112.19–21; 119.29–33; Georg. Mon. 616.7–10 § 3: cf. Theoph. 114.11–12; Georg. Mon. 617.3–5 § 5: cf. Th. Lect. 106.8–11; Theoph. 111.12 § 6: cf. Theoph. 112.22–24

T [C][F_1]PH[K]

---

5 ὡς Ἀρειανῶν ὄντων : ἀρειανοὺς ὄντας P H K (διὰ τὸ εἶναι ἀριανούς F_1) : non adhib. C **7** βουλομένων : βουλομένους P H K : non adhib. C F_1 **8** Ἀνθέμιον : ἄμιον H : ἀντώνιον K ταῦτα : καὶ τοῦτο P H K : non adhib. C F_1 **9** Ἄσπαρα (sic C) : ἄσπαρον T : non adhib. F_1 **10** post ῥωμαϊστὶ add. ὁ P H K (sim. exhib. C) (non add. F_1) post σφαγεύς (φονεύς P) add. οὗτος δὲ ὁ λέων ἦν κάτισχνος μὲν τὸ σῶμα, ὑπόσπανος δὲ τὴν γενειάδα (γενειάδαν H) καὶ τὰς ὄψεις ἄγαν ἐκτετηκώς, φρονήσει δὲ κεκοσμημένος, εἰ καὶ παιδείας καὶ μαθημάτων ἐκτός (hinc cf. Cedr. I.607.12). ἄσπαρ δὲ ᾐτήσατο (ἐζήτησε H) τὸν βασιλέα λέοντα ἐγκαταστῆσαι τῇ πόλει ἔπαρχον τῆς ἑαυτοῦ γνώμης ὁμόφρονά τε καὶ ὁμόδοξον· ὃ (post ὃ add. καὶ H) κατένευσε μὲν ὁ βασιλεὺς ποιῆσαι, μὴ βουλόμενος δὲ ἐννύχιον δεδήλωκεν ἑνὶ τῶν συγκλητικῶν τοῦ παραγενέσθαι ἕωθεν ἐν τῇ προελεύσει. τοῦ δὲ παραγενομένου (post παραγενομένου add. καὶ H) προσκαλεσάμενος αὐτὸν ὁ βασιλεὺς τῆς πόλεως ἔπαρχον προεβάλετο (προεβάλλετο H K). ἄσπαρ δὲ τὸ (τὸ om. H K) παρ᾽ ἐλπίδα (ἐλπίδας P) ἰδὼν καὶ ἐκπλαγεὶς ἐπὶ τούτῳ (τοῦτο P), εἰσελθὼν ἐκράτησε τοῦ ἱματίου τοῦ βασιλέως καί φησι πρὸς αὐτόν· βασιλεῦ, τὸν ταύτην τὴν ἁλουργίδα περιβεβλημένον οὐ χρὴ διαψεύδεσθαι. ἀλλὰ μὴν καὶ τοῦτο (τούτω H), φησὶν ὁ βασιλεύς, προσήκει τῷ βασιλεῖ, τὸ μὴ ὑπείκειν τινὶ καὶ ὑποκεῖσθαι, μάλιστα (μάλιστ᾽ P), ὅταν τοῦ κοινοῦ ἀσύμφορον ᾖ P H K (non add. F_1) post τούτου add. δὲ P H K (non add. F_1) ἡ om. P **11–12** εὐλαβεστάτῃ γυναικὶ (γυνῆ H) : γυναικὶ εὐλαβεστάτη P **14** εἰς τὸ Νεώριν : εἰς τὸ *νεώριον* F_1 : ἀπὸ τοῦ *νεωρίου* ἀρξάμενος καὶ P H K (ἀρξάμενος ἀπὸ τοῦ *νεωρίου* C) ἐφ᾽ : ὑφ᾽ T : ἐξ F_1 : ἀφ᾽ P : non adhib. C **17** αὐτὸς om. H K **18** γεννάδης P **19** προεβάλετο Bekker Tafel : προεβάλλετο T F_1 P H K : non adhib. C

τῷ ἐμπρησμῷ εἰς τοὺς κεράμους ἀνελθὼν τῆς ἁγίας Ἀναστασίας κατέχων τὸ εὐαγγέλιον ἀβλαβῆ τὸν οἶκον διέσωσε. **7** ἐπὶ Γενναδίου ἡ χεὶρ τοῦ ζωγράφου ἐξηράνθη τοῦ ἐν σχήματι Διὸς τὸν Σωτῆρα γράψαντος· ὃν δι᾽ εὐχῆς ἰάσατο ὁ Γεννάδιος. φασὶ δέ, ὅτι τὸ ἄλλο σχῆμα τοῦ Σωτῆρος, τὸ οὖλον καὶ ὀλιγότριχον, ὑπάρχει τὸ ἀληθέστερον. **8** ἐπὶ Λέοντος Στούδιος ἔκτισε τὸν ναὸν τοῦ ἁγίου Ἰωάννου καὶ μοναχοὺς ἐκ τῶν Ἀκοιμήτων ἐνεκατέστησε. **9** ἐπὶ Λέοντος τὸ τοῦ προφήτου Ἐλισσαίου σῶμα μετετέθη ἐν Ἀλεξανδρείᾳ ἐν τῇ μονῇ Παύλου τοῦ Λεπροῦ· λεπρὸν γὰρ ἰάσατο καὶ λεπρὸν ἐποίησε καὶ εἰς τὰ τοῦ Λεπροῦ ἐτέθη. **10** ἐπὶ αὐτοῦ Ἰσοκάσιος κοιαίστωρ ὡς Ἕλλην διαβληθεὶς εἰσήχθη πρὸς τὸν ἔπαρχον τῆς πόλεως δεδεμένος ὀπισθάγκωνα. ἔφη οὖν αὐτῷ Πωσέως ἔπαρχος· ὁρᾷς ἑαυτόν, Ἰσοκάσιε, ἐν ποίῳ σχήματι καθέστηκας; ὁ δὲ εἶπεν· ὁρῶ καὶ οὐ ξενίζομαι· ἄνθρωπος ὢν ἀνθρωπίναις περιέπεσα συμφοραῖς· ἀλλὰ δίκασον ἐπ᾽ ἐμοί, ὡς ἐδίκαζες σὺν ἐμοί. ταῦτα μαθὼν ὁ βασιλεὺς καὶ σπλαγχνισθεὶς ἐπὶ τούτοις ἐλεύθερον εἴασεν. **11** ἐπὶ Λέοντος, μετὰ ατʹ ἔτη τῆς τοῦ Ῥωμύλου βασιλείας, τοῦ τὴν Ῥώμην κτίσαντος, βασιλεύει Ῥωμύλος, καὶ κατέπαυσεν ἡ βασιλεία ἐπὶ Ῥωμύλου, ἀρξαμένη ἐπὶ Ῥωμύλου, Ὀδοάκρου Γότθου ῥηγὸς τὴν ἀρχὴν χειρωσαμένου.

---

§ 7: cf. Th. Lect. 107.21–24; Theoph. 112.29–32; Georg. Mon. 616.10–15 § 8: cf. Th. Lect. 108.29–30; Theoph. 113.3–4 § 9: cf. Theoph. 114.5–7 § 10: cf. Theoph. 115.9–18; Malal. 292.81–293.12

T [C][F_1]PH[K]

---

21 ἀνελθὼν om. H K **22** κατέχων τὸ (κατέχον τὸ T) : κατέχοντα H post διέσωσε add. τοῦ πυρὸς καμαροειδῶς ὑπερβάντος ἄνωθεν αὐτῆς P H K (non add. F_1) **23** τοῦ alt. om. H σχήματος T^{ac} **24** γράψαντος : ζωγραφήσαντος F_1 P H K : non adhib. C ὅτι om. P τὸ om. P H K (τὸ ἄλλο om. F_1) : non adhib. C ἄλλον T H : non adhib. C F_1 **25** τὸ pr. : τοῦ P post καὶ add. τὸ T post ὑπάρχει add. δὲ P **26** post Στούδιος add. δυνάστης P H K (non add. F_1) **27** ἐνεκατέστησε : ἐν αὐτῶ κατέστησεν C : ἐκατέστησε F_1 : αὐτῷ ἐγκατέστησεν P H K **29** τοῦ om. H **30** κοιαίστωρ : κυέστωρ T : κιἔστωρ F_1 **31** ἔπαρχον (sic F_1) : ὕπαρχον T : non adhib. C ὀπιθάγκονα P **32** Πωσέως : ποσέως H : non adhib. C F_1 : fort. scrib. Ποσαῖος sec. Malal. et Theoph. ὕπαρχος T : non adhib. C F_1 **33** post ἄνθρωπος add. γὰρ P H K (sic et Theoph.) (non add. F_1) **35** τούτοις (ἐπὶ τούτοις om. F_1) : τούτω P H K : non adhib. C post ἐλεύθερον add. αὐτὸν H K **37–38** καὶ – Ῥωμύλου : κατὰ πάσης τῆς γισον (ut vid.) καὶ λείας ἐπὶ αὐτοῦ T : non adhib. C F_1 **38** ἐπὶ : ἀπὸ H K Ὀδοάκρου : ὁδοάκρου T : ὀδοάγγρου H : non adhib. C F_1 **38–39** post χειρωσαμένου (χειρωσάμενος P) add. οὗτος δὲ ὁ λέων ζήνωνα στρατηλάτην προχειρισάμενος εἰσεποιήσατο γαμβρὸν εἰς ἀρεάδνην, τὴν ἰδίαν θυγατέρα (θυγατέραν H), τὴν ἐκ (post ἐκ add. τῆς H) βερνίκης (βερίνης K recte, cf. **cap. 101.3** et Βερίνα Georg. Mon.). *νόσῳ δὲ ληφθεὶς ὁ αὐτὸς λέων ἐτελεύτησεν, προχειρισάμενος* (χειροσάμενος H) εἰς βασιλέα λέοντα, τὸν αὐτοῦ ἔγγονον (ἔγγονα H). ἐτέθη δὲ (δὲ om. H K) τὸ σῶμα αὐτοῦ ἐν λάρνακι πρασίνῳ ἐν τῷ τοῦ ἁγίου κωνσταντίνου ἡρῴῳ. γυνὴ (ἡ γυνὴ P) δὲ τούτου βερνίκη, ἀδελφὴ βασιλίσκου P H K (non exhib. F_1, sed plura om.) : non adhib. C

100 Λέων ὁ μικρός

Λέων ὁ μικρός, ὁ ἔκγονος αὐτοῦ, ὁ ἀπὸ Ζήνωνος καὶ Ἀρεάδνης, ἐβασίλευσεν ἔτος ἕν.

101 Ζήνων

Ζήνων ἐβασίλευσεν ἔτη ζ', διωχθεὶς μὲν τῆς βασιλείας ὑπὸ Βασιλίσκου (τοῦ γὰρ Ζήνωνος ἐν τῇ Θρᾴκῃ διατρίβοντος, συνεργούσης Βερίνης τῷ αὐτῷ Βασιλίσκῳ ἀδελφῷ καὶ Ἁρμάτῳ ἀνεψιῷ, ἐστασίασαν κατὰ Ζήνωνος· οὓς φοβηθεὶς ὁ Ζήνων ἐλθὼν ἐκ τῆς Θρᾴκης σὺν Ἀριάδνῃ καὶ χρημάτων ἱκανῶν φεύγει ἐν Ἰσαυρίᾳ εἴς τι φρούριον ὀχυρόν), μετὰ δέ τινας χρόνους Ζήνων πάλιν σὺν τῇ Ἀρεάδνῃ τὴν βασιλεύουσαν καταλαβὼν ἐδέχθη ὑπὸ τῆς συγκλήτου, ἀνελὼν Βασιλίσκον καὶ Ἁρμάτιον. **2** ἐπὶ αὐτοῦ δὲ γέγονε σεισμὸς φοβερὸς ἐν Κωνσταντινουπόλει, καὶ ἔπεσον ἐκκλησίαι πολλαὶ οἰκίαι τε καὶ ἔμβολοι ἕως ἐδάφους. ἔπαθε δὲ καὶ Νικομήδεια μητρόπολις. **3** Μαριανὸς δέ τις προεῖπεν αὐτῷ, ὅτι καὶ τὴν

---

cap. 100: cf. Theoph. 120.1–7; 24–25; Georg. Mon. 617.15 **cap. 101.2** Ζήνων – ζ': cf. Theoph. 120.13–17; Georg. Mon. 617.17–18 **2–8** διωχθεὶς – Ἁρμάτιον: cf. Theoph. 120.26–31 (**2–6** διωχθεὶς – ὀχυρόν); Georg. Mon. 617.18–618.9 **6–8** μετὰ – Ἁρμάτιον: cf. Theoph. 124.24–125.10 **9–10** ἐπὶ – ἐδάφους: cf. Theoph. 125.29–126.1 § 3: cf. Theoph. 134.25–135.2

T [C][F_1]PH[K]

---

2 ante Λέων exhib. ἐβασίλευσεν T (cf. infra) : non adhib. F_1 (non add. C) ἔγγονος C P H K : non adhib. F_1 **2–3** ἐβασίλευσεν om. (vel potius transp.) T (vide supra) **3** post ἕν add. καὶ στέψας τὸν ἴδιον πατέρα ζήνωνα ἐτελεύτησεν P H K (non add. F_1) : C sim. P H K, ut vid. e Theoph. 120.4 **cap. 101.2** post ζ' (ιζ H K) add. ἰνδικτιῶνος β· ἐπὶ αὐτοῦ ἐκτίσθη τὸ ἀμώριον· ἐστέφθη δὲ ὑπὸ ἀκακίου πατριάρχου· ἐν τῶ καθίσματι τοῦ ἱπποδρομίου· τὴν δὲ τῆς ἀρχιερωσύνης τιμήν, κατεῖχε φραβίτας πρεσβύτερος τῆς ἁγίας θέκλας· καὶ μετ᾽ ἐκεῖνον ἀκάκιος· τελευτήσαντος δὲ αὐτοῦ ἐν τῶ ναῶ τῶν ἁγίων ἀποστόλων ἐν τῶ ἡρώω ἐν λάρνακι τεθέντος πρασίνη· ὁ δὲ ζήνων P **3** γὰρ : παρὰ fort. H post συνεργούσης add. δὲ H Βερίνης : βερνίκης H **4** αὐτῷ : αὐτῆς P H (sim. exhib. C) : non adhib. F_1 ἀδελφῷ βασιλίσκῳ P ἁρμάτω H (cf. infra) **5** οὓς – Ζήνων om. H Ἀριάδνῃ ((sic C) vide autem supra et infra) : ἀρεάδνη H K : non adhib. F_1 **6** φρουρίον T **7** post χρόνους add. τοῦ βασιλίσκου κακῶς διοικοῦντος καὶ διὰ τοῦτο (τοῦτο (sic C) : τὸ H K) ἄχθος τῆς συγκλήτου πρὸς αὐτὸν ἐχούσης P H K (sim. exhib. C) : non adhib. F_1 ἀριάδνῃ P (cf. supra) **8** ἀνελὼν : προσβαλλὼν H : προσβαλὼν K ἁρμάτιον H **9** σεισμὸς φοβερὸς : μέγας σεισμὸς H **10** οἰκίαι τε καὶ ἔμβολοι : καὶ οἰκεῖαι H : οἰκίαι τε καὶ K δὲ : τε P **11** post μητρόπολις add. οὗτος δὲ ὁ ζήνων ἦν τῆς κακίστης καὶ εἰδεχθοῦς (καὶ εἰδεχθοῦς om. H K (C ut P)) γενεᾶς τῶν ἰσαύρων. ἀπόγονοι γὰρ τοῦ προπάτορος αὐτῶν ἠσαῦ ἐτύγχανον (ἐτύχανον ut vid. H)· δασὺς (δασὺς – ἀκόρεστος om. P (C ut H K)) γὰρ ἐκεῖνος καὶ πρὸς συνουσίαν ἀκόρεστος· δασὺς καὶ

βασιλείαν καὶ τὴν γυναῖκα σου διαδέχεταί τις ἀπὸ σελεντιαρίων. Πελάγιον δέ τινα ἀπὸ σελεντιαρίων ὄντα πατρίκιον, ἄνδρα σοφώτατον, ἐκέλευσε φυλάττεσθαι ἐν εἱρκτῇ· ὃν οἱ φυλάσσοντες ἐν νυκτὶ ἀπέπνιξαν κατὰ κέλευσιν Ζήνωνος. **4** μετὰ δὲ χρόνον ὀλίγον δυσεντερίᾳ ληφθεὶς ὁ Ζήνων ἐτελεύτησε, τῶν Ἀκεφάλων ὤν. **5** Ζήνων ἡδοναῖς ἀτόποις καὶ πράξεσιν ἀδίκοις ἐσχόλαζεν. **6** ἐφ᾿ οὗ τὸ τοῦ ἀποστόλου Βαρνάβα λείψανον εὑρέθη ἐν Κύπρῳ ὑπὸ δένδρον κερατέαν, ἔχον ἐπὶ στήθους τὸ κατὰ Ματθαῖον εὐαγγέλιον ἰδιόγραφον τοῦ Βαρνάβα· ἐξ ἧς προφάσεως γέγονε μητρόπολις καὶ μὴ τελεῖν ὑπὸ Ἀντιόχειαν. τὸ δὲ τοιοῦτον εὐαγγέλιον Ζήνων ἀπέθετο εἰς τὸ παλάτιον ἐν τῷ ἁγίῳ Στεφάνῳ. **7** ἐπὶ αὐτοῦ Περόζης ὁ Πέρσης ἡττηθεὶς ἐν πολέμῳ ὑπὸ Οὔννων τὸν μάργαρον ὃν ἐφόρει λευκότατον καὶ μέγαν εἰς ὑπερβολὴν ἐξ ὠτὸς τοῦ δεξιοῦ ἀφελόμενος ἔρριψεν, ὅπως μή τις αὐτὸν ὀπίσω αὐτοῦ λαβὼν φορέσῃ. **8** ἐπὶ δὲ τοῦ γεγονότος σεισμοῦ ἔπεσε καὶ ἡ σφαῖρα τοῦ ἀνδριάντος τοῦ φόρου καὶ ἡ στήλη τοῦ μεγάλου Θεοδοσίου εἰς τὸν κίονα τοῦ Ταύρου. **9** ὁ αὐτὸς Βερίναν ἐξώρισε βουλῇ Ἴλλου μαγίστρου. ἡ δὲ Ἀρεάδνη παρεγγύησε Οὐρβικίῳ τοῦ ἀνελεῖν τὸν Ἴλλον, καὶ ἀνερχομένου ἐν τῷ ἱππικῷ μετὰ τοῦ ξίφους λαβὼν ἀπετμήθη τὸ δεξιὸν οὖς. ἐκ τούτου ἀνταρσίαν κατὰ Ζήνωνος ἐμελέτησεν.

15–16 μετὰ – ἐτελεύτησε: cf. Theoph. 135.31–32; Georg. Mon. 617.18 § 6: cf. Th. Lect. 121.19–23 § 7: cf. Theoph. 122.31–123.10 § 8 (cf. § 2): cf. Theoph. 126.2–3 § 9 (cf. § 1): cf. Theoph. 127.13–128.12

T [C][F_1]PH[K]

αὐτὸς ὁ ζήνων καὶ εἰδεχθέστατος, ὥσπερ ἕλληνες ζωγραφοῦσι τὸν πᾶνα, τραγοσκελῆ (post τραγοσκελῆ (-έλην ut vid. P : -έλη H) add. τε P (C ut H K)) καὶ δασύκνημον, τὴν χροιὰν μέλας, τὴν ἡλικίαν ἀσύμβλητος, ὀργίλος, μνησίκακος καὶ φθόνου μεστός P H K (sim. exhib. C : non add. F_1) Μαριανὸς : μαρῖνος H K : fort. scrib. Μαυριανὸς quod coni. de Boor ad Theoph. 134.25 **13** ἀπὸ σελεντιαρίων om. H K : ἀπὸ ἀπὸ σελεντιαρίων P **14** φυλάττοντες P **17** ἀδίκοις : ἀτόποις P οὗ : ᾧ P **18** Κύπρῳ (sic F_1) : κρύπτω T ἔχον (sic C) : ἔχων F_1 H K **20** post Ἀντιόχειαν add. ἀλλ᾿ ὑπὸ κωνσταντινούπολιν C P H K (non add. F_1) **22** Περόζης : περόξης T : περίζης P : non adhib. C F_1 Οὔννων (οὔνων T : οὔ(ν)νων P K) : ἰούνων H **23** μαργαρίτην H K post ὑπερβολὴν add. ὡς προκόπιος ὁ καισαρεὺς γράφει P H K : non adhib. C F_1 **24** post αὐτὸν (αὐτῶ T : non adhib. C F_1) add. τῶν περσῶν βασιλεὺς (βασιλέων H K (sic ut vid. K)) P H K : non adhib. C F_1 ὄπισθεν H λαβὼν om. P H K : non adhib. C F_1 **25** φορέσει H **26** ἀδριάντος P **27** post αὐτὸς add. τὴν ἰδίαν πενθερὰν P H K : non adhib. C F_1 post ἐξώρισε add. εἰς τὸ παπυρίου (fort. pro Παπιρίου) καστέλλιον (κάστελλον P) P H K : non adhib. C F_1 Ἴλλου : ἤλου T : ἴλου K **28** post Ἀρεάδνη (ἀριάδνη P (cf. supra)) add. μηνιῶσα διὰ τὴν μητέρα P H K : non adhib. C F_1 Ἴλλον : ἤλον T **28–29** ἀνερχομένου : ἀνερχόμενος ὁ ἴλλος (ἶλος K) P H K : non adhib. C F_1 **29** post ἱππικῷ add. εἰς τὸν μέγαν κοχλίαν P H K : non adhib. C F_1 τοῦ om. P H K : non adhib. C F_1 οὖς : ὦς P **30** post ἐμελέτησεν add. προβληθεὶς καὶ δομέστικος τῆς ἀνατολῆς P H K : non adhib. C F_1

102 Ἀναστάσιος ὁ Δίκορος

Ἀναστάσιος ὁ Δίκορος, ὁ ἀπὸ σελεντιαρίων, ὁμοίως Ἀκέφαλος ὤν, ἐβασίλευσεν ἔτη κζʹ. **2** ἐφ᾽ οὗ Βιταλιανὸς ὁ Θρᾷξ ἀντάρας καὶ παραλαβὼν Θρᾷκας καὶ Σκύθας ἦλθεν ἕως τοῦ Ἀνάπλου πραιδεύων. ἀλλὰ ναυμαχήσαντος αὐτῷ Μαρίνου τοῦ ὑπάρχου μετὰ τοῦ μηδικοῦ πυρὸς καὶ θείου ἀπύρου, οὗ κατεσκεύασε Πρόκλος ὁ φιλόσοφος, κατέφλεξε τὰς ναῦς τῶν βαρβάρων. ὁ δὲ Βιταλιανὸς ἔφυγε μετ᾽ ὀλίγων διασωθείς. **3** τοῦ δὲ βασιλέως βουληθέντος προσθεῖναι εἰς τὸ τρισάγιον τὸ »ἅγιος ὁ σταυρωθεὶς δι᾽ ἡμᾶς, ἐλέησον ἡμᾶς« πειθομένου Σευήρῳ τῷ Ἀκεφάλῳ, τοῦ λογοθέτου δὲ καὶ τοῦ ὑπάρχου ἀνελθόντων ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας τοῦτο ἐκφωνῆσαι γέγονε δημοτικὴ στάσις ἐπιβοωμένων· ἄλλον βασιλέα τῇ πόλει. ἐμπρήσαντές τε πολλοὺς οἴκους καὶ ταραχὰς ποιήσαντες καὶ τὸν βασιλέα ὑβρίσαντες ἦλθον ἕως τῆς κινστέρνης τῆς οὔσης πλησίον τοῦ ἁγίου Μωκίου, ἣν ὁ αὐτὸς βασιλεὺς ἔκτισε, καὶ τὸν ἡγούμενον τῆς μονῆς τοῦ ἁγίου Φιλίππου, ὃς ὑπὸ τοῦ βασιλέως ἠγαπᾶτο, φονεύσαντες καὶ τὴν κεφαλὴν αὐτοῦ ἐπὶ δόρατος ἀναρτήσαντες ἔκραζον· οὗτός ἐστιν ὁ φίλος τοῦ ἐχθροῦ τῆς ἁγίας Τριάδος. ἀλλὰ καὶ γυναῖκα ἐγκλειστήν, εἰς ἣν ὁ βασιλεὺς εἶχε πίστιν, ἀνεῖλον καὶ σύραντες ἀμφοτέρους ἔκαυσαν ἐν τῇ μονῇ τοῦ Στουδίου. ὁ δὲ βασιλεὺς φοβηθεὶς πρὸς μικρὸν ἐπαύσατο τῆς αἱρέσεως. **4** ἐπὶ τούτου Μούνδαρος, ὁ τῶν Σαρακηνῶν φύλαρχος, ἐβαπτίσθη ὑπὸ ὀρθοδόξων. Σευῆρος δὲ ἐπισκό-

§ 1: cf. Theoph. 136.23–28; Georg. Mon. 619.10–11 **2** Ἀκέφαλος ὤν: cf. Theoph. 134.19–24; Georg. Mon. 623.22sqq. § 2: cf. Theoph. 160.13–28; Georg. Mon. 619.16–620.2 § 3: cf. Theoph. 159.1sqq.; Georg. Mon. 620.3–621.8 § 4: cf. Theoph. 159.19–160.1; Georg. Mon. 621.9–19

T [C][F_1]PH[K]

2 ὁ pr. : ὃς ἦν H ὁ alt. (sic F_1) : om. P H K **3** post κζʹ (ιγʹ T: vide introd. III.3.1.1) add. οὗτος καὶ τὸ σῶμα μήκιστος (εὐμήκης τε P), τοῖν δὲ ὀφθαλμοῖν (τὸν δὲ ὀφθαλμὸν P) χαροπός (χαροπὰς H K) τε (τε om. H) καὶ γλαυκὰς μετρίως, φαλακρὸς (φαρακλὸς P) ἠρέμα καὶ πολιός. ἄγει δὲ αὐτὸν ἐπὶ μοναρχίαν οὐρβίκιος, ὁ τότε μεγίστην περὶ τὰ βασίλεια ἐν (ἐν : καὶ P) τοῖς εὐνούχοις ἔχων δύναμιν (ἐν – δύναμιν : δύναμιν ἐν τοῖς εὐνούχοις ἔχων H : ἐν τοῖς εὐνούχοις δύναμιν ἔχων K) P H K (non add. F_1) post οὗ add. ἀναστασίου P H K (non add. F_1) **4** ἕως τοῦ Ἀνάπλου om. H **5** αὐτῷ : αὐτοῦ H μαριανοῦ P post ὑπάρχου (ἐπάρχου F_1 P H K : non adhib. C) add. σοφωτάτου P H K (non add. F_1) **6** ἀπύρου : ἀπείρου F_1 H (υ supra ει ut vid. P) **7** Βιταλιανὸς : βεταλιανὸς P : βιταλλιανὸς H **9** post ἡμᾶς alt. add. οἷα P H K : non adhib. C F_1 τῷ : τὸ T : non adhib. C F_1 **10** ἐπάρχου F_1 P H K : non adhib. C τῆς ἐκκλησίας om. H K **12** τε : οὖν F_1 : om. P H K : non adhib. C καὶ – ποιήσαντες post ὑβρίσαντες (**l. 13**) transp. H καὶ ταραχὰς (καταρχὰς T) bis exhib. P **15** τῆς om. T : non adhib. C F_1 **17** ἐστιν om. H K **18** ἔγκλειστον H **19** τοῦ Στουδίου : τῶν στουδίου F_1 H : τῶν στουδίων P : non adhib. C **21** σεύηρος T

πους ἔπεμψε πρὸς αὐτὸν δύο θέλων αὐτῷ μεταδοῦναι τῆς οἰκείας αἱρέσεως· ὧν τοῦ δόγματος τὸ ἄτοπον αἰσθόμενος ἔφη μεθ' ὑποκρίσεως πρὸς τοὺς ἐπισκόπους· ἐδεξάμην γράμματα σήμερον, ὅτι Μιχαὴλ ὁ ἀρχάγγελος ἀπέθανεν. τῶν δὲ εἰπόντων ἀδύνατον εἶναι τοῦτο, καὶ πῶς, φησί, Θεὸς γυμνὸς ἐσταυρώθη καθ' ὑμᾶς, εἰ μὴ ἐκ δύο φύσεων ἦν ὁ Χριστός, εἴ γε μηδὲ ἄγγελος ἀποθνῄσκει, ὥς φατε; ὅπερ ἀκούσαντες καὶ σφόδρα καταπλαγέντες εἰς τὸ φυσικὸν φρόνημα τῆς προτάσεως αὐτοῦ ἀνεχώρησαν μετ' αἰσχύνης. **5** Ἀναστάσιος δὲ εἶδεν καθ' ὕπνους φοβερόν τινα τῇ χειρὶ κατέχοντα κώδικα γεγραμμένον καὶ λέγοντα αὐτῷ· ἰδού, διὰ τὴν ἀπιστίαν σου ἀπαλείφω τῆς σῆς ζωῆς ἔτη ιδ'. καὶ βροντῶν καὶ ἀστραπῶν περὶ τὸ παλάτιον εἱλουμένων καὶ τοῦ βασιλέως μονωτάτου καταλειφθέντος καὶ φεύγοντος ἀπὸ τόπου εἰς τόπους ἐν ἑνὶ τῶν κοιτωνίσκων τῷ λεγομένῳ Ὠάτῳ κατέλαβεν αὐτὸν ἡ ὀργή, ὥστε αἰφνίδιον εὑρεθῆναι νεκρόν. **6** φασὶ δὲ αὐτὸν μετὰ τὸ ταφῆναι μεθ' ἡμέρας τινὰς βοᾶν· ἐλεήσατε καὶ ἀνοίξατε. τῶν μνημοραλίων δὲ εἰπόντων, ὅτι ἄλλος βασιλεύει, ἔφη· οὐδέν μοι μέλει· εἰς μοναστήριον ἀπαγάγετέ με. οἱ δὲ εἴασαν αὐτόν. λέγεται δὲ μετ' οὐ πολὺ τὸ μνῆμα ἀνοιγῆναι καὶ εὑρεθῆναι αὐτὸν φαγόντα τοὺς βραχίονας αὐτοῦ καὶ τὰ καλίγια, ἃ ἐφόρει. **7** διὰ τὸ εἶναι αἱρετικὸν Ἀναστάσιον Εὐφήμιος πατριάρχης προσέκειτο τοῖς ἀντάρασιν· ὅπερ γνοὺς Ἀναστάσιος ὁ βασιλεὺς μετὰ τὸ χειρώσασθαι αὐτοὺς ἐδήλωσεν Εὐφημίῳ ἁγίῳ· αἱ εὐχαί

29–31 Ἀναστάσιος – ιδ': cf. Theoph. 163.31–164.2 (de fontibus vide etiam G. Fatouros, »Ἀπαλείφω δεκατέσσαρα: zu Johannes Malalas' Chronographie (p. 408 Dindorf, p. 334 f. Thurn)«, in *Lesarten: Festschrift Kambylis*, Berlin-New York 1998, p. 61–66) **31–35** καὶ – νεκρόν: cf. Georg. Mon. 619.11–15 **40–44** διὰ – Μακεδόνιον: cf. Georg. Mon. 625.3–12; Theoph. 140.7–13

T [C][F_1]PH[K]

---

22 αὐτῷ (F_1 per comp.) : αὐτὸν T : non adhib. C **24** γραμματεῖον H **26** Θεὸς om. T : non adhib. C F_1 **27** εἴ γε μηδὲ : εἰ δὲ μήγε P **28** καταπλαγέντες : ἐκπλαγέντες P H K : non adhib. C F_1 **29** δὲ om. P H K (quod exhib. F_1) **30** τῇ χειρὶ om. H K κόνδικα H γεγραμμένην H αὐτῷ : αὐτόν H **31** ἀπαλείφω τῆς σῆς : ἀπείληφά σου τῆς H **33** τόπου : τόπων H τόπους (F_1 per comp.) : τόπον C P K **34** τῷ λεγομένῳ Ὠάτῳ (sic P K) : τῶν λεγομένων ὠάτων (ὡάτων T) T H (vide introd. III.3.1.1) : non adhib. C F_1 **35** post νεκρόν add. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ (τὸ δὲ σῶμα αὐτοῦ ἐτέθη H) ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν λάρνακι λιθίνῃ, ἀκυντάνῃ (ἀκιντάνη H), μετὰ ἀρεάδνης (ἀριάδνης P) τῆς αὐτοῦ γυναικὸς προτελευτησάσης. οὗτος λέγεται καῦσαι (post καῦσαι add. καὶ P) τὰ βιβλία τοῦ χρυσοῦ καὶ τοῦ (τοῦ om. P) ἀργύρου. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχέ τις (τις om. H) τιμόθεος P H K (non add. F_1) **36** post ἐλεήσατε add. με C P H K (non add. F_1) μνημοραδίων H δὲ om. P **37** ὅτι om. F_1 P : non adhib. C μέλει : μέλλη T : μέλλει H K et fort. P^{ac} **38** με : μοι H K (F_1 per comp.) μετ' οὐ πολὺ : μετὰ πολὺ T : μετὰ δέ τινα χρόνον C : μετ' ὀλίγας ἡμέρας F_1 **39** ἀνοιγῆναι : ἀνοίξαντες H post αὐτὸν add. ὑπὸ πείνης C P H K (non add. F_1) **40** Εὐφήμιος : εὐθύμιος F_1 P H K : non adhib. C **42** Εὐφημίῳ : εὐθυμίω F_1 P H K : non adhib. C an scrib. ⟨τῷ⟩ ἁγίῳ?

σου, ὁ μέγας, τοὺς φίλους σου ἠσβόλωσαν. προεχειρίσατο δὲ ἀντ᾽ αὐτοῦ Μακεδόνιον, ὃν διὰ τὸ μὴ ὑπείκειν τῇ αἱρέσει αὐτοῦ πολλὰ δεινὰ ἐνεδείξατο. φασὶ γὰρ τελευτήσαντος Μακεδονίου ἐν ἐξορίᾳ φοβερόν τι συμβῆναι· νεκρὸν γὰρ ὄντα σφραγίσασθαι τῷ σταυρῷ. **8** μέλλοντος δὲ ἐν Νεοκαισαρείᾳ γίνεσθαι σεισμοῦ στρατιώτης ὁδεύων δύο τινας εἶδεν ἐπὶ τὴν πόλιν βαδίζοντας καὶ ὄπιθεν ἄλλον βοῶντα· φυλάξατε τὸν οἶκον, ἐν ᾧ ἡ θήκη Γρηγορίου ἐστίν. γενομένου δὲ τοῦ σεισμοῦ τὸ πλεῖστον μέρος τῆς πόλεως ἐπτώθη πλὴν τοῦ ἁγίου Γρηγορίου. **9** Ἀναστάσιος πολλὰ τῶν χαλκουργημάτων ζῷδα χωνεύσας ἐξ αὐτῶν στήλην ἰδίαν ἔστησεν εἰς τὸν κίονα τοῦ Ταύρου. ἡ γὰρ πρώην ἑστῶσα Θεοδοσίου ἦν τοῦ μεγάλου, ἥτις ἀπὸ σεισμοῦ πεσοῦσα συνετρίβη. **10** ἐφ᾽ οὗ ἀνήρ τις ἐκ τῶν τῆς χύμης τεχνῶν εὐφυὴς ὢν ὑπεδείκνυε ἀργυροπράταις τε καὶ ἑτέροις χεῖρας καὶ πόδας ἀνδριάντων καὶ ἕτερα εἴδη χρυσᾶ, λέγων ὡς θησαυρὸν εὑρηκέναι· καὶ διὰ τοῦτο πολλοὺς ἀπατῶν εἰς πενίαν ἤνεγκε. φήμης οὖν περὶ αὐτοῦ διαθεούσης κρατηθεὶς ἤχθη Ἀναστασίῳ. προσήνεγκε δὲ τῷ βασιλεῖ χαλινὸν ἵππου ὁλόχρυσον διὰ μαργαριτῶν, ὃν λαβὼν ὁ βασιλεὺς ἔφη αὐτῷ· ὄντως σὺ ἐμὲ οὐ κομβώνεις. ἐξώρισε δὲ αὐτὸν εἴς τι φρούριον, ἔνθα καὶ τελευτᾷ. **11** ἐπὶ αὐτοῦ Δευτέριος, ἐπίσκοπος Βυζαντίου, Ἀρειανός, βάρβαρόν τινα βαπτίζων ἐτόλμησεν εἰπεῖν· βαπτίζεται ὁ δεῖνα εἰς ὄνομα Πατρός, δι᾽ Υἱοῦ, ἐν ἁγίῳ Πνεύματι· καὶ εὐθέως ἐξηράνθη ἡ κολυμβήθρα. ὁ δὲ βάρβαρος ἔμφοβος γενόμενος γυμνὸς ἔφυγεν, ὡς ἐξ αὐτοῦ πᾶσι γνωσθῆναι τὸ θαῦμα. **12** δύο ἐπισκόπων ἀμφισβητούντων ἐπὶ Ἀναστασίου, ὀρθοδόξου καὶ Ἀρειανοῦ, καὶ τοῦ μὲν Ἀρειανοῦ διαλεκτικοῦ ὄντος, τοῦ δὲ ὀρθοδόξου θεοσεβοῦς καὶ πιστοῦ, ὁ ὀρθόδοξος προὔτεινεν, ὥστε ἀφεμένους τῶν λόγων εἰς πυρὰν

45–46 φασὶ – σταυρῷ: cf. Th. Lect. 148.22–23; Theoph. 162.2–3 § 8: cf. Theoph. 144.6–10 § 9: cf. Theoph. 149.10–14 § 10: cf. Theoph. 150.12–22; Georg. Mon. 622.9–22 § 11: cf. Theoph. 152.16–21 § 12: cf. Th. Lect. 154.10–14

T [C][F_1]PH[K]

---

43 ἠσβόλωσε P **44** post Μακεδόνιον add. εἰς P H K : non adhib. C F_1 δεινὰ : κακὰ H K **45** ἐν om. H **46** post ὄντα (ὄντον H) add. καὶ ἐν κραββάτῳ τεθειμένον, βλεπόντων πάντων P H K (non add. F_1) post σφραγίσασθαι (σφαγίσεσθαι T : non adhib. C F_1) add. ἑαυτὸν P H K (non add. F_1) μέλλοντες H **48** ὄπισθεν H K φυλάξε H **49** γενουμένου T **50** ἐπτοήθη P **53** οὗ : ᾧ P **54** τῶν om. P H K : non adhib. C F_1 ὑπεδείκνυε : ἐπεδείκνυεν P H K : non adhib. C F_1 ἀργυροπράταις : ἀργυροπράτοις P : ἀργυροπρά(τ)τας H K : non adhib. C F_1 **55** ἀδριάντων P εἴδη : ἤδη T K ὡς om. P H K : non adhib. C F_1 **56** θησαυροὺς P ἤνεγκε : ἤγαγεν H **57** θεούσης T : non adhib. C F_1 **58** ἵππου ὁλόχρυσον χαλινὸν P μαργαρίτων P **59** σὺ : σοὶ T : non adhib. C F_1 κομπόνεις P δὲ : τε H : om. K **60** αὐτὸν : αὐτῷ H **61** βαπτίζων (sic C F_1) : βαστάζων T **62** post εἰς add. τὸ H **64** post ἔφυγεν add. ἐν τῇ ἀμφόδῳ P H K : non adhib. C F_1 δύο : διὸ P **66** λεκτικοῦ H K ὄντως T : non adhib. C F_1 **67** πυρὰν : κάμινον H

εἰσελθεῖν καὶ οὕτως δειχθῆναι τὸν εὐσεβέστερον. τοῦ δὲ Ἀρειανοῦ παραιτησαμένου αὐτὸς εἰσελθὼν ἀπὸ τῆς πυρᾶς διελέγετο καὶ ἀπαθὴς ἐφυλάττετο.

103 Ἰουστῖνος ὁ Θρᾷξ

Ἰουστῖνος ὁ Θρᾷξ, ὁ μέγας, ἐβασίλευσεν ἔτη θ', ἄριστος ἐν πολέμοις καὶ ζηλωτὴς ὢν τῆς ὀρθοδόξου πίστεως. **2** οὗτος καὶ Βιταλιανὸν τὸν προρρηθέντα ᾠκειώσατο καὶ στρατηλάτην ἐτίμησε καὶ παρρησίαν ἔχειν πρὸς αὐτὸν ἐποίησεν. ἐδολοφονήθη δὲ ὁ Βιταλιανὸς παρὰ τῶν Βυζαντίων μηνιώντων αὐτῷ διὰ τὴν προειρημένην ἐπανάστασιν. **3** Ἀμάντιον δὲ τὸν πραιπόσιτον, ὅς τὸν ναὸν τοῦ ἁγίου ἀποστόλου Θωμᾶ ᾠκοδόμησε καὶ ἐκόσμησε, λέγεται χρήματα δεδωκέναι αὐτῷ τῷ Ἰουστίνῳ, ὄντι κόμητι τῶν ἐξκουβιτόρων ἐπὶ Ἀναστασίου, ὅπως Θεόκριτον τὸν ἀνεψιὸν αὐτοῦ ἀναγορεύσῃ εἰς βασιλέα. τοῦτον ἀνεῖλεν Ἰουστῖνος καὶ τοὺς τὴν ἀνταρσίαν σὺν αὐτῷ μελετήσαντας, τὴν βασιλείαν αὐτὸς κατασχών. **4** ἐπὶ αὐτοῦ τὰ κατὰ τὸν ἅγιον Ἀρέθα καὶ τοὺς ἐν Νεγρᾷ τῇ πόλει ἐπράχθη καὶ τὰ κατὰ τῶν Ὁμηριτῶν διὰ Ἐλεσβαᾶ, τοῦ βασιλέως τῶν Αἰθιόπων. **5** ἐτυπώθη δὲ ἐπὶ αὐτοῦ τοῦ ἑορτάζειν ἡμᾶς

---

§ 1: cf. Theoph. 164.21–25; 164.31–165.2; Georg. Mon. 626.4–5 **3–5** οὗτος – ἐποίησεν: cf. Theoph. 165.3–8 **5–6** ἐδολοφονήθη – ἐπανάστασιν: cf. Theoph. 166.19–21 § 3: cf. Theoph. 165.24–166.2 § 4: cf. Theoph. 169.13–16 § 5: cf. Theoph. 222.23–25

T [C][F_1]PH[K]

---

68 εἰσελθεῖν (sic Th. Lect.) : ἐλθεῖν T : εἰσέλθωμεν F_1 : non adhib. C τοὺς εὐσεβεστέρους P post Ἀρειανοῦ add. τοῦτο P H K (non add. F_1) **cap. 103.1** Ἰουστῖνος ὁ Θρᾷξ : ἰουστῖνος ὁ μέγας ἔτη θ in mg. C : βασιλέως ἰουστινιανοῦ τοῦ μεγάλου F_1 : ἰουστῖνος ὁ θρᾴξ, ὁ μέγας P K : ἰστῖνος θρᾴξ, ὁ μέγας H **2** ἐβασίλευσεν ἔτη θ' om. P **3** post πίστεως add. ἦν δὲ τὸ σῶμα (τῷ σώματι P) μεσῆλιξ, εὐρὺς τοὺς ὤμοὺς καὶ τὰ στέρνα, πολιὸς μετὰ οὐλότητος καὶ δασείας κόμης. ἐπήνθει δὲ τῷ (τὸ H) προσώπῳ αὐτοῦ ἔρευθος (ἔραθος H), βλοσυρῷ ὄντι καὶ πλατεῖ P H K : om. F_1, sed plura om. : non adhib. C οὗτος : ὃς P H K : non adhib. C F_1 βιταλίνον T : non adhib. C F_1 **4** ᾠκείσατο T : non adhib. C F_1 στρατηλάτην : στρατηγὸν P H K : non adhib. C F_1 **5** post αὐτὸν add. ὑπὲρ τοὺς λοιποὺς P H K : non adhib. C F_1 βεταλιανὸς ut vid. P **6** μηνυόντων T αὐτῷ : αὐτὸν P **8** post Θωμᾶ add. θαυμαστῶς P H K (non add. F_1) post καὶ add. ποικίλως P H K (non add. F_1) αὐτῷ (αυ$^{\tau}$ F_1) : ἑαὐτῶ T : om. P H K : non adhib. C **9** ἰουστινιανῶ H K post κόμητι add. τῷ T (non add. F_1) : non adhib. C ἐξκουβιτόρων : fort. ἐξκουσατόρων P **9–10** θεόκτιτον P **10** ἀναγορεύσῃ (sic F_1) : ἀναγορεῦσει T : non adhib. C **11** post τὴν ἀνταρσίαν σὺν αὐτῷ exhib. τὴν ἀνταρσίαν H^{ac} **12** τὰ om. H Ἀρέθα (F_1 per comp.) : ἀρέθαν P H K : non adhib. C **12–13** ἐν Νεγρᾷ : ἐνεγρὰ H **13** καὶ τὰ om. H διὰ Ἐλεσβαᾶ : διελεσβοᾶν F_1 : δι' ἐλεσβάαν P : διαλεσβὰ H : διὰ λεσβαὰ K : non adhib. C **14** τῶν om. P H (quod exhib. F_1)

καὶ τὴν ἑορτὴν τῆς Ὑπαπαντῆς. **6** ἐφ᾿ οὗ ἀστὴρ ἐφάνη ἐν τῷ οὐρανῷ ἐπάνω τῆς Χαλκῆς πύλης ἐν τῷ παλατίῳ φαίνων ἐπὶ ἡμέρας καὶ νύκτας κς'· καὶ γέγονεν σεισμὸς φοβερώτατος, καὶ ἡ μὲν Κωνσταντινούπολις ἐν διαφόροις τόποις ἀπέλαβεν, ἡ δὲ μεγάλη Ἀντιόχεια πάθος ἔπαθεν ἀνεκδιήγητον, ὡς καταπτωθῆναι πᾶσαν σχεδὸν τὴν πόλιν καὶ τάφον γενέσθαι τῶν οἰκητόρων. τοσαύτη γὰρ ὀργὴ τοῦ Θεοῦ ἐπῆλθεν, ὡς καὶ τοὺς ὑπολειφθέντας πῦρ ἐξελθεῖν ἀπὸ τῆς γῆς καὶ ὀδυνηρῶς καταφλέξαι. ἀλλὰ καὶ ἡ Πομπηϊούπολις τῆς Μυσίας διαρραγεῖσα μέσον κατεπόθη μετὰ τῶν οἰκητόρων, καὶ ἔκραζον ὑπὸ τὴν γῆν ὄντες οἱ ἄνθρωποι τό· ἐλεήσατε ἡμᾶς. **7** καὶ γυνή δέ τις ἐπὶ αὐτοῦ ἀνεφάνη ἐκ Κιλικίας οὖσα γιγαντογενής, ὑπερέχουσα τῇ ἡλικίᾳ πάντα ἄνθρωπον μακρὸν πῆχυν ἕνα καὶ πλατεῖα σφόδρα, ὡς ἐπὶ θαύματι οἱ ὁρῶντες αὐτὴν ἐν τοῖς ἐργαστηρίοις καὶ οἴκοις ἐδίδουν αὐτῇ ἀνὰ ὀβολοῦ. **8** ὁ δὲ αὐτὸς βασιλεὺς πολλὰ ἐφιλοφρονήσατο τῇ τε πόλει Ἀντιοχείᾳ πρὸς ἀνοικοδομὴν καὶ τοὺς ἐν αὐτῇ ζῶντας ὑπολειφθέντας. τοσοῦτον δὲ ἐπ᾿ αὐτῇ ἤλγησεν, ὡς καὶ τὸ διάδημα ἀποθεῖναι καὶ τὴν πορφύραν καὶ σάκκον καὶ σποδὸν περιβαλέσθαι καὶ πενθεῖν ἐπὶ πολλὰς ἡμέρας. **9** ἐτελεύτησε δὲ καταλιπὼν βασιλέα Ἰουστινιανόν, τὸν ἴδιον ἀνεψιόν. **10** Ἰουστῖνος ἀνεκαλέσατο πάντας ἱερεῖς καὶ ἄνδρας εὐσεβεῖς ὀρθοδόξους, οὓς Ἀναστάσιος ἀδίκως ἐξώρισε. **11** ἐπὶ αὐτοῦ Ἔδεσα πόλις, Σκιρτοῦ ποταμοῦ μέσον αὐτῆς διερχομένου καὶ πλοῦτον καὶ τέρψιν αὐτῇ παρεχομένου,

§ 6: cf. Theoph. 172.11–19; Georg. Mon. 626.5–19 § 7: cf. Theoph. 171.29–32; Georg. Mon. 626.19–21 (– σφόδρα) § 8: cf. Theoph. 172.30–173.13 § 9: cf. Theoph. 173.13–16 § 10: cf. Theoph. 166.2–3 § 11: cf. Theoph. 171.18–28

T [C][F_1]PH[K]

15 καὶ om. H K τῆς : τὴν H post Ὑπαπαντῆς add. μέχρι τότε μὴ ἑορταζομένης P H K (non add. F_1) ἐφ᾿ : ἀφ᾿ P post οὐρανῷ add. κομήτης H **17** κς' : εἰκοσιεννέα P φοβερώτατος : μέγας H Κωνσταντινούπολις (sic ut vid. K) : κωνσταντίνου H **19** τάφος H K **20** post γὰρ add. ἡ P H K : non adhib. C F_1 **21** ὀδυνηρῶς : οἰκτρῶς P H K : non adhib. C F_1 **23** post μετὰ add. καὶ P **24** ἡμᾶς om. F_1 P H K : non adhib. C ἐφάνη H K **24–25** ἐκ Κιλικίας οὖσα om. H K **26** θαύματι : θαύματος δὲ P H K : non adhib. C F_1 post οἱ add. ἀγομένην (ἀγόμενοι K) P H K : non adhib. C F_1 **27** ἐδίδου P H (καὶ δίδην F_1) : non adhib. C αὐτὴν T H : non adhib. C F_1 **28–29** οἰκοδομὴν H K **29** ὑποληφθεῖσιν T : non adhib. C F_1 **31** σπονδὸν T περιβαλέσθαι (sic sine accentu ut vid. F_1 : περιβαλλέσθαι E (Marcianus (Venetus) gr. 608)) : περιβαλλέσθαι T H **32** post ἀνεψιόν add. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῇ μονῇ τῆς αὐγούστης ἐν λάρνακι πρασίνῳ μετὰ καὶ (καὶ om. H) τῆς γυναικὸς αὐτοῦ εὐφημίας, ἐν ᾧ καὶ αἱ στολαὶ εὑρέθησαν. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον διεῖπεν ἰωάννης ὁ λεγόμενος καππαδόκης P H K (quod non exhib. F_1, sed plura om.) : non adhib. C **33** εὐσεβεῖς om. H K **34** post πόλις add. τοῦ P H K (non add. F_1) Σκιρτοῦ (sic C (C ut vid. e Theoph.) F_1) : σκίρτου T **35** αὐτῇ (sic F_1) : αὐτὴν T : non adhib. C

πλημμυρρήσας ταύτην σὺν τοῖς οἴκοις ἐπόντισε. μετὰ δὲ τὸ παύσασθαι τὰ ὕδατα πλὰξ λιθίνη εὑρέθη ἐν τῇ τοῦ ποταμοῦ ὄχθῃ ἱερογλυφικοῖς γράμμασιν ἐγκεκολαμμένη, περιέχουσα οὕτως· Σκιρτὸς ποταμὸς σκιρτήσει κακὰ σκιρτήματα πολίταις. **12** Εὐλαλίου τινὸς ἀπὸ πλουσίων πένητος τελευτήσαντος καὶ γράψαντος Ἰουστῖνον κληρονόμον ἐν διαθήκαις καὶ παρακελευσαμένου, ὥστε τὰς τρεῖς αὐτοῦ θυγατέρας μικρὰς καταλειφθείσας ἀναθρέψαι καὶ ἐκπροικίσαι τὸν βασιλέα καὶ πάντα αὐτοῦ τὰ χρέη δοῦναι τοῖς εὐεργέταις καὶ τὰ γραμματεῖα αὐτοῦ ἀναρρύσασθαι, πάντα βασιλικῶς Ἰουστῖνος ἐπλήρωσε, καταπλήξας ἐν τούτῳ πάντα ἀκούσαντα ἄνθρωπον.

104 Ἰουστινιανός

Ἰουστινιανὸς ἐβασίλευσεν ἔτη λθ', ὑπατεύσας ἐν μέσῃ τῇ πόλει καὶ δοὺς χρήματα πάμπολλα. **2** οὗτος ἐποίησε τὰς Νεαρὰς διατάξεις, ἐκφωνήσας καὶ τύπον περί τε ἐπισκόπων καὶ ξενοδόχων καὶ οἰκονόμων καὶ ὀρφανοτρόφων, ὥστε μὴ κληρονομεῖσθαι πλὴν ἃ πρὸ τοῦ γενέσθαι

---

2 Iustinianus I. regnavit a. 527–565

---

2 Ἰουστινιανὸς – λθ': cf. Theoph. 174.1–5 (cf. 241.3–4); Georg. Mon. 627.2–3; Malal. 354.4sqq. **2–3** ὑπατεύσας – πάμπολλα: cf. Theoph. 174.16–18; Malal. 355.33–35; Chron. Pasch. 617.18–21 **3** οὗτος – διατάξεις: cf. Theoph. 177.17–19 **4–6** ἐκφωνήσας – ἐκέκτητο: cf. Theoph. 176.20–22; Malal. 359.23–30

T [C][F_1]PH[K]

---

36 πλημμυρρήσας ταύτην : πλημυρήσαντος αὐτὴ P H K : πλημμήρας βαρυτάτου γενομένης πᾶσι F_1 : non adhib. C οἴκοις : συνοίκοις F_1 P H K : non adhib. C ἐπόντισε : κατεπόντισε F_1 : ἐποντίσθη P H K : non adhib. C **37** εὑρέθη (sic F_1) : ἀνέθη P K : ἀνεδείχθη H **38** ἐκκεκωλαμένη H περιέχουσαν P Σκιρτὸς (sic F_1) : σκίρτος T : non adhib. C **39** σκιρτήματα om. H **40** γράψαν T : non adhib. C F_1 **41** παρακαλεσαμένου P **42** ἐκπροικίσαι καὶ ἀναθρέψαι H τὸν βασιλέα post Ἰουστῖνον (**l. 40**) exhib. P H K : non adhib. C F_1 **43** τὰ χρέη αὐτοῦ H εὐεργέταις : δανεισταῖς P H K : non adhib. C F_1 **44** ἀναρρύσασθαι : διαρρήξασθαι H **cap. 104.1** Ἰουστινιανός : ἰουστινιανὸς ὁ μέγας ἔτη λη in mg. C : βασιλεία ἰουστινιανοῦ F_1 : ἰουστινιανὸς ὁ μέγας P H K **2** post λθ' add. ἐτῶν (post ἐτῶν add. γὰρ H) ὢν με. οὗτος τὴν μὲν τοῦ σώματος ἀναδρομὴν βραχὺ μείζων τοῦ μέσου, ἐρυθρὸς τὴν χροιάν, χαροπὸν καὶ εὐπερίστροφον (ἀπερίστροφον H) βλέπων καὶ τὴν κεφαλὴν πρὸς κόμης κάλλος μικρὸν ἐψιλωμένην ἔχων P H K (non add. F_1) **3** post οὗτος add. οὖν P H K (non add. F_1) post ἐποίησε add. καὶ P H K (non add. F_1) Νεαρὰς (sim. C) : νοερὰς T : νερὰς F_1 **5** ἃ (sic F_1) : ὧν P H K

ἐκέκτητο. **3** ἐπλήρωσε δὲ καὶ τὸ δημόσιον λουτρὸν τὸ εἰς τὸν Διηγηστέα, ὃ ἤρξατο κτίζειν Ἀναστάσιος ὁ βασιλεύς. **4** ἡ δὲ Ἀντιόχεια σειομένη οὐκ ἐπαύετο, μέχρις οὗ ἐφάνη θεοσεβεῖ ἀνθρώπῳ ἐπιγράψαι εἰς τὰ ὑπέρθυρα τῶν φλιῶν· Χριστὸς μεθ' ἡμῶν, στῆτε· καὶ τούτου γενομένου ἔστη ἡ ὀργὴ τοῦ Θεοῦ, καὶ ἔκτοτε ἡ πόλις ὠνομάσθη Θεοῦ πόλις. **5** ἐπὶ αὐτοῦ γέγονε δημοτικὴ ἀνταρσία, καὶ τήν τε ἁγίαν Σοφίαν καὶ τοὺς ἐμβόλους μέχρι τοῦ φόρου κατέκαυσαν καὶ Ἰουστινιανὸν βασιλέα ἐφύβριζον, Ὑπάτιον δὲ εὐφήμησαν ἐν τῷ καθίσματι στέψαντες. ἥτις ἐπαύθη διὰ Βελισαρίου καὶ Μούνδου καὶ Ναρσῆ ἀνελόντων χιλιάδας λε' καὶ αὐτὸν Ὑπάτιον ἐν τῷ ἱπποδρομίῳ. **6** ἀνεκαίνισε δὲ Ἰουστινιανὸς τὴν τοῦ Θεοῦ Μεγάλην ἐκκλησίαν εἰς κάλλος καὶ μέγεθος ὑπὲρ τὸ πρότερον, παραδοὺς καὶ τροπάριον ἐν αὐτῇ ψάλλεσθαι· »ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ Θεοῦ«. ἀλλὰ καὶ ἡ Ὑπαπαντὴ ἔλαβεν ἀρχὴν ἑορτάζεσθαι, μὴ συναριθμουμένη πρότερον ταῖς δεσποτικαῖς ἑορταῖς.

---

§ 3: cf. Theoph. 176.24–26; Malal. 364.37–39; Chron. Pasch. 618.20–22 § 4: cf. Theoph. 177.22–178.7; Georg. Mon. 643.4–10; Malal. 369.78sqq. § 5: cf. Theoph. 181.24–31 (–186.2); Georg. Mon. 628.17–24; Malal. 394.26–401.9; Chron. Pasch. 620.3–629.6; Cramer Anecd. II.112.19 **15–18** ἀνεκαίνισε – Θεοῦ: cf. Theoph. 217.17–18; 216.23–24; Georg. Mon. 627.3–7 **18–19** ἀλλὰ – ἑορταῖς: cf. Theoph. 222.23–25 (– ἑορτάζεσθαι); Georg. Mon. 627.8–10

T [C][F_1]PH[K]

---

6 post ἐκέκτητο (ἐκέκτηντο F_1 P H K) add. οὗτος διωγμὸν κατὰ ἑλλήνων καὶ πάσης αἱρέσεως ἐκίνησεν. εὑρὼν δὲ πολλοὺς τῶν ἑλλήνων ἐν τέλει τούτῳ (ἑλλήνων ἐν τέλει τούτῳ : ἐν τέλει τῶν ἑλλήνων H) νοσοῦντας, δεσμεύσας καὶ τιμωρησάμενος φόβον (φόφον H) πολὺν εἰργάσατο, θεσπίσας μόνους (μόνους : νόμους H) ὀρθοδόξους πολιτεύεσθαι P H K (cf. Theoph. 180.11–21) (non add. F_1) **7** διηγιστέα T εἴρξατο T H K **8** ἐπιγράψαι (sic F_1 (et Theoph. 178.3, Georg. Mon. 643.8)) : ὑπογράψαι T : non adhib. C **9** θύρα H τῶν φλιῶν : τῶν λοιπῶν πάντων ἀντιοχειτῶν ἐν ταῖς ὑπερθύροις καὶ τοῖς φλιοῖς H **9–10** γενομένου (sic F_1 (et Theoph.)) : γινομένου T : non adhib. C **10–11** θεούπολις T **12** post Σοφίαν add. καὶ τὸν τοῦ ὁσίου σαμψὼν (σαμψὼ P) οἶκον μετὰ τῶν ἀρρώστων καὶ τὴν εἴσοδον τοῦ παλατίου, τὴν χαλκόστεγον, τὴν (τὴν om. H) ἔκτοτε καὶ νῦν χαλκῆν προσαγορευομένην διὰ τὸ ἐκ χαλκῶν κεράμων κεχρυσωμένων (κεχρυσωμένων om. H) ἐστεγᾶσθαι αὐτήν P H K (non add. F_1) ἐμβόλους (sic F_1) : δύο ἐμβόλους P H K **12–13** post Ἰουστινιανὸν add. τὸν H **13** post βασιλέα add. ἀναθεματίζοντες P K (non add. F_1) post δὲ add. πατρίκιον P H K (non add. T F_1) καθέσματι H **14** post ἥτις add. ἀνταρσία P H K : non adhib. C F_1 βελισσαρίου T **14–15** χιλιάδας λε : τριάκοντα πέντε χιλιάδας P K : λε χιλιάδας H (F_1 sim. exhib. P H K) : non adhib. C **15** post δὲ add. ἐκ θεμελίων P H K : non adhib. C F_1 **16** ὁ ἰουστινιανὸς P post ἐκκλησίαν add. ἰστέον δὲ ὅτι τῷ ἑξακισχιλιοστῷ μ (?) ἔτει ἀπὸ κτίσεως κόσμου ἰνδικτιῶνος ιε ὥρα πρώτη τῆς ἡμέρας τοῦ φεβρουαρίου μηνὸς εἰκοστῇ γ τὸν τῆς μεγίστης ἐκκλησίας ἀνοικισμὸν, ἤρξατο ποιεῖν ὁ ἰουστινιανὸς P **17** ὑπὲρ τὸ πρότερον : ὑπερτερώτερον H τροπάριον (τροπαρ' F_1) ἐν : τροπάρια P H K post αὐτῇ add. ὑπ' αὐτοῦ μελισθέντα P H K : non adhib. C F_1 **18** post υἱὸς add. τοῦ θεοῦ H τοῦ bis exhib. H ἡ Ὑπαπαντὴ (-αντὴ non vid. P) : ὑπανπατὴ K ἀρχὴν (sic F_1) : δῶρον P H K

7 γέγονε δὲ καὶ ἡ πέμπτη σύνοδος ἐπὶ αὐτοῦ, ἡ κατὰ Σευήρου. τῷ δὲ δεκάτῳ ἔτει γέγονε τὰ πρῶτα ἐγκαίνια τῆς Μεγάλης ἐκκλησίας. καὶ τελευτησάσης Θεοδώρας, τῆς αὐτοῦ γυναικός, γεγόνασι τὰ ἐγκαίνια τῶν ἁγίων Ἀποστόλων. **8** ἐφ᾽ οὗ καὶ θανατικὸν γέγονεν ἐν Κωνσταντινουπόλει, ὥστε μένειν ἀτάφους τοὺς ἀποθνῄσκοντας διὰ τὸ μὴ ἐξαρκεῖν τοὺς κραββάτους τῶν ἐκκλησιῶν καὶ τῶν οἴκων ἐκφέρειν αὐτούς. τοῦ δὲ βασιλέως κραββάτους ποιήσαντος χιλίους, ἐπεὶ μὴ ἐξήρκουν, ἁμάξας προσέταξε πλείστας εὐτρεπισθῆναι καὶ ἄλογα καὶ τοὺς τεθνεῶτας ἐν αὐτοῖς ἐκφέρειν. ἐκράτησε δὲ ἡ θνῆσις αὕτη μῆνας δύο, Ἰούλιον καὶ Αὔγουστον. γεγόνασι δὲ βρονταὶ καὶ ἀστραπαὶ μεγάλαι καὶ φοβεραὶ σφόδρα, ὥστε πολλοὺς κατακαῆναι, ἀλλὰ καὶ σεισμὸς μέγιστος καὶ παγκόσμιος· καὶ ἔπεσον οἶκοι καὶ ἐκκλησίαι πολλαὶ ἐν Κωνσταντινουπόλει, ὥστε πολλοὺς τελευτῆσαι, ἀλλὰ καὶ τὸ τεῖχος τῆς Χρυσῆς πόρτης καὶ ἡ λόγχη, ἣν κρατεῖ ὁ ἀνδριὰς τοῦ φόρου· καὶ ἐπεκράτει ἡ γῆ σειομένη ἐπὶ πολύ. ἐκ δὲ τῆς λύπης ὁ βασιλεὺς εἰς τὰ γενέθλια τοῦ Χριστοῦ καὶ εἰς τὰ ἅγια Θεοφάνια ἄνευ στέμματος προῆλθε καὶ τὰ ἐξ ἔθους

---

20 γέγονε – Σευήρου: cf. Theoph. 217.4–7 (cf. etiam 228.28–229.3); Georg. Mon. 629.1–640.27 **21–23** καὶ – Ἀποστόλων: cf. Theoph. 226.8–9 (de obitu Theodorae); 227.10–12 (de reconsecratione ecclesiae SS. Apostolorum) **23–38** ἐφ᾽ – ἀναχαιτίσει: cf. Georg. Mon. 641.1–642.22 **30–38** ἀλλὰ – ἀναχαιτίσει: cf. Malal. 413.76–414.88; 416.16–24 (terrae motus C/poli)

T [C][F_1]PH[K]

---

20 γέγονε δὲ (sic F_1) : τῷ δὲ ιδ ἔτει αὐτοῦ γέγονε P H K **20–21** καὶ – γέγονε om. H K **20** ἐπὶ αὐτοῦ om. P : non adhib. C F_1 H K **21** post δεκάτῳ add. αὐτοῦ F_1 P : non adhib. C H K post ἐκκλησίας add. γενομένης δὲ (δὲ om. H K) τῆς πέμπτης συνόδου κατὰ σευήρου, τοῦ ἀκεφάλου καὶ δυσσεβοῦς, καὶ κατὰ ὠριγένους ἐν κωνσταντινούπολει, ὑπὸ (ὑπὸ – κωνσταντινουπόλεως om. P (C sim. H K)) πατέρων ρξε (ἀπέχει δὲ τῆς δ ἔτη ἐνενήκοντα)· ἡγοῦντο δὲ εὐτύχιος κωνσταντινουπόλεως, ἀπολλινάριος ἀλεξανδρείας, δόμνος ἀντιοχείας, ἐπὶ βιγιλίου (βιγελίου P : βισηλίου H : non adhib. C), πάπα ῥώμης, κατὰ ὠριγένους καὶ τῶν αὐτοῦ δογμάτων, ἐν οἷς ἐληρώδουν τὰς ψυχὰς προϋπαρχούσας τῶν σωμάτων, τήν τε μετεμψύχωσιν δοξάζοντες, τέλος τε (post τε add. τοῦ ut vid. P : add. fort. τοῦ K : non adhib. C) τῆς κολάσεως, καὶ τὰ σώματα (τὰ σώμα H) ἡμῶν μὴ ἀνίστασθαι ἐν τῇ ἀναστάσει τὰ αὐτά, καὶ τὴν τῶν δαιμόνων εἰς τὸ ἀρχαῖον ἀποκατάστασιν (ἀποκατάστασιν καὶ P : non adhib. C), τὸν παράδεισον ἀλληγοροῦντες (ἀλληγορεῖσθαι P : non adhib. C) μὴ γεγενῆσθαι μήτε εἶναι ὑπὸ θεοῦ αἰσθητὸν παράδεισον μηδὲ (μηδὲ (μὴ δὲ P K) : μήτε H) ἐν σαρκὶ πλασθῆναι τὸν ἀδάμ P H K (non add. F_1 : C sim. exhib. P H K) **21–22** καὶ τελευτησάσης (sic F_1) : τελευτησάσης δὲ P H K **22** γέγονε P **24** ὥστε (sic F_1 et Georg. Mon. 641.2) : ὡς T : non adhib. C ἀποθνῄσκοντας (sic F_1 et Georg. Mon. 641.3) : τεθνεῶτας ut vid. T : νεκρούς H K : non adhib. C **25** post τῶν alt. add. εὐαγῶν P H K (non add. F_1) **26** post ἐξήρκουν add. μηδὲ οὗτοι P H K (non add. F_1) **28** αὐτοῖς : αὐταῖς H ἐκράτησε (sic F_1) : ἐκράτη T : non adhib. C **29** ἀστεροπαὶ H **29–30** μεγάλαι – σφόδρα : φρικώδης H : σφόδρα K **30** post πολλοὺς add. ὑπ᾽ αὐτῶν P H K (non add. F_1) **31–32** κωνσταντινούπολει T **33** ἐπεκράτει (sic F_1 et Georg. Mon. 642.17–18) : ἐπεκρότη T P : non adhib. C **35** στεύματος ut vid. T

ἀριστόδειπνα τοῦ δωδεκαημέρου οὐκ ἐτέλεσεν, ἀλλὰ πάντα τοῖς πτωχοῖς διένειμεν. τὴν δὲ θάλασσάν φασιν ἀναρριχάναι ἐκ τοῦ σεισμοῦ μίλια δύο καὶ ἀπολέσθαι πλοῖα πολλὰ ἐν τῇ τοῦ ὕδατος ἀναχαιτίσει. ἔπεσε δὲ καὶ ὁ τροῦλλος τῆς Μεγάλης ἐκκλησίας, ὃν καὶ ἀνέκτισεν ὑψηλότερον καὶ κρείττονα, ποιήσας καὶ τὰ δεύτερα ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας φαιδροτέρως καὶ λαμπροτέρως. **9** οὗτος μαθὼν περὶ ἀρρενοφθόρων, ἐρευνήσας τε καὶ τούτους εὑρών, τοὺς μὲν ἐκαυλοτόμησεν, τοὺς δὲ καλάμους ὀξεῖς ἐμβάλλεσθαι εἰς τοὺς πόρους τῶν αἰδοίων ἐκέλευσεν καὶ γυμνοὺς κατὰ τὴν ἀγορὰν θριαμβεύεσθαι. ὑπῆρχον μὲν τῶν πολιτικῶν καὶ συγκλητικῶν πολλοί, τῶν δὲ ἀρχιερέων οὐκ ὀλίγοι, οἳ δημευθέντες οὕτως περιαγόμενοι γυμνοὶ κατὰ τὴν ἀγορὰν οἰκτρῶς ἐτελεύτησαν· καὶ γενομένου φόβου μεγάλου οἱ λοιποὶ ἐσωφρονίσθησαν· ὀλολυζέτω γάρ, φησί, πίτυς, ὅτι πέπτωκε κέδρος. **10** ἔστησε δὲ καὶ τὸν κίονα τὸν ἐπιλεγόμενον Αὐγουστέαν, ἐπιθεὶς ἐπάνωθεν ἔφιππον τὴν αὐτοῦ στήλην, κρατοῦσαν τῇ μὲν ἀριστερᾷ χειρὶ μῆλον σφαιροειδές, ὡς τῆς γῆς ἁπάσης αὐτοῦ κυριεύσαντος, τὴν δὲ δεξιὰν ἀνατεταμένην ἔχουσαν καὶ οἷον εἰ πρὸς Πέρσας ἐμφαίνουσαν καὶ διακελευομένην· στῆτε καὶ τῆς Ῥωμαίων γῆς μὴ ἐπιβῆτε. **11** ἀπέστειλε δὲ καὶ Βελισάριον στρατηγὸν μετὰ πλήθους ἀναριθμήτου καὶ πλοίων καὶ χρυσοῦ πολλοῦ καταπολεμῆσαι Οὐανδίλους καὶ Ἀφρικὴν ἐκπορθῆσαι. ὃς ἀγχινοίᾳ καὶ φρονήσει πάντα ληϊσάμενος καὶ Γελήμερον ἐγκρατῆ ποιησάμενος ἀνήγαγεν ἐν τῇ πόλει μετὰ πλούτου πολλοῦ καὶ ἐθριάμβευσεν ἐν τῷ ἱππικῷ, ὑπατείαν ποιήσας ἐν τῇ πόλει, ὥστε Ἰουστινιανὸς μὲν τῷ ἑνὶ μέρει

39–41 ἔπεσε – λαμπροτέρως: cf. Theoph. 232.27–233.3; 238.18–24; Malal. 420.75–81; 429.81sqq. § 9: cf. Georg. Mon. 645.1sqq.; Theoph. 177.11–17; Malal. 364.42–365.53 **48** ὀλολυζέτω – κέδρος: cf. Za. 11.2 (ὀλολυξάτω πίτυς, διότι πέπτωκεν κέδρος κτλ.) § 10: cf. Theoph. 224.13–15; Malal. 408.22–25 § 11: cf. Theoph. 188.31–200.15

T [C][F_1]PH[K]

---

36 τοῦ δωδεκαημέρου om. H **37** φασιν ἀναρριχάναι (ἀναριχάναι Georg. Mon. 642.2) : φασιν ἀναχάναι T : φασιν ἀναριχάναι F_1 : ἀναρριχάναι φασὶν P H K : non adhib. C **38** πολλὰ om. T : non adhib. C F_1 **39** καὶ pr. om. P **41** καὶ λαμπροτέρως om. H **42** τε om. F_1 P H K : non adhib. C **44** θριαμβεύεσθαι (sic F_1) : θριαμβευθῆναι P H K : non adhib. C μὲν τῶν : δὲ τῶν μὲν P H K : non adhib. C F_1 **45** καὶ om. H **46** κατὰ τὴν ἀγορὰν γυμνοὶ P H K : non adhib. C F_1 οἰκτρῶς : δεινῶς P **48** ὀλολύζεται P **49** ἐπιλεγόμενον : λεγόμενον F_1 K : om. H Αὐγουστέαν (sic F_1) : αὐγουστέα P H K ἐπάνω H **50** αὐτοῦ om. H σφαιροειδῆ T : non adhib. C F_1 **52** οἷον εἰ : οἱνεῖ T : om. H πέρσαις T : non adhib. C F_1 **53** post γῆς exhib. ἁπάσης αὐτοῦ κυριεύσαντος P[ac] ἐπιβαίνεται H ἀπεστάλλει H Βελισάριον : βελισσάριον T : βελλισάριος H : βελησάριον K **53–54** στρατηγῶν H **55** οὐανδήλους P **56** καὶ – ποιησάμενος : post πολλοῦ (**l. 57**) transp. H : om. T (homoeotel.) : non adhib. C F_1 Γελήμερον : γελήμερ H : γελίμερον K **58** ὥστε Ἰουστινιανὸς : τὸν δὲ ἰουστινιανὸν ἀμειβόμενον αὐτὸν τῆς τοιαύτης μεγίστης καὶ παραδόξου (περιδόξου H K) πράξεως ἐν P H K : non adhib. F_1 (C sim. exhib. T)

τοῦ νομίσματος ἑαυτὸν ἐγχαράξαι, ἐν δὲ τῷ ἑτέρῳ Βελλισάριον ἔνοπλον καὶ ἐπιγράψαι· Βελλισάριος, ἡ δόξα τῶν Ῥωμαίων. ἀλλ' οἷα ὁ φθόνος ἐν μεγάλῃ εὐδαιμονίᾳ εἰώθει ποιεῖν, ὤδινε καὶ εἰς Βελλισάριον· διαβληθεὶς γὰρ μετέστη τῆς ἀρχῆς καὶ τῆς δόξης, καὶ Σολομῶν ἀντ' αὐτοῦ στρατηγὸς ἐπέμφθη· ὃς τὰ κτηθέντα Βελλισαρίῳ φυλάξασθαι μὴ δυνηθεὶς τοῖς Οὐανδίλοις πάντα παρεχώρησεν. **12** ἦν δέ τις χαλκεὺς Ἀνδρέας ὀνόματι ἔχων μετ' αὐτοῦ κύνα ξανθὸν καὶ τυφλόν, ὃς ἐποίει τέρατα· παρεστῶτος γὰρ αὐτῷ ὄχλου λάθρᾳ τοῦ κυνὸς ἐκομίζετο τὰ τῶν ἑστώτων δακτυλίδια, χρυσᾶ τε καὶ ἀργυρᾶ καὶ σιδηρᾶ, καὶ ἐτίθει εἰς τὸ ἔδαφος, περισκέπων αὐτὰ χώματι. καὶ ἐπέτρεπε τῷ κυνί, καὶ ἐλάμβανεν καὶ ἐδίδου ἑκάστῳ τὸ ἴδιον. ὁμοίως καὶ διαφόρων βασιλέων νομίσματα μιγνύμενα ἀπεδίδου κατ' ὄνομα. ἀλλὰ καὶ τῶν παρεστώτων ἀνδρῶν τε καὶ γυναικῶν ἐπεδείκνυε τὰς ἐν γαστρὶ ἐχούσας καὶ πόρνους καὶ μοιχοὺς καὶ ἐλεήμονας καὶ κνιπούς· πάντα μετὰ ἀληθείας ἐδείκνυεν, ὅθεν καὶ ἔλεγον πνεῦμα Πύθωνος ἔχειν. **13** ὁ δὲ αὐτὸς βασιλεὺς πάμπολλα κτίσματα ἐποίησεν θαυμαστὰ ἐκκλησιῶν τε καὶ πόλεων καὶ τὴν πενταγέφυρον τοῦ Σαγάρου· ἅπερ Προκόπιος ἱστορικὸς ἐν ὀκτὼ λόγοις ἀνεγράψατο. **14** εἰς δὲ τὰ τέλη αὐτοῦ τὸ περὶ φθαρτοῦ καὶ ἀφθάρτου κινήσας δόγμα ἀλλότριον τῆς εὐσεβείας Θεοῦ ἐτελεύτησε, προβαλόμενος Ἰουστῖνον, ἀνεψιὸν αὐτοῦ, εἰς βασιλέα, κουροπαλάτην τότε ὄντα. **15** Γελίμερ

§ 12: cf. Theoph. 224.15–27; Georg. Mon. 643.20–644.12 § 13: cf. Theoph. 234.15–18 § 14: cf. Theoph. 240.31–241.5 § 15: cf. Theoph. 197.11–27

T [C][F_1]PH[K]

59 ἐγχαράξαι (sic C) : ἐγχαράξας P H : non adhib. F_1 Βελλισάριον (sic C) : βελισάριον P H K : non adhib. F_1 **60** ἐπιγράψας P Βελλισάριος (sic C) : βελισάριος P H K : non adhib. F_1 **61** εἰώθει : εἴωθε H K : οἶδε P : non adhib. C F_1 Βελλισάριον : βελισάριον P : βελησάριον K : non adhib. C F_1 **63** κτησθέντα T H : non adhib. C F_1 Βελλισαρίῳ : βελισσαρίω T : βελισαρίω P : βελλησαρίω K : non adhib. C F_1 φυλάξεσθαι H **64** οὐανδήλοις P **64–65** ὀνόματι : τοὔνομα P H K : om. F_1 : non adhib. C **65** μετ' αὐτοῦ : μεθεαὐτοῦ F_1 : μεθ' ἑαυτὸν H **66** αὐτῷ (F_1 per comp.) : αὐτοῦ P H ἑστώτων (sic F_1) : ἐνεστώτων P H K : non adhib. C **68** περισκέπων : κατακαλύπτων H χώματι (F_1 per comp.) : χώματα P K : χώμασιν H **70** μιγνύμενα om. H K ἐπεδίδου H **71** ἐγγαστρὶ H K ἐχούσας : μέθεις τε H : μύθους K πόρνους P **72** ἐλεήμονας (sic F_1) : ἀνελεήμονας P H K, fort. recte (sic etiam Tafel) πάντα (F_1 per comp.) : ἀπλανῶς καὶ P : ἀπλανῶς H K : non adhib. C μετ' H **72–73** καὶ ἔλεγον : ἔλεγον F_1 : ἔλεγον τὸν κύνα P H K : non adhib. C **73** ὁ δὲ : ὅθεν ὁ H K post βασιλεὺς add. κτίζει καὶ τὸν ἐν τῇ πηγῇ ναὸν τῆς ὑπεραγίας θεοτόκου καὶ P H K (non add. F_1) **74** θαυμαστὰ om. P H K : non adhib. C F_1 πενταγέφυρον (sic F_1) : πενταγέφυρα(ν) P H K : an scrib. πετρογέφυραν? **75** Σαγάρου : Σαγγαρίου Bekker post Προκόπιος add. ὁ H **77** ἀλλότριον (F_1 per comp.) : ἀλλότριος P H : non adhib. C τῆς εὐσεβείας Θεοῦ : τοῦ θεοῦ H προβαλόμενος Bekker : προβαλλόμενος T F_1 P H K : non adhib. C **78** κουροπαλάτην : κοροπαλάτην T : κουροπελάτην K : non adhib. C F_1 post ὄντα add. κατετέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ

Βελλισάριον ἐκφεύγων εἰς ὄρος ὀχυρὸν κατέφυγεν ἔθνους τῶν Μαρουσίων. παρ᾽ αὐτοῖς δὲ οὔτε ἄρτος οὔτε οἶνος οὔτε ἔλαιον γεωργεῖται, ἀλλὰ κριθὰς καὶ ὀλύρας ὡς ἄλογα ζῷα ἑφθὰ σιτίζονται. γράφει οὖν πρὸς Φαρὰν Γελίμερ, ὃν Βελισάριος κατέλιπε φυλάσσειν αὐτόν, πεμφθῆναι αὐτῷ ἄρτον καὶ σπόγγον καὶ κιθάραν. ὁ δὲ Φαρὰς διηπόρει περὶ τούτων, ἕως ἂν ὁ τὴν ἐπιστολὴν κομίσας ἔφη, ὅτι ἄρτον μὲν αἰτεῖ, διότι τοῦτον ἐπιθυμεῖ γεύσασθαι καὶ ἰδεῖν, σπόγγον δὲ διὰ τὰ δάκρυα καὶ τὴν ἀλουσίαν, ὥστε παραμυθήσασθαι τοὺς ὀφθαλμούς, κιθάραν δέ, ὅπως τὰς συμφορὰς αὐτοῦ ἐκτραγῳδοίη. ταῦτα Φαρὰς ἀκούσας περιαλγήσας τε καὶ τὴν ἀνθρωπείαν τύχην ἐκμυκτηρίσας πάντα ἐξέπεμπεν, ὅσα ἔχρῃζεν. **16** Χοσρόου δὲ τοῦ Πέρσου τὴν ἅπασαν ἀνατολὴν ληϊζομένου Ἰουστινιανὸς Βελισάριον ἐκ τῆς δύσεως ἀγαγών, στρατηγὸν ἀνατολῆς ποιήσας κατὰ Περσῶν ἔστειλε. ὁ δὲ καθοπλισθεὶς καὶ κατὰ Περσῶν στρατεύσας τοσοῦτον τοὺς πρέσβεις Δαρείου τῇ καθοπλίσει καὶ στρατιᾷ ἐξέπληξεν, ὡς ἐπὶ θήραν δῆθεν ἐξιὼν αὐτοῖς ὀφθείς, ὥστε ἀφικομένους πρὸς Χοσρόην ὑπόσπονδον αὐτὸν Ῥωμαίοις ποιῆσαι. τοσοῦτον δὲ Βελισάριος ἐθαυμάσθη παρὰ Πέρσαις καὶ Ῥωμαίοις †καὶ εὐδοκίμησεν,

---

§ 16: cf. Theoph. 219.26sqq.

T [C][F_1]PH[K]

μαθών, ὡς ὑπὸ Χοσρόου δεινῶς ἀνῃρέθησαν, θυμοῦ πλησθεὶς οὐκ ἐφείσατο κατασφάζων καὶ πυρπολῶν καὶ καταστρέφων τὴν πᾶσαν Περσίδα ἐν ἔτεσιν ϛ'. τῷ δὲ ἑβδόμῳ ἔτει τὰ τίμια ξύλα ἀπὸ Περσίδος ἀναλαβὼν καὶ εἰς Ἱερουσαλὴμ παραγενόμενος καὶ ταῦτα ὑψώσας μετὰ χαρᾶς καὶ εἰρήνης ἐπὶ τὴν Κωνσταντινούπολιν ὑπέστρεφεν. **10** ἐπὶ αὐτοῦ δὲ ἀνεφάνη Μωάμεθ, ὁ τῶν Σαρακηνῶν ἀρχηγός, ἐκ τῆς Αἰθρίβου ἐξελθών, καὶ τῷ βασιλεῖ ὑπαντήσας μετὰ πλήθους καὶ τόπον αἰτησάμενος εἰς κατοίκησιν, οὗπερ καὶ τετύχηκεν. ἀναγκαῖον δὲ ἡγοῦμαι τῆς περὶ τοῦ Μωάμεθ γενεᾶς μικρόν τι διηγήσασθαι. **11** οὗτος ἐξ Ἰσμαὴλ κατήγετο, υἱοῦ Ἁβραάμ. Νίζαρος γάρ, ὁ τοῦ Ἰσμαὴλ ἀπόγονος, γεννᾷ υἱοὺς δύο, Μούνδαρον καὶ Ἀραβίαν. ἐκ τούτων πολλοὶ ἐγένοντο καὶ ᾤκουν Μαδιανήτην ἔρημον. ἐπραγματεύοντο δὲ καὶ ἐν ταῖς καμήλοις αὐτῶν. ἀπόρου δὲ καὶ ὀρφανοῦ ὄντος τοῦ προειρημένου Μωάμεθ εἰσῆλθε πρός τινα γυναῖκα πλουσίαν συγγενῆ αὐτοῦ, ὀνόματι Χαδιγά, μίσθιος ἐπὶ τῷ καμηλεύειν καὶ πραγματεύεσθαι. κατ᾽ ὀλίγον δὲ παρρησιασάμενος ὑπεισῆλθε τῇ γυναικὶ καὶ ἔγημεν αὐτὴν καὶ ἔσχε τὰς καμήλους αὐτῆς καὶ τὴν ὕπαρξιν. **12** ἐρχόμενος δὲ ἐν Παλαιστίνῃ συνανεστρέφετο Ἰουδαίοις καὶ Χριστιανοῖς, θηρώμενος παρ᾽ αὐτῶν τινα γραφικά. ἔσχε

88–90 τῷ – ὑπέστρεφεν: cf. Niceph. Brev. 15.23–24; 18.8–21 § 10–14: cf. Theoph. 333.13sqq.; Georg. Mon. 697.12sqq.; Niceph. Brev. 18.1–4; 20

T [C][F_1]PH[K]

---

86 χοσρώου T **87–88** κατασφάζων – Περσίδα : σφάζων καὶ πυρπολῶν τὴν περσίδα F_1 : κατασφάζων τὴν πᾶσαν περσίδα P : κατασφάζων τὴν περσίδα H : τὴν περσίδα κατασφάζων K : non adhib. C **88** ἀπὸ Περσίδος om. H **90** τὴν om. F_1 P H (quod exhib. K) : non adhib. C **91** δὲ om. P ἐθρίμβου H **92** ἐξελθών (sic F_1) : ἀνελθών C P H K post καὶ alt. add. προσπεσὼν (περσῶν H) αὐτῷ καὶ (καὶ om. H) P H K (non exhib. F_1, sed plura om. : C sim. exhib. P H K) **93** οὗπερ καὶ τετύχηκεν : οὗπερ καὶ ἔτυχεν F_1 : τετύχηκε (ἔτυχε H) τῆς ἐφέσεως P H K (C sim. exhib. P H K) **94** Μωάμεθ : άμεθ᾽ T post διηγήσασθαι add. τῷ τοίνυν δωδεκάτῳ τοῦ μωάμεθ χρόνῳ (ἔτει H), ἐν ἔτει ϛρλ ἀπὸ κτίσεως κόσμου, ἰνδικτιῶνος ι, μηνὶ σεπτεμβρίῳ (post σεπτεμβρίῳ add. τρίτη ἡμέρα πέμπτη P), ἐγένετο θεμάτιον τῶν ἀγαρηνῶν παρὰ στεφάνου ἀλεξανδρείας (ἀλεξανδρέως H) κανονίσαντος, κρατῆσαι (post κρατῆσαι add. μὲν H) τούτους (τούτοις H) ἐν ἰσχύι ἔτη τριακόσια ἐννέα, ἐν δὲ συστροφῇ καὶ ἀκαταστασίᾳ καὶ συμφοραῖς ἕτερα ἔτη εἴκοσι ἑπτά· ὡς εἶναι τὴν διακράτησιν αὐτῶν ἅπασαν, εὐτυχοῦσαν καὶ δυστυχοῦσαν, ἔτη τριακόσια τριάκοντα ἕξ P H K (non add. F_1) **95** ὁ om. H K **96** Ἀραβίαν (sic C F_1) : fort. ἀρομίαν T : fort scrib. Ῥαβίαν sec. Theoph. 333.17 τούτων : τούτου H **97** post ᾤκουν add. τὴν P H K Theoph. 333.18 (sic etiam Tafel e Bekker), fort. recte (non add. F_1) Μαδιανήτην : μαδιανὴ τὴν T : αμαδιανην την F_1 : μανιαδίτιν P : non adhib. C : fort. scrib. Μαδιανῖτιν cum Bekker Tafel ταῖς (sic Theoph.) : τοῖς F_1 P H K **98** αὐτῶν : αὐτοῦ H δὲ ἀπόρου H ὄντως H **99** συγγενὴν H Χαδιγά (sic F_1) : χαδιγᾶν P H K : γαδίγα C (χαδίγαν Theoph.) **100** τῷ : τὸ H K **103** Ἰουδαίοις om. P : Ἰουδαίοις καὶ om. H παρ᾽ αὐτῶν om. H

δὲ τὸ πάθος τῆς ἐπιληψίας, καὶ τοῦτο νοήσασα ἡ γυνὴ σφόδρα ἐλυπεῖτο, ὅτι τοιούτῳ συνήφθη, οὐ μόνον ἀπόρῳ, ἀλλὰ καὶ ἐπιληπτικῷ ὄντι. τροποῦται δὲ αὐτὸς θεραπεῦσαι αὐτὴν οὕτω λέγων, ὅτι ὀπτασίαν τινὰ ἀγγέλου λεγομένου Γαβριὴλ θεωρῶ καὶ μὴ ὑποφέρων τὴν θέαν καταπίπτω. αὕτη δὲ μοναχόν τινα διὰ κακοπιστίαν ἐξόριστον ἐκεῖσε ὄντα, προσφιλῆ αὐτῆς, ἀνήγγειλεν αὐτῷ πάντα, καὶ τὸ ὄνομα τοῦ ἀγγέλου. κἀκεῖνος πληροφορήσας αὐτὴν εἶπεν, ὅτι ἀλήθειαν λέγει· οὗτος γὰρ ὁ ἄγγελος εἰς πάντας προφήτας ἀποστέλλεται· αὕτη δὲ τῷ λόγῳ τοῦ ψευδαββᾶ πεισθεῖσα, ὃς ἦν τῆς μονῆς τῶν Καλλιστράτου· δι᾽ αἵρεσιν ἐκβληθεὶς τῆς πόλεως ἐκήρυξε ταῖς ὁμοφύλοις γυναιξὶν προφήτην αὐτὸν εἶναι· καὶ ἐκράτησεν ἡ αἵρεσις αὕτη τὰ μέρη τῆς Αἰθρίβου. **13** ἐνομοθέτησε δὲ τοῖς ὑπηκόοις αὐτοῦ, ὅτι ὁ ἀποκταίνων ἐχθρὸν ἢ ἀπὸ ἐχθροῦ φονευόμενος εἰς παράδεισον εἰσέρχεται. τὸν δὲ παράδεισον σαρκικῆς βρώσεως καὶ μίξεως γυναικῶν ἔλεγεν εἶναι καὶ τὴν μίξιν διαρκῆ καὶ πολυχρόνιον εἶναι τὴν ἡδονὴν καὶ ἄλλα τινὰ ἀσωτίας καὶ μωρίας ῥήματα. **14** Ἀβουβάχαρον δὲ Μωάμεθ κατέλιπε διάδοχον. καὶ πλειστάκις πολεμηθέντες ὑπὸ τῶν Ῥωμαίων ἐνίκησαν καὶ ἔκτοτε τοὺς Ῥωμαίους κατεδυνάστευον. **15** ἐπανιτέον τοίνυν πάλιν ἐπὶ τὴν προκειμένην διήγησιν. ταῦτα τελειώσας Ἡράκλειος ἐπὶ Κωνσταντινούπολιν ὑπέστρεψεν. οἱ δὲ τῆς πόλεως τὴν ἔλευσιν αὐτοῦ γνόντες ἀκατασχέτῳ πόθῳ περὶ αὐτὸν

---

§ 15: cf. Theoph. 337.8–10; Georg. Mon. 672.10–673.8; Niceph. Brev. 25 (cf. 19)

T [C][F_1]PH[K]

104–05 σφόδρα ἐλυπεῖτο (sic F_1) : ἐλυπεῖτο σφόδρα P H K **105** post συνήφθη add. ἀνδρί H K **106** οὕτως H τινὰ (sic F_1) om. P H K **107** θεωρῶ λεγομένου γαβριὴλ P post θέαν add. αὐτοῦ σκοτοδινιῶν C P H K (non add. F_1) **107–08** καταπίπτω (sic F_1) : πίπτω C P H K **109** post αὐτῆς add. μετεκαλέσατο καὶ P H K (non add. F_1) **110** post κἀκεῖνος add. συμβουλὴν (συμβουλὴν ὁ κατάρατος P) παρὰ τοῦ μωάμεθ ἔχων P H K (non add. F_1) ἀλήθειαν (F_1 per comp.) : ἀληθῆ P H K **111** post πάντας add. τοὺς H K **112** ψευδαμβᾶ ut vid. T Καλλιστράτου (καλι- T) : καλιστράτων K **113** post ἐκβληθεὶς add. καὶ ἐξορισθεὶς P H K (non add. F_1) ταῖς (sic C) : τοῖς F_1 P H **114** post αὕτη add. ἔκτοτε C P H K (non add. F_1) αἰθρίμβου H **115** δὲ om. H K ὁ (sic F_1) om. P H (ὅτι – ἐχθρὸν om. K) ἀποκταίνων (sic F_1) : ἀποκτε(ί)νων P : ἀποκτένον H : non adhib. K : fort. scrib. ἀποκτέννων sec. Theoph. 334.21 (sic C, fort. e Theoph.) post ἐχθρὸν add. αὐτοῦ C P H (non add. F_1) : non adhib. K **115–16** ἀπὸ ἐχθροῦ : ὑπὸ ἐχθροῦ C F_1 K Theoph. : ὑπ᾽ αὐτοῦ H **116** post εἰς add. τὸν H **117–18** καὶ alt. (καὶ τὴν μίξιν διαρκῆ (sic F_1) : καὶ τῆς μίξεως διαρκῆ P K) – εἶναι om. H **119** ἀβουμάχαρον H κατέλοιπε H πλειστάκις : πολλάκις P H : non adhib. C F_1 K **119–20** post πολεμηθέντες add. οἱ μετ᾽ αὐτοὺς P H : non adhib. C F_1 K **120** post Ῥωμαίων add. παραχωρήσει θεοῦ διὰ τὰς ἁμαρτίας ἡμῶν P H K : non adhib. C F_1 τοὺς Ῥωμαίους : τῶν ῥωμαίων P K : om. H : non adhib. C F_1 **120–21** κατεδυνάστευσαν P K : non adhib. C F_1 **121** πάλιν om. P H K : non adhib. C F_1 **122** τελέσας P H K : non adhib. C F_1 **123** ἔλευσιν (sic Georg. Mon. 672.19) : ἐπέλευσιν T : non adhib. C F_1 post πόθῳ add. τῷ T : non adhib. C F_1

πάντες ἐν τοῖς παλατίοις τῆς Ἡρίας ἐξῆλθον σὺν τῷ πατριάρχῃ καὶ Κωνσταντίνῳ, βασιλεῖ καὶ υἱῷ αὐτοῦ, βαστάζοντες κλάδους ἐλαιῶν καὶ λαμπάδας πρὸς ὑπαντὴν εὐφημοῦντες αὐτόν. καὶ ὁ μὲν υἱὸς αὐτοῦ προσελθὼν ἔπεσεν εἰς τοὺς πόδας τοῦ πατρός, ὁ δὲ περιπλακεὶς αὐτὸν κατεφίλουν ἀλλήλοις σὺν δάκρυσι. καὶ οὕτως λαβόντες τὸν βασιλέα εὐφημοῦντες καὶ χαίροντες εἰσῆλθον ἐν τῇ πόλει. **16** οὗτος δὲ ὁ Ἡράκλειος ὑπὸ Ἀθανασίου, πατριάρχου τῶν Ἰακωβιτῶν, καὶ Σεργίου τοῦ Σύρου, Κωνσταντινουπόλεως, ἀπατηθεὶς εἰς τὴν αἵρεσιν τῶν μονοθελητῶν ἐξεκυλίσθη, καὶ δὴ μετὰ ταῦτα νόσῳ περιπεσὼν ὑδερικῇ, δι᾽ ἧς καὶ τέθνηκε, δεινῶς ἐτιμωρεῖτο· ἐπὶ τοσοῦτον γὰρ τὸ πάθος ἐπεκτάνθη, ὡς ἡνίκα ἀπουρεῖν ἔμελλεν, σανίδα κατὰ τοῦ ἤτρου ἐπετίθει διὰ τὸ στρέφεσθαι τὸ αἰδοῖον αὐτοῦ καὶ κατὰ τοῦ προσώπου τὸ οὖρον ἀναπέμπειν. ἔλεγχος δὲ ἦν τοῦτο τῆς ἑαυτοῦ παρανομίας ἕνεκεν τοῦ εἰς τὴν ἰδίαν ἀνεψιὰν παρανομωτάτου γάμου.

110 Κωνσταντῖνος ὁ υἱὸς Ἡρακλείου

Κωνσταντῖνος, ὁ υἱὸς Ἡρακλείου, ἐβασίλευσεν ἔτος ἕν. οὗτος φαρμάκῳ ὑπὸ τῆς ἰδίας μητρυιᾶς ἀναιρεῖται.

---

2 Constantinus III. regnavit a mense Ian. usque ad mensem Apr. sive Mai. a. 641

---

§ 16: cf. Georg. Mon. 673.9–18 **129–32** οὗτος – ἐξεκυλίσθη: cf. Theoph. 329.21–330.29 **132–37** καὶ – γάμου: cf. Niceph. Brev. 27.4–10; cf. (de obitu Heraclii) Theoph. 341.12–13 cap. 110: cf. Theoph. 341.13–16 (cf. 330.31–331.2); Georg. Mon. 673.20–21; Niceph. Brev. 29

T [C][F_1]PH[K] **cap. 110** T C[F_1]PH[K]

---

124 post πάντες add. οἱ P ἠρίας H K : non adhib. C F_1 πατριάρχω H **125** καὶ : τῷ P H K : non adhib. C F_1 (cf. Georg. Mon. 672.21 τῷ βασιλεῖ καὶ υἱῷ) **126** post ὑπαντὴν add. καὶ P H K : non adhib. C F_1 εὐφήμησαν H **127** περιπλακεὶς αὐτὸν : πρὸσπλακεὶς αὐτῶ T : non adhib. C F_1 (cf. Georg. Mon. 673.4 περιπλακεὶς τῷ υἱῷ) **128** κατεφίλει H K ἀλλήλοις : om. H K : fort. scrib. ἀλλήλους : non adhib. C F_1 σὺν : ἐν P **130** ἰακουβιτῶν H **131** Κωνσταντινουπόλεως om. H **133** ἐπεκτάθη P **134** ἀπουρεῖν (sic C) : ἀπορεῖν T : οὐρεῖν H : non adhib. F_1 **137** post ἀνεψιὰν add. μαρτίναν P H K (non add. F_1) post γάμου add. τελευτήσαντος δὲ τοῦ ἡρακλείου κατετέθη ἐν λάρνακι καὶ ἔμενεν (ἔμεινεν H K) ἀσκεπὴς ἡμέρας τέσσαρας (δεις H), καὶ μετὰ ταῦτα ἐσκεπάσθη καὶ συνετάφη αὐτῷ στέμμα χρυσοῦν (χρυσὸν H K) διὰ λίθων, τιμῆς λιτρῶν ἑβδομήκοντα P H K (non add. F_1) **cap. 110.1** Κωνσταντῖνος, ὁ (ὁ om. F_1 P H) υἱὸς Ἡρακλείου : κωνσταντῖνος υἱὸς ἡρακλείου ἔτος α in mg. C **2** ὁ om. F_1 P Ἡρακλείου : αὐτοῦ H K **2–3** φαρμάκῳ – ἀναιρεῖται : φαρμακοῦται ὑπὸ (παρὰ H) τῆς ἰδίας μητρυιᾶς μαρτίνης, καταλιπὼν τὸν (τὸν ἴδιον H) υἱὸν κώνσταν. ἐτέθη δὲ τὸ σῶμα αὐτοῦ ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν τῷ ἡρώῳ ἰουστινιανοῦ. γυνὴ δὲ τούτου (τούτω H) ἀναστασία, ἣ καὶ μετὰ τὴν αὐτῆς τελευτὴν συνετάφη τῷ ἀνδρί. τὸν δὲ τῆς

111 Ἡρακλωνᾶς

Ἡρακλωνᾶς ἐβασίλευσεν ἅμα Μαρτίνῃ μητρὶ μῆνας τέσσαρας. ἡ δὲ σύγκλητος ἀπώσατο Ἡρακλωνᾶν, ῥινοκοπήσαντες αὐτὸν καὶ Μαρτίναν γλωσσοτομήσαντες, καὶ ἐξώρισαν αὐτούς. **2** ἀνεβίβασαν δὲ ἐν τῇ βασιλείᾳ Κώνσταν, υἱὸν Κωνσταντίνου, ἔγγονον Ἡρακλείου.

112 Κώνστας

Κώνστας ἐβασίλευσεν ἔτη κζʹ. ἔφη δὲ ἐπὶ σελεντίου πρὸς τὴν σύγκλητον· τοῦ ἐμοῦ πατρὸς Κωνσταντίνου ἐπὶ ζωῆς τοῦ ἰδίου

---

2 Heraclonas regnavit a mense Apr. sive Mai. usque ad mensem Sep. a. 641 **cap. 112.2** Constans II. regnavit a. 641–668

---

§ 1: cf. Theoph. 341.16–18; 24–26 (cf. 331.2–4) § 2: cf. Theoph. 341.26–27 (cf. 331.4–5) **cap. 112.2** Κώνστας – κζʹ: cf. Theoph. 341.28; 342.4–8; Georg. Mon. 697.9–10 **2–11** ἔφη – ἀπέλυσεν: cf. Theoph. 342.9–20

---

cap. 111 T[L] C[F_1]PH[K]

ἀρχιερωσύνης θρόνον κατεῖχε πύρρος, σεργίου τελευτήσαντος. ἦν δὲ κωνσταντῖνος (κωνσταντῖνος : κοντὶ H) ἀσθενὴς μὲν τῷ σώματι, καθ᾽ ἑκάστην, ὡς εἰπεῖν, ἡμέραν νοσηλευόμενος (νοσιλευομένη H). τούτῳ τινὲς λέγουσιν, ὅτι τὸ στέμμα (στέμμαν H), ἐν ᾧ ἐστέφθης, σὺν τῷ πατρί σου ἐτάφη· καὶ ἐκέλευσε καλλίνικον κουβικουλάριον ἀνοιχθῆναι τὸν τάφον τοῦ πατρὸς αὐτοῦ καὶ τὸ στέμμα ἐπαρθῆναι. ἀπελθὼν οὖν πρὸς τὸ ἀνοῖξαι εὗρε τὸ σῶμα (post σῶμα add. αὐτοῦ H) διαλυθὲν καὶ κείμενον ὡς ὕδωρ, ὅπερ ἦν ἀπορρυὲν ἀπ᾽ αὐτοῦ, καὶ τὸ στέμμα συμπαγὲν τῇ κεφαλῇ. καὶ ἀνέσπασεν αὐτὸ σὺν τῇ κόμῃ τῆς κεφαλῆς, πενθῶν καὶ ὀδυρόμενος, καὶ ἀπήγαγε κωνσταντίνῳ. ὁ δὲ τοῦτο θεασάμενος ἐκέλευσε παραλυθῆναι καὶ σμηχθῆναι (σμηχθῆναι : κοσμηθῆναι H K). ὅπερ διετιμήσαντο (ἐτιμήσαντω H) χρυσοῦ λίτρας ἑβδομήκοντα (λίτρας ἑβδομήκοντα : ͵α,αοʹ H : χιλιάδας ἑβδομήκοντα K) P H K **3** μητρυιᾶς : μητρυὰς T : μητρείας F_1 **cap. 111.1** Ἡρακλωνᾶς (ἡρακλονᾶς T) : ἡρακλωνᾶς καὶ μαρτίνα μῆνας δ in mg. C : βασιλεία ἡρακλωνᾶ F_1 : ἡρακλωνᾶς νόθος υἱὸς ἡρακλείου P H K : om. L **2** μητρὶ (sic L F_1) : τῇ μητρὶ αὐτοῦ C P : om. H K **3** ἀπώσαντο C αὐτὸν om. C **4** καὶ om. C F_1 P H K (quod exhib. L) αὐτούς om. H ἀνεβίβασε P **5** Κώνσταν : κώνσταντα C υἱὸν Κωνσταντίνου om. H K post Ἡρακλείου : add. οὗτος προσήγαγεν (οὗτος προσήγαγεν : om. H) εἰς τὴν ἁγίαν σοφίαν τὸ στέμμα (τὸ στέμμα om. H K), ὅπερ ἀφείλετο κωνσταντῖνος ἐκ τοῦ μνήματος τοῦ πατρὸς αὐτοῦ. οὐκ ἐτάφη δὲ βασιλικῶς ὁ ἡρακλωνᾶς, ἀλλὰ διωχθεὶς ἐκ (ἐκ om. H K) τῆς βασιλείας καὶ ἰδιωτεύων μέχρι (post μέχρι add. τῆς H K) τελευτῆς αὐτοῦ ἐτάφη (post ἐτάφη add. δὲ H K) ἐν τῷ (τῷ om. P) μοναστηρίῳ τῷ δεσποτικῷ σὺν τῇ μητρὶ αὐτοῦ μαρτίνῃ. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε παῦλος, διαδεξάμενος πύρρον P H K : add. ἐν τούτω τῶ ἔτει παραλαμβάνουσιν οἱ ἀγαρηνοὶ καισάρειαν τῆς παλαιστίνης C (non add. L F_1) **cap. 112.1** Κώνστας : κώνστας ὁ ἔγγονος ἡρακλείου ἔτη κζ add.in mg. C : βασιλεία κων$^{\sigma\tau\tau\nu}$ F_1 : κώνστας υἱὸς κωνσταντίνου ἔγγονος ἡρακλείου P K : om. L **2** post Κώνστας add. ὁ ἔγγονος ἡρακλείου· υἱὸς δὲ κωνσταντίνου C

πατρός, ἐμοῦ δὲ πάππου, Ἡρακλείου ἱκανὸν σὺν τῷ πατρὶ βασιλεύσαντος, μετὰ δὲ τοῦτον λίαν βραχὺ (ὁ γὰρ Μαρτίνης φθόνος, τῆς αὐτοῦ μητρυιᾶς, τοῦ ζῆν αὐτὸν ἀπήλλαξε διὰ Ἡρακλωνᾶν, τὸν ἐξ αὐτῆς ἀθέσμως γεγεννημένον), ταύτην μετὰ τοῦ τέκνου ἡ ὑμετέρα σὺν Θεῷ ψῆφος ἐξήγαγεν πρὸς τὸ μὴ †τῶν ἐξαθέσμως καὶ ἐκνόμως γεννηθέντων† βασιλεύεσθαι τὴν βασιλείαν Ῥωμαίων. ἐγὼ δὲ παρακαλῶ συμβούλους ἔχειν ὑμᾶς καὶ φίλους καὶ γνώμονας τῆς ἐμῆς βασιλείας· καὶ φιλοτιμησάμενος αὐτοὺς δώροις ἀπέλυσεν. **2** ἐφ᾽ οὗ γέγονε βιαίως ἄνεμος καὶ πολλὰ δένδρα ἀνέσπασε καὶ κίονας κατέβαλε καὶ πλοῖα συνέτριψε. **3** ἀλλὰ καὶ Μαυίας, ὁ τῶν Ἀράβων ἀρχηγός, τὴν Ῥόδον καταλαβὼν καὶ παραλαβὼν τὸν κολοσσὸν Ῥόδου μετὰ ατϛ' ἔτη τῆς αὐτοῦ ἱδρύσεως καθεῖλεν· ὃν Ἰουδαῖός τις ἔμπορος ὠνησάμενος ἑπτακοσίας καμήλους ἐφόρτωσε τὸν χαλκὸν κολοσσοῦ. Μαυίας δὲ μετὰ πλοίων ἦλθεν ἐν Φοινίκῃ, ἔνθα ἦν ὁ βασιλεὺς Κώνστας μετὰ τοῦ ῥωμαϊκοῦ στόλου, ναυμαχεῖν μέλλων μετ᾽ αὐτοῦ. τῇ δὲ νυκτὶ εἶδε κατ᾽ ὄναρ ὁ βασιλεύς, ὅτι διέτριβεν ἐν Θεσσαλονίκῃ τῇ πόλει. διϋπνισθεὶς δὲ καὶ τῷ ὀνειροκρίτῃ διηγησάμενος τὸ ἐνύπνιον, ἔφη· ὦ βασιλεῦ, εἴθε μὴ ὕπνωσας τῇ νυκτὶ ταύτῃ, μήτε ὄνειρον ἐθεάσω· τὸ γὰρ εἶναί σε ἐν Θεσσαλονίκῃ »θὲς ἄλλῳ τὴν νίκην« κρίνεται· πρὸς τὸν ἐχθρόν σου ἡ νίκη τρέπεται· καὶ δὴ τοῦτο ἀπέβη· συμβαλόντες γὰρ πόλεμον ἡττῶνται Ῥωμαῖοι. ὁ δὲ βασιλεὺς μόλις διασωθεὶς ὑποστρέφει μετ᾽ αἰσχύνης ἐν Κωνσταντινουπόλει. **4** οὗτος ὁ Κώνστας τὸν ἅγιον Μάξιμον μὴ δυνηθεὶς εἰς τὴν ἑαυτοῦ κακοδοξίαν μετενέγκαι τήν τε γλῶσσαν καὶ τὴν χεῖρα αὐτοῦ ἀπέκοψεν.

§ 2: cf. Georg. Mon. 697.10–12 **13–16** ἀλλὰ – κολοσσοῦ: cf. Theoph. 345.8–11 **16–24** Μαυίας – Κωνσταντινουπόλει: cf. Theoph. 345.16–346.18; Georg. Mon. 716.10–717.3 § 4: cf. Theoph. 347.6–14; 332.2–4; 351.14–24; 347.21–23; Georg. Mon. 717.13–20

T[L] C[F_1]PH[K]

6 ἡρακλονὰν T post αὐτῆς add. ἄγαν P **7** γεγεννημένον : γεγενημένον P : γενόμενον H μετὰ τοῦ τέκνου om. H ἡμετέρα F_1 P H **8** μὴ : παρὰ L : μὴ ὑπὸ C : vide introd. III.3.1.1 τῶν : τὸν L F_1 P H K ἐξαθέσμως (ἐξἀθέσμως T) : ἐξἀθέσμων C : vide introd. III.3.1.1 ἐννόμος H γεννηθέντων : γενηθέντων F_1 : γενηθέντα P : γεννηθέντα H K **11** αὐτοὺς (sic L) : αὐτοῖς T H (sic fort. etiam P) βιαίως (sic F_1) : βίαιος L C P H **12** ἀνέπασε H K κατέβαλλε H **13** μαβίας C **13–14** καταλαβὼν (sic L) : κατέλαβεν T : παραλαβὼν H **14** τὸν : τὸ H αὐτοῦ : αὐτῆς P **15** ἔμπορος om. H ἑπτακοσίας : ἑπτακοσίους P K : ψ H **16** Μαυίας : μυίας T : μαβίας C **17** εἰς φοινίκην C τοῦ om. P H K **18** ὁ βασιλεὺς κατ᾽ ὄναρ H K **19** διϋπνησθεὶς T H K **20** διηγησάτο H post ἐνύπνιον add. ὁ δὲ P H K (cf. Theoph. 346.3) εἴθε ὦ βασιλεῦ P **21** μήτε (sic Theoph.) : μήτε τὸ T : non adhib. F_1 (μὴδὲ L, sed fort. e Georg. Mon.) **21–22** θὲς ἄλλῳ τὴν νίκην : τὴν hoc in loco non exhib. Theoph. 346.4–5 **24** μόλις om. C ὑποστρέφει : ὑπεστράφη C P H K : non adhib. L F_1 **25** κῶνστας T μὴ δυνηθεὶς τὸν ἅγιον μάξιμον P H K ἑαυτοῦ : αὐτοῦ P **26** μετενεγκεῖν P ἀπέκοψεν : ἀπέτεμε C

καὶ τὸν ἅγιον Μαρτῖνον, πάπαν Ῥώμης, ἐξώρισεν. **5** Μαυίας δέ, ὁ τῶν Ἀράβων ἀρχηγός, μετὰ ταῦτα ἐπρέσβευσε περὶ εἰρήνης πρὸς Κώνσταν διὰ τὴν εἰς αὐτὸν γενομένην ὑπὸ τῶν Ἀράβων ἀνταρσίαν καὶ ἵνα τελῶσιν ὑπὲρ τῆς τοιαύτης εἰρήνης τοῖς Ῥωμαίοις οἱ Ἄραβες καθ' ἡμέραν νομίσματα χίλια καὶ ἵππον καὶ δοῦλον. ὁ δὲ οὐκ ἐπείσθη. **6** καταλιπὼν δὲ Κωνσταντινούπολιν μετέστη ἐν Συρακούσῃ τῆς Σικελίας, βουληθεὶς ἐν Ῥώμῃ τὴν βασιλείαν μεταστῆσαι διὰ τὸ μισηθῆναι αὐτὸν ὑπὸ τῶν Βυζαντίων ὡς μονοθελήτην καὶ κακόδοξον, καταλιπὼν ἐν τῇ πόλει καὶ ἄκων τοὺς τρεῖς υἱοὺς αὐτοῦ καὶ τὴν γυναῖκα. **7** ἐδολοφονήθη δὲ ὁ αὐτὸς Κώνστας ἐν Συρακούσῃ τῆς Σικελίας ἐν τῷ βαλανείῳ σμηχόμενος. μετὰ γὰρ τοῦ κάδου κατὰ κορυφῆς λαβὼν παρὰ Ἀνδρέου ἐτεθνήκει. καὶ προβάλλονται οἱ Συρακούσιοι Νιζίζιον Ἀρμένιον εἰς βασιλέα, ὄντα λίαν εὐπρεπῆ καὶ ὡραιότατον.

---

§ 5: cf. Theoph. 347.16–18 § 6: cf. Theoph. 348.4–6; 351.14–15; 24–28; Georg. Mon. 717.11–23 § 7: cf. Theoph. 351.14–352.4; Georg. Mon. 717.23–718.4

T[L] C[F_1]PH[K]

---

27 post ἐξώρισεν add. διὰ τὸ ἐλέγχεσθαι ὑπ' αὐτοῦ τὸ μονοθέλητον αὐτοῦ (αὐτοῦ om. P) δόγμα. οὐ μόνον δέ, ἀλλὰ καὶ τὸν ἴδιον ἀδελφὸν θεοδόσιον ἔσφαξε, διάκονον χειροτονηθέντα ὑπὸ παύλου πατριάρχου. ἀρχιερεὺς δὲ κωνσταντινουπόλεως ἦν γεώργιος πρεσβύτερος καὶ σύγκελλος γενόμενος P H K μαβίας C δέ, ὁ : δὲ ὁ δὲ P **28** ἐπρέσβευε T C (πρέσβεις … ἀπέστειλε L) Κώνσταν (sic L F_1) : κώνστα T : κώνσταντα C **29** ἀρταρσίαν T **30** ὑπὲρ – εἰρήνης post τοῖς Ῥωμαίοις transp. P οἱ Ἄραβες καθ' ἡμέραν om. H **31** καταλοιπὸν H **32** μετέστη ἐν Συρακούσῃ : κατῆλθεν εἰς συράκουσαν P H K **32–36** βουληθεὶς – ἐν alt. om. P **34** μονοθέλητον P H K **35** ἄκων (ἄκον H) τοὺς (sic L F_1) : ἄκοντας T ὁ : καὶ C **36** Κώνστας (κῶνστας T) : κωνσταντῖνος H K **37** κάδδου C P κορυφῆς : κεφαλῆς H **38** προεβάλλοντο P Νιζίζιον : μιζίζιον C Ἀρμένιον post βασιλέα transp. C ὄντα λίαν om. H : λίαν om. C **39** post ὡραιότατον add. οἱ οὖν ἀγαρηνοὶ καταλαβόντες μέχρι τῆς χαλκηδόνος, πολλοὺς ἠχμαλώτευσαν. παρέλαβον δὲ καὶ τὸ ἀμόριον τῆς φρυγίας. χειμῶνος δὲ γενομένου ἐν νυκτὶ καταλαβόντες οἱ ῥωμαῖοι, διὰ ξύλων ἀνέρχονται ἐπὶ τὸ τεῖχος· καὶ τὰς πέντε χιλιάδας τοὺς ἄραβας ἀποκτείνουσιν C

113 Κωνσταντῖνος, υἱὸς Κώνστα

Κωνσταντῖνος, υἱὸς Κώνστα, ἐβασίλευσεν ἔτη ιζ'. οὗτος μαθὼν τὴν τοῦ πατρὸς ἀναίρεσιν μετὰ πλείστης ναυστολίας τὴν Σικελίαν κατέλαβεν καὶ χειρωσάμενος Νιζίζιον καὶ τοὺς τοῦ πατρὸς φονέας πάντας ἀπεκεφάλισεν, ὡσαύτως καὶ Ἰουστινιανὸν πατρίκιον, τὸν πατέρα Γερμανοῦ τοῦ γενομένου πατριάρχου. τὸν δὲ Γερμανὸν τραχύτερον ὄντα εὐνούχισεν. οὗτος ἐκλήθη Πωγωνάτος ὡς ἀγένειος ἀπελθὼν ἐπὶ τῇ τοῦ πατρὸς ἐκδικήσει, ἐπανελθὼν δὲ μετὰ πώγωνος. **2** ὑποστρέψας δὲ ἐν Κωνσταντινουπόλει ἐβασίλευσεν ἅμα τοῖς ἀδελφοῖς. ἐπιβουλευθεὶς δὲ παρ' αὐτῶν καὶ κατισχύσας ῥινοτμήτους καὶ ἐξορίστους ἐποίησεν Ἡράκλειον καὶ Τιβέριον. **3** ἐπὶ αὐτοῦ δὲ ἐξῆλθε στόλος μέγας καὶ κεφαλαὶ πλεῖσται τῶν Ἀράβων καὶ παραλαβόντες Κύζικον ἦλθον μέχρι τῆς Χρυσῆς πόρτης καὶ τοῦ Κυκλοβίου, πολέμους ποιοῦντες καθ' ἑκάστην καὶ παραχειμάζοντες ἐν τῷ κόλπῳ Κυζίκου ἐπὶ ἑπτὰ ἔτη πολεμοῦντες Κωνσταντινούπολιν. τῇ δὲ Θεοῦ χάριτι καταπολεμηθέντες ὑπὸ τῶν Βυζαντίων ὑπέστρεψεν ὁ θεοβύθιστος αὐτῶν στόλος, καὶ ὑποστρέψαντες ὑπὸ τοῦ στρατηγοῦ τῶν Κιβυρραιωτῶν αὖθις πολεμηθέντες ἡττήθησαν, ἐμπρησθέντων καὶ τῶν πλοίων αὐτῶν ὑπὸ τοῦ ὑδατώδους πυρός. Καλλίνικος γάρ τις ἀρχιτέκτων ἀπὸ Ἡλιουπόλεως Συρίας προσφυγὼν τοῖς Ῥωμαίοις πῦρ ὑγρὸν ἀρχῆθεν αὐτὸς κατεσκεύασε καὶ τὰ τῶν Ἀράβων σκάφη καταπρήσας σύμψυχα ἀπώλεσεν· καὶ οὕτως οἱ Ῥωμαῖοι

---

2 Constantinus IV. regnavit a. 668–685

---

2 Κωνσταντῖνος – ιζ': cf. Theoph. 352.10 (cf. 361.15–16); Georg. Mon. 725.13–14 **2–7** οὗτος – εὐνούχισεν: cf. Theoph. 352.4–9 § 2: cf. Theoph. 352.12–23 (cf. 360.18–20) § 3: cf. Theoph. 353.25–354.17; Georg. Mon. 727.16–728.5

T[L] C[F_1]PH[K]

---

1 Κωνσταντῖνος, υἱὸς Κώνστα : κωνσταντῖνος ὁ πωγωνάτος ἔτη ιζ in mg. C : βασιλεία κωνσταντίνου υἱοῦ κώνστα F_1 : κωνσταντῖνος, υἱὸς (ὁ υἱὸς H K) κώνστα, ὁ πωγωνάτος P H K : om. L **2** post Κωνσταντῖνος add. ὁ C F_1 H K : non adhib. L Κώνστα (κῶνστας T) : κώνσταντος C οὗτος : οὗτως T **3** ἀναίρεσιν (sic L) : αἵρεσιν T πλείστης : πλείστου στρατοῦ καὶ P ναυτιλλείας C **4** μιζίζιον C φονέας : ἀναιρέτας P : φονευτάς H K **6** τοῦ γενομένου (γενα- H) om. K ὄντα τραχύτερον P H K **8** ἐπανελθὼν (ἐπελθὼν H) δὲ : καὶ ἐπανελθὼν C ὑποστρέψας δὲ : καὶ ὑποστρέψας P **8–9** Κωνσταντινουπόλει : τῇ πόλει H **9** ἐπιβουληθεὶς P δὲ om. H αὐτῶν : αὐτοῖς P H K **10** ῥινοτομήτους P **13** ποιοῦντες πολέμους C **14** Κυζίκου : καὶ κυζίκω C P ἔτη ἑπτὰ C **15** post δὲ add. τοῦ P βυζατίων ut vid. P **16** ὑπέστρεψεν : ὑπέστρεψαν καὶ C αὐτῶν om. H post καὶ add. οἱ T : non adhib. L F_1 **17** στρατηγοῦ : στρατοῦ P K : στρατιωτοῦ H Κιβυρραιωτῶν (sic L) : κιβιραιωτῶν T : κιβυραιωτῶν C : κυβεριωτῶν H : κιβυρεωτῶν ut vid. K **18** ὑπὸ : ἀπὸ P H K **19** ἰλιουπόλεως C H K **20** ἀρχῆθεν αὐτὸς (αὐτοῖς P) : αὐτὸς ἀρχῆθεν C H καὶ τὰ : κατὰ T : καὶ κατὰ K : non adhib. L

μετὰ νίκης μεγάλης ὑπέστρεψαν, ἔκτοτε τὸ ὑγρὸν πῦρ ἐφευρόντες. **4** εἰσῆλθον δὲ οἱ Μαρδαΐται εἰς τὸν Λίβανον Συρίας καὶ ἐκράτησαν αὐτόν. καὶ Μαυίας φοβηθεὶς σφόδρα ἀποστέλλει πρέσβεις πρὸς τὸν βασιλέα ζητῶν εἰρήνην, ὑποσχόμενος καὶ ἐτήσια πάκτα. ὁ δὲ βασιλεὺς τοὺς πρέσβεις δεξάμενος ἀποστέλλει σὺν αὐτοῖς Ἰωάννην πατρίκιον, τὸν Πιττιγαύδην, ὡς πολυπειρίᾳ καὶ φρονήσει κεκοσμημένον, διαλεχθῆναι τοῖς Ἄραψι. τῶν δὲ Ἀράβων θαυμασάντων τὴν φρόνησιν καὶ ἀγχίνοιαν αὐτοῦ συνεφώνησαν παρέχειν Ῥωμαίοις κατ᾿ ἔτος χρυσοῦ χιλιάδας γ' καὶ αἰχμαλώτους χιλιάδας η' καὶ ἵππους εὐγενεῖς ν'. ταῦτα ἐστοιχήθη δίδοσθαι ἐπὶ χρόνους τριάκοντα, ὥστε εἶναι πλατεῖαν εἰρήνην ἀναμεταξὺ Ἀράβων καὶ Ῥωμαίων. **5** ὡσαύτως καὶ οἱ τὰ ἑσπέρια οἰκοῦντες Σκύθαι, ὅ τε Χαγάνος καὶ οἱ ἐπέκεινα ῥῆγες καὶ κάσταλδοι, δῶρα τῷ βασιλεῖ στείλαντες εἰρήνην ᾐτήσαντο. εἶξεν οὖν ὁ βασιλεὺς καὶ ἐκύρωσεν εἰρήνην, καὶ γέγονεν γαλήνη μεγάλη ἔν τε τῇ ἀνατολῇ καὶ δύσει. **6** ἐπὶ αὐτοῦ δὲ τοῦ βασιλέως τὸ τῶν Βουλγάρων ἔθνος διαπερᾶσαν καὶ ἀπὸ τῶν ὁμοφύλων ἀποχωρισθὲν ἐσκήνωσεν ἐν Βάρναις ἔν τισι λόχμαις καὶ ὄρεσι. τοῦ δὲ βασιλέως τοῦτο ἀκηκοότος σὺν ναυσὶ καὶ στρατῷ ἐπῆλθε κατ᾿ αὐτῶν. οἱ δὲ Βούλγαροι τοῦτο ἀθρόως θεασάμενοι καὶ τῆς ἑαυτῶν ἀπεγνωκότες σωτηρίας εἴς τι ὀχύρωμα καταφεύγουσι καὶ ἑαυτοὺς ἀσφαλίζονται. τῶν δὲ Ῥωμαίων πόλεμον μὴ δυναμένων συνάψαι διά τε τὰ τέλματα καὶ τὴν τοῦ τόπου ὀχύρωσιν ἐθρασύνθη τὸ μιαρὸν ἔθνος. συνέβη δὲ καὶ τὸν βασιλέα ποδαλγίᾳ ὀξυπαθῆσαι καὶ ἐπὶ Μεσημβρίαν ὑποστρέψαι, καταλιπὼν τοῖς στρατηγοῖς †λίμβην καὶ λόχον ποιῆσαι

§ 4–5: cf. Theoph. 355.6–356.8 § 6: cf. Theoph. 356.18sqq.; Georg. Mon. 728.15–729.16

T[L] C[F_1]PH[K]

22 τὸ om. P H K **23** δὲ om. H K τὸν : τὸ H post Λίβανον add. τῆς T (non add. L) : non adhib. F_1 **24** μαβίας C φοβηθεὶςφόδρα P **26** τὸν om. H Πιττιγαύδην : πιττικαύ^{δ} F_1 : πιτζογάβδην P : πιΐζιγαύδην H : πιτζικαύδην K (Πιτζιγαῦδιν Theoph. 355.16) **27** διαλεγχθῆναι H **27–28** τῶν – θαυμασάντων : οἱ δὲ ἄραβες θαυμάσαντες C **29** γ' : δέκα P K : ιβ H **30** εὐθενεῖς H ν' : η H : ὀκτώ K διδόσθαι T L **31** χρόνοις C P H K μεταξὺ C H K : non adhib. F_1 **32** post Ἀράβων add. τε C τὰ ἑσπέρια (sic L) : ταῦτα T Σκύθαι (sic L) : σκύθοι T **33** post καὶ alt. add. οἱ P κάσταλδοι : κἀλσταδοι ut vid. C : καστάλδοι H **34** ἠτήσαντο εἰρήνην P οὖν om. C **35** post εἰρήνην add. μεταξὺ ἀράβων καὶ ῥωμαίων· ὡς αὕτως καὶ οἱ τὰ ἑσπέρια οἰκοῦντες εἰρήνευσαν H γαλήνη μεγάλη (sic L) : γαλήνη C P K : εἰρήνη καὶ σταθηρὰ γαλήνη H : non adhib. F_1 τῇ om. P H K **37** τισι : τε ταῖς C λόγμαις T : non adhib. L F_1 **38** τοῦ – ἀκηκοότος : ὁ δὲ βασιλεὺς τοῦτο (τούτω H) ἀκηκοὼς P H K : non adhib. L F_1 **38–39** ἐπῆλθε κατ᾿ αὐτῶν : κατ᾿ αὐτῶν ἐπελθεῖν παρεσκεύασεν C **39** βούργαροι T **41** τε om. H **42** τέλματα : πάλματα T : non adhib. L F_1 ὀχυρώτητα H **43** ποδαλγίᾳ om. H ὀξυπασθῆναι H **44** καταλιπὼν : καταλιπόντα C : παρεγγυήσαντος P : παρεγγήσαντος H : παραγγυήσαντος fort. K : non adhib. L F_1 λίμβην : ἔνεδρα P : ἔνεδραν H K : non adhib. L F_1 λόχον : λόγον H

καὶ ὑποσῦραι αὐτούς. οἱ δὲ καβαλλαρικοὶ τὸν βασιλέα φεύγειν διαφημήσαντες φυγῇ ἐχρήσαντο μηδενὸς διώκοντος. οἱ δὲ Βούλγαροι τοῦτο θεασάμενοι ἐδίωξαν ὄπισθεν αὐτῶν καὶ πολλοὺς ξίφει ἀνεῖλον· καὶ ἔκτοτε διαπεράσαντες καὶ θρασυνθέντες κατεκράτησαν καὶ πλατυνθέντες τὴν ῥωμαϊκὴν χώραν ᾐχμαλώτιζον. ὅθεν ἀναγκασθεὶς ὁ βασιλεὺς εἰρήνευσε μετ᾽ αὐτῶν, ἐτήσια αὐτοῖς συμφωνήσας πάκτα ἐπ᾽ αἰσχύνῃ Ῥωμαίων διὰ πλήθους ἁμαρτιῶν ἡμῶν, ὅτι ὁ πάντας ὑποτελεῖς ποιήσας ὑπὸ μιαροῦ ἔθνους ἡττήθη. **7** ἠρεμήσας δὲ ἐκ πάντων ἥνωσε τὰς ἁγίας ἐκκλησίας καὶ σύνοδον οἰκουμενικὴν συναθροίσας ἐν Κωνσταντινουπόλει τῶν σπθ' πατέρων ἐβεβαίωσε τὰ δόγματα τῶν προλαβουσῶν ἁγίων πέντε συνόδων. ἔστεψε δὲ Ἰουστινιανόν, υἱὸν αὐτοῦ, συμβασιλεύειν αὐτῷ. **8** Μαυίου δὲ τοῦ Ἄραβος τελευτήσαντος Ἀβιμέλεχ ἐκράτησε καὶ ἀποστείλας πρέσβεις πρὸς τὸν βασιλέα ᾐτήσατο εἰρήνην τοῦ παρέχειν τριακοσίας ἑξήκοντα πέντε χιλιάδας χρυσίου νομίσματα καὶ τριακοσίους ἑξήκοντα πέντε δούλους καὶ εὐγενεῖς ἵππους τριακοσίους ἑξήκοντα πέντε καθ᾽ ἕκαστον χρόνον, ὅπως παυθῇ τὸ τῶν Μαρδαϊτῶν τάγμα ἐκ τοῦ Λιβάνου. **9** ἀπεβίωσε δὲ ὁ αὐτὸς εὐσεβὴς Κωνσταντῖνος κρατήσας ἔτη δέκα καὶ ἑπτά.

52–55 ἠρεμήσας – συνόδων: cf. Theoph. 360.10–12; Georg. Mon. 725.14sqq. **55–56** ἔστεψε – αὐτῷ: cf. Theoph. 360.19–20 § 8: cf. Theoph. 361.8–13 § 9: cf. Theoph. 361.15–16; Georg. Mon. 725.13–14; Niceph. Brev. 37.12

T[L] C[F_1]PH[K]

---

45 καὶ : εἶτα διὰ χλεύης τινὸς P H K post αὐτούς add. ἔξω P H K οἱ δὲ : ἀλλ᾽ οἱ P H K **46** διαφημίσαντες C P **47** τοῦτο : τοῦτον P **48** θρασυθέντες T : non adhib. L **48–49** πλατυθέντες T : non adhib. L **49** post ὅθεν add. καὶ P H K **50** εἰρηνεῦσαι P πάκτα συμφωνήσας H αἰσχύνης P H K **51** πλήθους (sic L) : πλῆθος C P K : non adhib. F_1 **52** μιαροῦ : μικροῦ C post πάντων add. ὁ βασιλεὺς C ἁγίας om. H **53** post οἰκουμενικὴν exhib. ποιήσας P[ac] **54** τῶν pr. : ὑπὸ H post σπθ' add. ἁγίων C **55** post συνόδων add. καὶ τὴν τῶν (τῶν om. H) μονοθελητῶν (μονοθέλητον H) αἵρεσιν ἀνεθεμάτισε, καθελὼν σέργιόν τε καὶ πύρρον. τελευτήσας δὲ ἐτέθη (ἐτάφη H K) ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων ἐν λάρνακι θετταλῇ (ἐν λάρνακι θετταλῇ om. H K). τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχε γεώργιος ὁ σύρος P H K post Ἰουστινιανόν add. τὸν C P H K (non add. L F_1) post αὐτοῦ add. τοῦ C P H K (non add. L) : non adhib. F_1 **56** μαβίου C H **57** post ἐκράτησε add. ὃς P H K πρὸς – ᾐτήσατο : ᾐτήσατο τὸν βασιλέα C **58** τριακοσία ut vid. C χρυσοῦ νομισμάτων C **59** καὶ pr. om. H τριακοσίους ἑξήκοντα πέντε : ξε H εὐγενεῖς om. T (quod exhib. L) **60** παυθεῖ H **61** τάγμα : τάγματα P : γένος H ἀπεβίωσε (sic F_1) : ἀπεβίω L C P H K **62** κρατήσας : βασιλεύσας C post δέκα καὶ ἑπτά (ιβ L : δέκα ἑπτά C K (ιζ P H) : κζ F_1) add. ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ σύνοδος ἡ ἕκτη· ἡ συναθροισθεῖσα παρὰ τοῦ αὐτοῦ κωνσταντίνου ὡς προλέλεκται· κατὰ σεργίου καὶ πύρρου τῶν μονοθελητῶν· ὁ γὰρ σέργιος· καὶ πύρρος· καὶ μακάριος· ἀρχηγοὶ τῆς τῶν μονοθελητῶν αἱρέσεως ἐγένοντο· διὸ καὶ ἀνεθεματίσθησαν ὑπὸ τῶν διακοσίων ὀγδοήκοντα καὶ ἐννέα ἁγίων πατέρων· δύο φύσεις καὶ θελήματα· καὶ δύο φυσικὰς ἐνεργείας τοῦ χριστοῦ δογματισάντων C

114 Ἰουστινιανός, υἱὸς αὐτοῦ

Ἰουστινιανός, υἱὸς αὐτοῦ, ἐβασίλευσεν ἔτη ιϛʹ. οὗτος ἀπέστειλε πρὸς Ἀβιμέλεχ ἀσφαλίσασθαι τὰ στοιχηθέντα ἐγγράφως ἐπὶ τοῦ αὐτοῦ πατρὸς καὶ πέμψας παρέστειλε τοὺς Μαρδαΐτας χιλιάδας ιβʹ, ὢ τῆς ἀνοίας, τὴν ῥωμαϊκὴν δυναστείαν ἀκρωτηριάσας. πάνδεινα γὰρ κακὰ ἔκτοτε πέπονθεν ἡ Ῥωμανία ὑπὸ τῶν Ἀράβων μέχρι τοῦ νῦν τούτων παρασταλέντων. **2** ἔλυσε δὲ καὶ τὴν τῶν Βουλγάρων εἰρήνην. ἐπιστρατεύσας δὲ ἐπὶ τὰ δυτικὰ μέρη πολλὰ τῶν Σκλάβων πλήθη τὰ μὲν πολέμῳ, τὰ δὲ λόγῳ παραλαβὼν ὑπέστρεψεν. ἀφ᾿ ὧν ἐπιλεξάμενος καὶ στρατεύσας χιλιάδας τριάκοντα λαὸν περιούσιον τούτους ἐπωνόμασεν. οὓς δὴ καθοπλίσας καὶ ἰδιοποιησάμενος καὶ τῇ τούτων συμμαχίᾳ πεποιθὼς λύει τὴν μεταξὺ Ῥωμαίων καὶ Ἀγαρηνῶν εἰρήνην ἐξ ἀνοίας. καὶ λαβὼν τὸν περιούσιον, ἢ μᾶλλον εἰπεῖν ἀνόσιον, λαὸν καὶ τὰ λοιπὰ στρατεύματα πρὸς τὴν Σεβαστόπολιν ἀπῆρεν. ἐν ᾗ καὶ οἱ Ἀγαρηνοὶ παραγενόμενοι καὶ προμαρτυρόμενοι αὐτῷ τὰ μεθ᾿ ὅρκων συμφωνηθέντα μὴ διαστρέψαι, ἐπείτοι γε κριτὴς ὁ Θεὸς καὶ ἔκδικος γενήσεται, οὐ κατεδέξατο τὰ τῆς εἰρήνης ὁ βασιλεύς, ἀλλὰ πρὸς πόλεμον παρετάσσετο. καὶ δὴ παραυτίκα ἁπλώσαντες οἱ Ἀγαρηνοὶ τὸν τῆς εἰρήνης ἔγγραφον χάρτην καὶ ἐπὶ δόρατος ἀναρτήσαντες ὥρμησαν κατὰ Ῥωμαίων. καὶ συμβολῆς γενομένης ηὐτομόλησαν ἐκ τῶν Σκλάβων πρὸς τοὺς Ἀγαρηνοὺς χιλιάδες κʹ, καὶ οὕτως τῶν Ῥωμαίων δεινῶς τραπέντων καὶ ἀναριθμήτων σφαγέντων ἡ δικαιοκρισία καὶ νίκη πρὸς τοὺς

---

2 Iustinianus II. regnavit a. 685–95 (et 705–11: cf. cap. 117 infra)

---

2 Ἰουστινιανός – ιϛʹ: cf. Theoph. 361.25–28; 363.1–5; 374.24; Georg. Mon. 729.18–19 **2–7** οὗτος – παρασταλέντων: cf. Theoph. 363.6–20; Niceph. Brev. 38.15–16 (**4–7** καὶ – παρασταλέντων) § 2–4: cf. Theoph. 365.30–366.23; Georg. Mon. 729.19–731.3; Niceph. Brev. 38

T[L] C[F_1]PH[K]

---

1 Ἰουστινιανός, υἱὸς αὐτοῦ : ἰουστινιανὸς ὁ *νέος* ὁ καὶ ῥινότμητος, ἔτη ις in mg. C : βασιλεία ἱουστινιανοῦ υἱοῦ αὐτοῦ F_1 : ἰουστινιανὸς ὁ υἱὸς αὐτοῦ ὁ ῥινότμητος P : ἰουστιανὸς ὁ ῥινότμητος H : ἰουστινιανός K : tit. non exhib. L **2** post Ἰουστινιανός add. ὁ C F_1 P H K (non add. L) **3** post Ἀβιμέλεχ add. αἰτῶν H **3–4** πατρὸς αὐτοῦ C **5–6** ἔκτοτε πέπονθεν : ἔπαθεν ἔκτωτε H **6–7** ἀποσταλέντων H **7** καὶ τὴν τῶν Βουλγάρων (sic L) : ἐπιταδυτικαγάρων T **8** δὲ om. F_1 H K **9** ἀφ᾿ : ἐφ᾿ H K **12** Ῥωμαίων καὶ Ἀγαρηνῶν : ἀράβων τὲ καὶ ῥωμαίων C **13** ἀνόσιον εἰπεῖν P H K **14** τὴν om. H K σεβαστούπολιν P H K **15** περιγενόμενοι H K προμαρτυρόμενοι : πρὸσμαρτυρόμενοι T C : προμαρτυρώμενοι L : προμαρτυρούμενοι F_1 P H K **17** τὰ τῆς εἰρήνης : τὴν εἰρήνην H **18** ἁπλώσαντες : hoc in loco λύσαντες exhib. Georg. Mon. 730.11 Theoph. 366.13 ἀγαρινοὶ T **19** δῶρατο T **21** οὔτω C **22** ἀριθμήτων T post δικαιοκρισία exhib. πρὸς P^{ac}

ἐναντίους ἐχώρησε, διδάσκουσα μὴ παραβαίνειν θεῖον ὅρκον πώποτε, κἂν πρὸς ἐναντίους καὶ ἀπίστους γένηται. **3** πεφευγότος δὲ τοῦ βασιλέως καὶ φθάσαντος ἐν τῷ παρὰ θάλασσαν τόπῳ τοῦ Λευκάτου μετ' αἰσχύνης πολλῆς καὶ ἥττης ἀνεῖλε τὰς περιλειφθείσας ι' χιλιάδας τῶν Σκλάβων. καὶ ἔκτοτε πλείω θρασυνθέντες οἱ Ἀγαρηνοὶ σφοδρότερον ἐληΐζοντο τὴν Ῥωμανίαν, ἔχοντες εἰς βοήθειαν καὶ τοὺς πρόσφυγας Σκλάβους. τοῦ δὲ βασιλέως εἰσελθόντος ἐν τῇ πόλει γέγονεν ἡλιακὴ ἔκλειψις, ὥστε καὶ τοὺς ἀστέρας φανῆναι. **4** Ἰουστινιανὸς δὲ τὰ τοῦ παλατίου κτίσματα ἐπεμελεῖτο, τὸν Ἰουστινιανοῦ λεγόμενον τρίκλινον κτίσας καὶ τὰ πέριξ τοῦ παλατίου, ἔχων Στέφανον σακελλάριον αὐτοῦ καὶ πρωτευνοῦχον, αἱμοβόρον ὄντα καὶ ἀπηνῆ, αἰκίζοντα ἀνηλεῶς τοὺς ἐργολάβους, ὡς καὶ τὴν μητέρα τοῦ βασιλέως τυπτῆσαι· ὃς εἰς τὸ πολιτικὸν κακὰ ἐνδεικνύμενος καὶ ἐκ τῶν οἰκητόρων τῆς πόλεως ἀπαιτήσεις καὶ ἐκταγὰς ἀπροφασίστως ποιούμενος ἐκ τούτου μισητὸν τὸν βασιλέα τῇ πόλει πεποίηκεν. **5** ὁ δέ γε βασιλεὺς βουλόμενος κτίσαι τῷ δήμῳ βάθραν καὶ στάσιν ἀπῄτει Καλλίνικον τὸν πατριάρχην εὐχὴν ποιῆσαι τοῦ καταλυθῆναι τὴν ἐκκλησίαν τῆς ὑπεραγίας Θεοτόκου, τὴν οὖσαν πλησίον τοῦ παλατίου, βουλόμενος στῆσαι φιάλην καὶ βάθραν κτίσαι τῷ δήμῳ πρὸς τὸ ἐκεῖσε γίγνεσθαι τὸ λεγόμενον σαξιμοδέξιμον. ὁ δὲ πατριάρχης ἔλεγεν, ὅτι εὐχὴν ἐπὶ συστάσει ἐκκλησίας ἔχομεν, ἐπὶ δὲ καταλύσει οὐ παρελάβομεν. βιασθεὶς δὲ καὶ ἀπαιτούμενος τὴν εὐχὴν ἔφη· δόξα τῷ Θεῷ τῷ ἀνεχομένῳ πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶ-

---

29–30 *γέγονεν – φανῆναι*: cf. Theoph. 367.8–9 § 4: cf. Theoph. 367.12–22; Niceph. Brev. 39 § 5: cf. Theoph. 367.32–368.10; Georg. Mon. 731.2–15

T[L] C[F_1]PH[K]

---

23 προβαίνειν P H K θεῖον ὅρκον (sic L) : θείων ὅρκων H K : θεῖον νο^{μ} F_1 πώποτε : ποτέ H **24** post πρὸς add. τοὺς P H K **24–25** πεφευγότος – φθάσαντος : τοῦ δὲ βασιλέως φθάσαντος F_1 : πεφευγὼς δὲ ὁ βασιλεὺς καὶ φθάσας P H K **25** παρὰ – Λευκάτου : τόπου τοῦ λευκάτου, τὸ παραθάλασσαν H **26** ἀνεῖλε – χιλιάδας : ἀνηρέθησαν κατὰ πρόσταξιν αὐτοῦ καὶ αἱ περιλειφθεῖσαι δέκα χιλιάδες C περιληφθήσας T H **27** πλείω : πλέον C : πλοίον H **28** καὶ om. C H πρόσφυγας (sic L) : προσφύγους T H : non adhib. F_1 **29** εἰς τὴν πόλιν P H K **30** post δὲ fort. scrib. εἰς sec. Theoph. 367.13 (cf. autem ind. graecitatis s.v. *ἐπιμελέομαι*) **30–31** τὰ – κτίσματα : τῶν τοῦ παλατίου κτισμάτων C **31** ἐπειμελεῖτω H **32** post κτίσας add. καὶ ποικίλοις (ποικίλως H) κοσμήσας μαρμάροις (μετὰ μαργάρων H) P H K καὶ τὰ : σὺν τοῖς H Στέφανον om. C **34** post ἐργολάβους add. καὶ τοσοῦτον ἀπηνῆ P H K τυπτῆσαι : τυπτῆναι F_1 : τυπῆσαι P : πτῦσαι H post ὃς add. καὶ P H K εἰς (sic L) om. T **35** πολιτικὸν : πολιτικὸν πολλὰ F_1 : πολιτικὸν πλεῖστα P H K post πόλεως add. πλείστας H **36** ἀπροφασίστους P H K ἐκ τούτου om. P H K **37** τῇ πόλει om. C **38** βάθρα P εὐχὴν om. H **39** τοῦ om. H **40–41** βουλόμενος – σαξιμοδέξιμον (σαξιμοδέξϊον P) fort. del. (vide introd. III.3.1.1) **41** γίγνεσθαι T (sic L) : γίνεσθαι C F_1 P K : γενέσθαι H **42** εὐχὴν : ἀρχὴν H ἔχομεν : καὶ εὐχὴν παρελάβωμεν H ἐπὶ : ἐπεὶ T H **43** τὴν om. H **44** πάντοτε : πάντα P H K

νας τῶν αἰώνων· καὶ παρευθὺ κατέλυσαν τὴν ἐκκλησίαν. **6** Λεόντιος δὲ ὁ πατρίκιος ἐν ὑπολήψει ὢν τῆς βασιλείας καὶ διὰ τοῦτο ἐναπόκλειστος γεγονὼς ἐπὶ ἔτη β', τότε ἐκπεμφθεὶς παρὰ Ἰουστινιανοῦ στρατηγὸς ἐν Ἑλλάδι καὶ φίλῳ αὐτοῦ Παύλῳ, μοναχῷ καὶ ἀστρονόμῳ, ἐντυχών, ὃς προεῖπεν αὐτῷ τὴν βασιλείαν κρατῆσαι, πρὸς αὐτὸν καὶ τοῖς λοιποῖς αὐτοῦ φίλοις ἰδιαζόντως ἔφη· ἰδού, ὄπισθέν μου ἀποστέλλει ὁ βασιλεὺς καὶ αἴρει τὴν κεφαλήν μου, καὶ ψευδῆ εἰσιν, ἅ μοι ἐπηγγείλασθε περὶ βασιλείας. οἱ δὲ εἶπον· αὐτὸς μὴ ὀκνήσῃς, καὶ τοῦτο εὐθέως πληροῦται. **7** καὶ λαβὼν αὐτοὺς ἦλθε καὶ ἔκλασε τὰς δημοσίας φυλακάς, συλλαβόμενος ὄχλον πολὺν μετ᾽ αὐτοῦ. ἐξελθὼν δὲ εἰς τὸν φόρον ἐκήρυξαν παντὶ τῷ λαῷ βοῶντες· ὅσοι Χριστιανοὶ εἰς τὴν ἁγίαν Σοφίαν. καὶ ἐπισυναχθὲν τὸ πλῆθος ἔκραζον· ἀνασκαφεῖ τὰ ὀστᾶ Ἰουστινιανοῦ. καὶ ἐλθὼν ἐν τῷ ἱπποδρομίῳ ἀναγορεύεται βασιλεύς. καὶ ἡμέρας γενομένης ἐξαγαγὼν Ἰουστινιανὸν εἰς τὸ ἱππικόν, ῥινότμητον ποιήσας ἐν τῇ Σφενδόνῃ ἐξώρισεν ἐν Χερσῶνι. ὁ δὲ ὄχλος συλλαβόμενος Στέφανον τὸν σακελλάριον, τὸν καὶ εὐνοῦχον, καὶ Θεόδοτον τὸν γενικὸν σχοινίοις τε ἐκ ποδῶν δήσαντες ἔσυραν διὰ τῆς Μέσης καὶ εἰς τὸν Βοῦν ἔκαυσαν.

---

§ 6–7: cf. Theoph. 368.15–369.30; Georg. Mon. 731.17–20; Niceph. Brev. 40

T[L] C[F_1]PH[K]

---

45 post αἰώνων add. ἀμήν C H κατέλυσαν (sic L Georg. Mon. Theoph.) : κατέλυσε T : κατελύθη F_1 **47** β' : 3 annos sec. Theoph. 368.20 post τότε add. δὲ P H K **47–48** ἐν Ἑλλάδι (sic L) : ἑλλάδι T : εἰς ἑλλάδα P H K : om. F_1 **48** καὶ – αὐτοῦ post ἀστρονόμῳ transp. C post ὃς add. καὶ P H K **49** τὴν βασιλείαν (sic L F_1) : τῆς βασιλείας C P H K post αὐτὸν add. τε P H K : non adhib. F_1 **49–50** τοῖς λοιποῖς αὐτοῦ φίλοις (sic L) : τοὺς λοιποὺς φίλους αὐτοῦ P : τοὺς λοιποὺς αὐτοῦ φίλους C H K : non adhib. F_1 **51** post ψευδῆ add. μοι P H K ἐπιγγέλεσθαι H post περὶ add. τῆς H **52** ὀκνήσῃς (sic L) : ὀκνήσεις T K post εὐθέως add. καὶ ἄρτι P H K **53** δημοσίους H **54** ἐξελθόντες C **55–56** ἐπισυναχθὲν (sic L) : συναχθὲν πᾶν T **56** τὸ om. L F_1 P ἀνασκαφεῖ (sic L) : -ήτω C : -η$^{τ'}$ F_1 : -είη P K : -ίει H : fort. scrib. ἀνασκαφῇ sec. Theoph. 369.22 (sic etiam Tafel) post ὀστᾶ add. τοῦ C καὶ ἐλθὼν : ἐξελθὼν δὲ λεόντιος P H K **57** εἰς τὸ ἱπποδρόμιον P H K γινομένης H **57–58** post ἐξαγαγὼν exhib. εἰς τὸ P^{ac} **58** post ἱππικόν add. καὶ P H K **59** ἐν Χερσῶνι : χερσῶνι F_1 : εἰς χερσῶνα P H K συλλαβόμενοι C τὸν om. P **60** καὶ pr. om. L P H K : non adhib. F_1 τὸν γενικόν : γενικόν P K : γεννικόν H σχοινίοις (σχοίνοις P) τε : σχοινίοις H : σχοίνις τε fort. K **61** post Βοῦν add. ἀγαγόντες P H K

115 Λεόντιος

Λεόντιος ἐβασίλευσεν ἔτη γ'. **2** ἐφ' οὗ οἱ Ἄραβες τὴν Ἀφρικὴν στρατεύσαντες παρέλαβον. ὁ δὲ Λεόντιος ταῦτα μαθὼν ἀποστέλλει τὸν πατρίκιον Ἰωάννην, ἄνδρα ἱκανόν, μετὰ τοῦ ῥωμαϊκοῦ στόλου· ὃς τοὺς ἐχθροὺς κατατροπωσάμενος ἠλευθέρωσε τὴν Ἀφρικὴν καὶ ταῦτα ἀναγαγὼν τῷ βασιλεῖ ἐκεῖσε παρεχείμασεν. ὁ δὲ πρωτοσύμβουλος ταῦτα μαθὼν δύναμιν πολλὴν Ἀγαρηνῶν ἀπέστειλε κατὰ Ἰωάννου καὶ τοῦτον ἐξεδίωξεν. ὁ δὲ Ἰωάννης ἐπὶ Ῥωμανίαν ἀνέκαμψεν, δύναμιν πλείω βουλόμενος ἀναλαβεῖν. **3** ἐλθόντος δὲ ἕως Κρήτης, ἐπὶ τὸν βασιλέα πορευομένου, ὁ στρατὸς ὑπὸ τῶν ἰδίων ἀρχόντων ἀνατραπεὶς εἰς βουλὴν πονηρὰν ἐξετράπη καὶ φονεύσαντες Ἰωάννην πατρίκιον καὶ τὸν βασιλέα ἀναθεματίσαντες Ἀψίμαρον, δρουγγάριον τῶν Κιβυρραιωτῶν, βασιλέα ἀνηγόρευσαν, Τιβέριον ὀνομάσαντες. **4** τοῦ δὲ Λεοντίου τὸν τοῦ Νεωρίου λιμένα ἐκκαθαίροντος ἡ τοῦ βουβῶνος λύμη ἐνέσκηψε τῇ πόλει καὶ πλῆθος λαοῦ διέφθειρε. **5** κατέλαβε δὲ Ἀψίμαρος ἅμα τῷ στόλῳ καὶ προσώρμισεν ἐν Συκαῖς. τῆς δὲ πόλεως Λεόντιον προδοῦναι μὴ βουλομένης προδοσία γέγονε διὰ τῆς τῶν Βλαχερνῶν πόρτης, καὶ τὸν Λεόντιον χειρωσάμενος Ἀψίμαρος καὶ ῥινοκοπήσας ἐν τῇ μονῇ τῆς Δαλμάτου περιώρισε καὶ πάντας τοὺς φίλους αὐτοῦ τύψας καὶ δημεύσας ἐξώρισεν.

---

2 Leontius regnavit a. 695–698

---

§ 1: cf. Theoph. 369.31; Georg. Mon. 731.22 § 2–5: cf. Theoph. 370.6–371.9; Niceph. Brev. 41 § 2–3: cf. Georg. Mon. 731.22–732.4 § 5: cf. Georg. Mon. 732.4–8

T[L] C[F_1]PH[K]

---

1 Λεόντιος : βασιλεία λεοντίου ἔτη γ in mg. C : om. L H (sed de H vide infra) **2** post γ' add. (sed potius transp., vide supra) λεόντιος H **2–3** ἐκστρατεύσαντες P H K **3** τὸν om. C **4** τοῦ om. L P H K : non adhib. F_1 **6** ἐκεῖσε om. C πρωτοσύμβουλος (sic L) : πρῶτος σύμβουλος T : non adhib. F_1 **8** ἐδίωξεν H K ἀνέκαμψεν : ἔκαμψε P K : ἔστρεψε H **9** ἐλθόντος : ἐλθόντες H : ἦλθε C post Κρήτης add. τὴν C **9–10** πορευομένου : πορευόμενοι H : πορευόμενος καὶ C **11** ἐξετράπην H **12** ἀψίμαρρον H post δρουγγάριον add. τῶν πλοΐμων (πλω- P) P H K Κιβυρραιωτῶν (sic L) : κοιβιραιωτῶν T : κιβυραιωτῶν C : κηβηρεωτῶν F_1 : κυβιριωτῶν H **14** βουβῶνος (sic L) : βοβῶνος T : βωβῶνος F_1 : βομβῶνος P H K ἐνέσκηψε : ἐνέκυψε H **15** post δὲ add. ὁ P H K ἀψίμαρρος H **16** προσώρμησεν T H **16–17** τῆς δὲ πόλεως λεοντίου παραδοῦναι μὴ βουλομένου H **16** προδοῦναι : παραδοῦναι P H K **18** post χειρωσάμενος add. ὁ C K ἀψίμαρρος H τῆς : τῇ C

116 Ἀψίμαρος ὁ καὶ Τιβέριος

Ἀψίμαρος ἐβασίλευσεν ἔτη ζʹ. ἐφ᾽ οὗ γέγονε θανατικὸν μέγα, καὶ Ῥωμαῖοι τὴν Συρίαν ληϊσάμενοι κατέσφαξαν μέχρι χιλιάδων σʹ. **2** Ἀψίμαρος δὲ Φιλιππικόν, υἱὸν Νικηφόρου πατρικίου, εἰς Κεφαληνίαν ἐξώρισεν ὡς ὀνειροπολούμενον βασιλεῦσαι. κατ᾽ ὄναρ γὰρ ἔλεγεν ἑωρακέναι τὴν κεφαλὴν αὐτοῦ ὑπὸ ἀετοῦ σκεπάζεσθαι. καὶ ταῦτα ἀκούσας ὁ βασιλεὺς τοῦτον ἐξώρισεν. **3** ὁ δὲ Ἰουστινιανὸς ἐν Χερσῶνι ἐφήμιζεν, ὡς πάλιν τὴν βασιλείαν ἀπολήψοιτο. οἱ δὲ οἰκήτορες φοβηθέντες ἐβουλεύσαντο ἢ φονεῦσαι τοῦτον ἢ τῷ βασιλεῖ παραπέμψαι. τοῦτο δὲ γνοὺς Ἰουστινιανὸς ἐν Χαζαρίᾳ φεύγει, καὶ ἐξέδοτο αὐτῷ εἰς γυναῖκα ὁ Χάζαρος τὴν αὐτοῦ ἀδελφὴν Θεοδώραν. ταῦτα μαθὼν Ἀψίμαρος πέμπει πρὸς χαγάνον πολλὰ δῶρα ὑπισχνούμενος αὐτῷ, εἰ τὸν Ἰουστινιανὸν ζῶντα, ἢ κἂν τὴν κεφαλὴν αὐτοῦ, ἀποστείλαι αὐτῷ. ὁ δὲ Ἰουστινιανὸς ταῦτα μαθών, κατελθὼν ἐν Χερσῶνι λάθρᾳ καί τινας ἀναλαβόμενος ἀπέπλευσεν ἐπὶ τὸ στόμιον τοῦ Ἴστρου. καὶ κλύδωνος γενομένου καὶ πάντων ἀπογνόντων διὰ τὸν κλύδωνα οἰκεῖος αὐτοῦ τις ἔφη· εἰ περισωθεῖς, ὦ δέσποτα, καί σοι τὴν βασιλείαν ὁ Θεὸς ἀποδῷ, δὸς λόγον μηδένα τῶν ἐχθρῶν ἀμύνασθαι. ὁ δὲ ἐν θυμῷ καὶ ὀργῇ ἔφη· ἐνταῦθά με καταποντίσει

---

2 Apsimarus (i.e. Tiberius II.) regnavit a. 698–705

---

2 Ἀψίμαρος – ζʹ: cf. Theoph. 371.14–18; 361.27; Georg. Mon. 732.10–11 **2–3** ἐφ᾽ – σʹ: cf. Theoph. 371.23–30 § 2: cf. Theoph. 372.7–11 § 3–4: cf. Theoph. 372.26–375.3; Georg. Mon. 732.3–18; Niceph. Brev. 42

T[L] C[F_1]PH[K]

---

1 Ἀψίμαρος, ὁ καὶ Τιβέριος : ἀψΐμαρος ὁ καὶ τιβέριος ἔτη ζ in mg. C : βασιλέως ἀψιμάρου F_1 : ἀψίμαρρος H : om. T L **2** post Ἀψίμαρος (ἀψίμαρρος H) add. ὁ καὶ τιβέριος C **3** ἀψίμαρρος H **4** Κεφαληνίαν : καιφαλινίαν T : κεφαλινίαν H ἐξώρισεν : ἐξόρισαν H **5** ὀνειροπολούμενον : ὀνειροπολοῦντα τὸ (τῶ H K) P H K γὰρ om. P H K **6** ἀετοῦ σκεπάζεσθαι (sic L) : ἀετίου σκιάζεσθαι T : ἀετοῦ σκεπαζομένην C : non adhib. F_1 (ἐσκιάζετο ὑπὸ ἀετοῦ Theoph. 372.10) καὶ ταῦτα : ὅπερ P H K **7** εὐφήμησεν H **7–8** ὡς ἀπολήψητω τὴν βασιλείαν πάλιν H **9** post γνοὺς add. ὁ C **10** εἰς χαζαρίαν P H K καὶ ἐξέδοτο : ἐξέδοτο δὲ C χάζαρις C **11** αὐτοῦ : ἑαυτοῦ L C ἀψίμαρρος H **12** εἰ (sic L : cf. Theoph. 373.5) : ἢ T : ἢ P H K : non adhib. F_1 **13** ἀποστείλαι (cf. Theoph. 373.5) : ἀποστεῖλαι T F_1 P K : ἀποστείλει L : ἀποστείλη C ταῦτα : τοῦτο C : om. H **14** κατελθὼν : ἀπελθὼν P H : om. K καὶ λάθρα H τινας : ναῦν P H K **15** τὸ om. C post Ἴστρου (ΐστρου T) add. τὸν πλοῦν ποιούμενος P H K γενομένου (sic L) : γεναμένου T **16** αὐτοῦ (P per comp.) : αὐτῶ C εἰ περισωθεῖς : εἰπερισωθείης L : εἴπερ σωθείης C : fort. scrib. εἰ περισωθῇς (sic Bekker Tafel) **17** ὁ om. C **18** post ἐχθρῶν add. σου T H (non add. L F_1 K) με (sic C F_1 H) : μοι T L P K καταποντίσει (sic F_1) : κατὰποντίσοι L : καταποντίσαι C : καταποντῆσαι H : fort. scrib. καταποντίσῃ sec. Theoph. 373.27–28 (sic etiam Tafel)

Κύριος, εἰ φείσομαί τινος ἐξ αὐτῶν. **4** διασωθεὶς δὲ ἐκ τοῦ κλύδωνος ἀπέστειλε πρὸς Τέρβελιν τὸν Βούλγαρον δοῦναι αὐτῷ συμμαχίαν τοῦ κρατῆσαι τὴν προγονικὴν βασιλείαν καὶ πλεῖστα δῶρα παρασχεῖν αὐτῷ. ὁ δὲ οὐ μόνον συμμαχίαν, ἀλλὰ καὶ ἑαυτὸν ἐπιδέδωκεν· ἅμα γὰρ αὐτῷ μετὰ πλείστης δυνάμεως ἐπὶ τὴν βασιλεύουσαν παρεγένετο. **5** εἰσῆλθε δὲ Ἰουστινιανὸς σὺν ὀλίγοις ὁμοφύλοις διὰ τοῦ ἀγωγοῦ κατὰ προδοσίαν τινῶν τῶν ἐν τῇ πόλει καὶ ἐξῆλθεν ἐν τῇ ἁγίᾳ Ἄννῃ τὸ λεγόμενον δι᾽ αὐτὸν ἔκτοτε δεύτερον καὶ κατεσκήνωσεν ἐν τῷ παλατίῳ Βλαχερνῶν, ἀπολαβὼν τὴν αὐτοῦ βασιλείαν· ὅπερ μαθὼν Ἀψίμαρος εἰς Ἀπολλωνιάδα φεύγει.

117 Ἰουστινιανός

Ἰουστινιανὸς τὴν βασιλείαν τὸ δεύτερον ἀπολαβών, δῶρα πολλὰ τῷ Τέρβελι δοὺς καὶ χώραν τῶν Ῥωμαίων ἐκκόψας δίδωσιν αὐτῷ τὰ λεγόμενα νῦν Ζαγόρια. **2** Ἀψίμαρον δὲ ἀποστείλας ἐχειρώσατο. Ἡράκλειον δέ, ἀδελφὸν αὐτοῦ, †καὶ πᾶσι τοῖς συνασπιζομένοις αὐτῷ ἄρχουσιν ἐν τῷ τείχει πάντας ἀνεσκολόπισεν. Ἀψίμαρον δὲ καὶ Λεόντιον ἁλύσεσι δεσμεύσας ἤγαγεν ἐν τῷ καθίσματι τοῦ ἱπποδρομίου, καὶ τοὺς αὐχένας αὐτῶν πατοῦντος ἄχρις ἀπολύσεως τοῦ πρώτου βαΐου ὁ δῆ-

---

2 Iustinianus II. iterum regnavit a. 705–711

---

§ 1: cf. Theoph. 374.28–375.1 **2–4** δῶρα – Ζαγόρια: cf. Niceph. Brev. 42.58–64 § 2: cf. Theoph. 375.1–21; Georg. Mon. 732.21sqq. **4–11** Ἀψίμαρον – ἀπεκεφάλισε: cf. Niceph. Brev. 42.49–58

T[L] C[F_1]PH[K]

---

19 Κύριος : ὁ θεός H φείσομαι (sic L) : φήσωμαι T ἐξ αὐτῶν : τῶν ἐχθρῶν C **20** Τέρβελιν : τέρβελον P : τέλβεριν H **21** post προγονικὴν add. αὐτοῦ C **22** post μόνον add. τὴν C post συμμαχίαν add. δέδωκεν C **24** κατὰ : μετὰ H **25** τινῶν post πόλει transp. C εἰς τὴν ἁγίαν ἄνναν P H K τὸ : κατὰ τὸ? in app. Tafel **26** ἔκτοτε δι᾽ αὐτὸν C post παλατίῳ add. τῶν C **27** ἀψίμαρρος H **28** ἀπολωνιάδα H K **cap. 117.1** Ἰουστινιανός : βασιλεία ἰουστϊνϊανοῦ τοῦ ῥϊνοτμήτου in mg. C : βασιλεία ϊουστινιανοῦ τὸ δεύτερον F_1 : ἰουστινιανὸς τὸ δεύτερον, ὁ ῥινότμητος P K : οὐστινιανὸς τὸ δεύτερον H : om. L **2** post ἀπολαβών add. ἐβασίλευσεν ἔτη ἕξ P H K **3** Τέρβελι (sic L) : τέρβελη T : τέλβερι H ῥωμαί H **4** Ζαγόρια : ζαγῶρια H : ζαγώρια K ἀψίμαρρος H post ἐχειρώσατο add. καὶ P K **5** δέ : τὸν P H K καὶ (sic L) : σὺν C P H K Theoph. fort. recte (sic etiam Tafel : καὶ πάντας … -μένους F_1) (vide introd. III.3.1.1) συνασπιζομένοις (-απ- H) αὐτῷ (αὐ^{τ} F_1) : αὐτοῖς P H K **6** post ἄρχουσιν add. καὶ τοὺς μὲν ἄλλους P H K τῷ om. H τείχει (τείχη T) : χειμῶνι P H K πάντας om. C ἀνεσκολόπισεν : ἀνασκολοπίσας (-ήσας H) P H : ἀνασκαλωπίσας K ἀψίμαρρον H post Λεόντιον add. τοὺς βασιλεῖς C **7** ἱπποδρόμου H **8** πατοῦντος (sic L) : πατοῦντος αὐτοῦ C : πατῶν ἦν P H K ἄχρι C H ὁ : καὶ ὁ F_1 : ὁ δὲ P H

μος ἐβόα· ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπέβης καὶ κατεπάτησας λέοντα καὶ δράκοντα· καὶ οὕτως ἀποστείλας αὐτοὺς ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισε. Καλλίνικον δὲ τὸν πατριάρχην τυφλώσας ἐξώρισε καὶ πολλοὺς τῶν ὄντων ἐν τῇ πόλει ἀπώλεσε θανάτῳ, ὥστε φόβον μέγαν γενέσθαι. **3** ἀποστείλας δὲ ἤγαγε Θεοδώραν, τὴν ἐκ Χαζαρίας, καὶ Τιβέριον, υἱὸν αὐτῆς, καὶ συνεβασίλευσαν αὐτῷ. **4** λύσας δὲ τὴν εἰρήνην τῶν Βουλγάρων ἐπεστράτευσε κατ᾽ αὐτῶν καὶ καταπολεμηθεὶς ἐν φρουρίῳ καταφυγὼν καὶ τοὺς ἵππους νευροκοπήσας, εἰς τὰ σκάφη ἐπιβὰς μετ᾽ αἰσχύνης ἦλθεν εἰς Κωνσταντινούπολιν. Χερσωνίταις δὲ μνησικακῶν ἀπὸ τῆς ἐξορίας αὐτοῦ, ἀποστείλας Μαῦρον πατρίκιον πάντας κατέσφαξε καὶ τὰ νήπια αὐτῶν κατηδάφισεν. **5** ὁ δὲ Φιλιππικός, ὁ καὶ Βαρδάνης, ἐκεῖσε ὢν ἐξόριστος καί τινας τῶν στρατιωτῶν ὑπονοθεύσας καὶ πρὸς τὴν αὐτοῦ ἑλκύσας εὔνοιαν διὰ τὴν τοῦ Ἰουστινιανοῦ ἀπήνειαν καὶ ὠμότητα τοῦτον εὐφήμησαν εἰς βασιλέα καὶ μετὰ στόλου ἐξέπεμψαν πρὸς τὴν πόλιν· ὅπερ γνοὺς Ἰουστινιανός, ἐπὶ πλεῖον φοβηθεὶς καὶ θυμωθεὶς ἀνῆλθε μέχρι Σινώπης, ἀκριβέστερον περὶ τούτου μαθών. τοῦ δὲ Φιλιππικοῦ σὺν τῷ στόλῳ τὴν πόλιν καταλαβόντος Ἰουστινιανὸς πρὸς τὸν Δαματρὺν ἀπέδρα καταλειφθεὶς ὑπὸ πάντων· ὃν αὐτίκα Φιλιππικὸς χειρωσάμενος τὴν κεφαλὴν ἀφείλετο καὶ τοῖς Σκύθαις ἐξέπεμψεν.

9–10 ἐπὶ – δράκοντα Ps. 90(91).13 (ἐπ᾽ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ καὶ καταπατήσεις λέοντα καὶ δράκοντα) **11–12** Καλλίνικον – γενέσθαι: cf. Niceph. Brev. 42.64–75 § 3: cf. Theoph. 375.21–28; Niceph. Brev. 42.75–77 § 4: cf. Niceph. Brev. 43 **14–17** λύσας – Κωνσταντινούπολιν: cf. Theoph. 376.13–29 **17–19** Χερσωνίταις – κατηδάφισεν: cf. Theoph. 377.22sqq.; Georg. Mon. 733.12–14 § 5: cf. Theoph. 379.12–381.6; Georg. Mon. 733.14–22; Niceph. Brev. 45

T[L] C[F_1]PH[K]

---

9 ἐπὶ – βασιλίσκον post ἐπέβης transp. H **12** μέγα ut vid. P **13** Χαζαρίας (sic L) : ζαχαρίας T post Τιβέριον add. τὸν H **14** συνεβασίλευσαν : -ευον H : -ευσεν K **15** ἐν φρουρίῳ : εἴς (εἴς τι H) φρούριον P H K **16** καταφυγὼν (sic L) : κατέφυγε C P K : καταφυγὼν εἰσελήλυθεν H : non adhib. F_1 ἐπινευρωκοπήσας H εἰς τὰ σκάφη : τῶν σκαφῶν C **16–17** εἰσῆλθεν μετ᾽ αἰσχύνης H **17** εἰς (εἰς τὴν H) Κωνσταντινούπολιν : ἐν κωνσταντινουπόλει P K χερσωνίτας H K μνησικακὸν T H **18** πάντας om. P H K **20** βαρδάνιος C καί τινας : κάντινας H **21** ἔννοιαν H K **22** τοῦτον εὐφήμησαν : ἀνευφημήθη C post μετὰ add. τοῦ C H K ἐξέπεμψαν (sic F_1) : ἐξεπέμφθη C : προέπεμψαν P H K **23** ἐν τῇ πόλει F_1 P H K post γνοὺς add. ὁ P H πλέον C **24** Σινώπης : συνώπης H : σινόπης K μαθών Tafel : μαθόν T : μαθησόμενος L P H K Georg. Mon. : μαθεῖν C F_1 **26** τὸν : τὸ H K Δαματρὺν (sic L) : δαματρῦν T : δαμαντρὺν F_1 ἀπέδρα καταλειφθεὶς (καταληφθεὶς H) : καταλιμπάνεται C αὐτίκα post χειρωσάμενος transp. C **27** post κεφαλὴν add. αὐτοῦ L C P H K (non add. F_1) ἀφείλατο H K post ἐξέπεμψεν add. ἀντὶ καλλινίκου δὲ τοῦ ἐν ἁγΐοις πατρϊάρχου, κῦρος ὁ μϊαρὸς προχειρΐζεται· ὃν φασὶ καὶ τὴν τῆς δευτέρας βασιλείας κατάσχεσϊν τῶ ἰουστϊνϊανῶ προαγγεῖλαι· φθορὰν δὲ τῆς πολϊτείας πολλὴν ἐποίησε· τοὺς μὲν γὰρ ξΐφει· ἄλλους θαλάσσῃ· ἑτέρους ἀγχόνῃ· τοὺς δὲ ξΰλοις προσαρτῶν, τῶ θανάτω παρέπεμψεν C

118 Φιλιππικὸς ὁ καὶ Βαρδάνης

Φιλιππικὸς ὁ καὶ Βαρδάνης ἐβασίλευσεν ἔτη δύο. ὃς ἐν μὲν ταῖς διαλαλίαις αὐτοῦ λόγιος καὶ ἐχέφρων ἐλογίζετο, ἐν δὲ ταῖς πράξεσιν αὐτοῦ ἀσέμνως καὶ ἀνικάνως καὶ αἰσχρῶς τὸν βίον διατελῶν πάντῃ ἀδόκιμος ἐδείκνυτο. ἦν δὲ καὶ κακόδοξος, μὴ αἰσχυνθεὶς κινηθῆναι κατὰ τῆς ἁγίας συνόδου, ταύτην ἀνατρέψαι σπεύδων. **2** ἐφ᾽ οὗ καὶ οἱ Βούλγαροι μέχρι τῆς Χρυσῆς πόρτης αἰχμαλωσίαν ποιήσαντες ὑπέστρεψαν. **3** ὁ δέ, ἱππικοῦ τελουμένου καὶ τῶν πρασίνων νικησάντων, ἔδοξεν αὐτῷ μετὰ δοχῆς καὶ ὀργάνων εἰσελθεῖν καὶ λούσασθαι εἰς τὸ λουτρὸν τοῦ Ζευξίππου καὶ μετὰ πολιτῶν αἰσχρῶν ἑστιαθῆναι. ἐν δὲ τῷ μερεντίζειν αὐτὸν (ἤγουν μεσημβρίζειν) αἴφνης Γεώργιος πατρίκιος, ᾧ ἐπίκλην Βόραφος, καὶ Θεόδωρος πατρίκιος, ὁ Μυάκης, μετὰ ταξεωτῶν ἐκ τῆς Θρᾴκης εἰσδραμόντες καὶ ἁρπάσαντες τὸν Φιλιππικὸν καὶ ἀνενεγκόντες εἰς τὸ ὀρνατούριον τῶν πρασίνων ἐτύφλωσαν. καὶ ἐπισυναχθέντος τοῦ λαοῦ τῇ ἐπαύριον εἰς τὴν Μεγάλην ἐκκλησίαν ἔστεψαν Ἀρτέμιον πρωτασηκρῆτις.

---

2 Philippicus regnavit a. 711–713

---

2 Φιλιππικός – δύο: cf. Theoph. 382.1–5; 386.13–14; Georg. Mon. 734.2–3 **2–6** ὃς – σπεύδων: cf. Theoph. 381.28–30 (**2–5** ὃς – κακόδοξος); 382.10–12 (cf. 381.20–23; 362.18–19) (**5–6** μὴ – σπεύδων); Niceph. Brev. 46 § 2: cf. Theoph. 382.22–30; Niceph. Brev. 47.1–10 § 3: cf. Theoph. 383.5–19; Niceph. Brev. 48 **10–14** ἐν – ἐτύφλωσαν: cf. Georg. Mon. 734.3–5

T[L] C[F_1]PH[K] **2** a Φιλιππικὸς T[L] C[F_1]PH

---

1 Φιλιππικὸς ὁ καὶ Βαρδάνης : φιλιππικὸς H : φιλιππικὸς ὁ καὶ βαρδάνιος ἔτη β in mg. C : βασιλεία φιλιππικοῦ F_1 **2** βαρδάνιος C **2–3** διαλαλίαις (διαλαλιαῖς F_1 P H Theoph. 381.28) : διαλεκτικαῖς T (λεκτικ T²) **4** πάντῃ (πάντι T (sine accentu ut vid. T) L F_1) : πάντα H **5–6** μὴ – σπεύδων : μὴ αἰσχυνθεὶς ὁρμῆσαι τοῦ κινῆσαι (νικῆσαι H) ὅρια τὰ τῆς ἁγίας συνόδου ἐκτεθειμένα (τῇ ἁγίᾳ συνόδῳ ἐκτιθέμενα H)· ταῦτα καὶ γὰρ (γὰρ om. H) ἀνατρέψαι ἐσπούδαζεν, ὑπὸ ἐγκλείστου τινὸς ἐν τοῖς καλλιστράτου καταμένοντος τὴν κακοπιστίαν ἐκδιδαχθείς, παρ᾽ οὗ καὶ τό, ὅτι βασιλεύσει (βασιλεύει P), πρότερον ἤκουσεν P H **5** post ἁγίας add. ἕκτης C **7** post ὑπέστρεψαν add. σαρακηνοὶ δὲ ἀμασείαν καὶ μίσθειαν ἠχμαλώτευσαν C **7–8** ὁ δέ, ἱππικοῦ : ἱππικοῦ δὲ C H **8** post νικησάντων add. τῷ σαββάτῳ τῆς πεντηκοστῆς C **10** συνεσθιαθῆναι H **10–11** ἐν – αἴφνης : ἐν δὲ τῷ αὐτὸν ἑστιᾶσθαι αἴφνης P : αἴφνης δὲ H **10** αὐτὸν (sic L) : αὐτῷ T **11** post ᾧ (ὃ H) add. τὸ P H Βόραφος (sic L et P, ut vid. P² pc) : βοράφος C : κόραφος ut vid. P¹ : non adhib. F_1 **12** Μυάκης ((sic L F_1) μυάκις T) : μανιάκης H et P, ut vid. P² pc ταξεωτῶν (sic L) : ταξατῶν T, fort. recte (vide introd. III.3.1.1) : ταξεων τῶν F_1 **12–13** post εἰσδραμόντες add. καὶ διὰ τῆς χρυσῆς πόρτης εἰσελθόντες C **13** ἀναγαγόντες C **13–14** ὀρνατούριον (sic L) : ὀρματούριον ex ὀρνατούριον T? (μ supra ν ut vid. T²) : ὀρνατήριον F_1 : ἁρματούριον P : ἀρματούριον H (vide introd. III.3.1.1) **14** ἀπετύφλωσαν H ἐπισυναχθεὶς ὁ λαὸς C **15** post ἐπαύριον add. ἤγουν τῇ αὐτῇ ἡμέρᾳ τῆς πεντηκοστῆς C post πρωτασηκρῆτις (πρωτάσικρίτην H) : add. μετονομάσαντες αὐτὸν ἀναστάσιον C : add. ἐπὶ τούτου τὸν τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ἰωάννης διάκονος καὶ χαρτοφύλαξ, ὁ αἱρετικός P H (non add. F_1)

119 Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος

Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος ἐβασίλευσεν ἔτη δύο, λογιώτατος ὤν· ὃς προεβάλετο στρατηγοὺς εἴς τε τὰ καβαλλαρικὰ θέματα καὶ εἰς τὰ πολιτικὰ λογιωτάτους καὶ ἱκανωτάτους, ὥστε τὰ πολιτικὰ ἐν ἀδείᾳ διατελεῖν. οὗτος Θεόδωρον καὶ Γεώργιον, τοὺς πατρικίους, ἐκτυφλώσας ἐξώρισεν ἐν Θεσσαλονίκῃ. **2** τῶν δὲ Ἀράβων ὁπλιζομένων κατὰ Ῥωμανίας διά τε γῆς καὶ θαλάσσης ἀπηγγέλη τῷ βασιλεῖ κατὰ τῆς πόλεως τούτους παραγίνεσθαι. ὁ δὲ ἤρξατο κτίζειν δρόμωνάς τε διήρεις καὶ τὰ παράλια τείχη ἀνακαινίζειν, ὡσαύτως καὶ τὰ χερσαῖα τοξοβολίστραις τε καὶ λοιπαῖς ὁπλίσεσι τὴν πόλιν κατωχύρωσε καὶ γεννήμασι τὰ ὡρεῖα ἐπλήρωσεν. **3** ἐπὶ τούτου καὶ Γερμανὸς ἐκ μητροπόλεως Κυζίκου μετατίθεται εἰς Κωνσταντινούπολιν. καὶ κιττατώριν δὲ μεταθεσίμου ἐκπεφώνηται, ψήφῳ καὶ δοκιμασίᾳ τῶν θεοφιλεστάτων πρεσβυτέρων καὶ διακόνων καὶ τῆς ἱερᾶς συγκλήτου ἐκφωνηθέν· ἡ θεία χάρις, ἡ πάντοτε τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα, μετατίθησιν Γερμανόν, τὸν ὁσιώτατον πρόεδρον τῆς Κυζικηνῶν μητροπόλεως, εἰς ἐπίσκοπον ταύτης τῆς θεοφυλάκτου καὶ βασιλίδος πόλεως ἐπὶ Ἀρτεμίου βασιλέως. **4** μαθὼν δὲ ὁ βασιλεύς, ὅτι στόλος ἐξῆλθε τῶν Ἀγαρηνῶν πρὸς τὸ κόψαι ξύλα ἐπὶ τὸν Φοίνικα, ἀπέστειλε στόλον μετὰ κληρικοῦ ὀνόματι Ἰωάννου, ὃν καὶ Ἰωαννάκην ἐκίκλησκον, πρὸς τὸ καῦσαι τὴν ξυ-

---

2 Anastasius II. regnavit a. 713–715

---

2 Ἀρτέμιος – δύο: cf. Theoph. 383.22–26; 386.14–15; Georg. Mon. 734.7–8 **2–4** ὃς – διατελεῖν: cf. Theoph. 383.29–31; Niceph. Brev. 49.1–3 **5–6** οὗτος – Θεσσαλονίκῃ: cf. Theoph. 383.19–21; Georg. Mon. 734.8–9; Niceph. Brev. 48.20–22 § 2: cf. Theoph. 383.31–384.14; Niceph. Brev. 49 § 3: cf. Theoph. 384.19–385.4 § 4: cf. Theoph. 385.5–24; Georg. Mon. 734.9–11; Niceph. Brev. 50

T[L] C[F_1]PH

---

1 Ἀρτέμιος ὁ καὶ Ἀναστάσιος : ἀρτέμιος ὁ καὶ ἀναστάσιος, ἔτη β in mg. C : βασιλεία (βασιλεία in mg.) ἀρτεμίου F_1 : om. L H **2–3** προεβάλετο (sic L) : προεβάλλετο T H **3** τε om. H **4** τελεῖν P **5** γεώργιον καὶ θεόδωρον C **6** κατὰ Ῥωμανίας om. H **7** θαλάττης C ἀπαγγέλει P **7–8** παραγίνεσθαι : παραγενέσθαι ὁρμὴν ἔχειν C **8** διήρεις om. H τὰ om. P H **9** post ἀνακαινίζειν add. οὖσαι αἱ δρώμοναι διήρεις H τε om. H **10–18** καὶ – βασιλέως om. H **10** γεννήμασι (νήμασι L) : γεννημάτων C : γενημάτων P : non adhib. F_1 H **12** κιττατώριν : κιττατώριον L P : non adhib. F_1 H **13–14** τοῦ θεοφιλεστάτου πρεσβυτέρου καὶ διακόνου P **15** ἐλλείποντα (ἐλλίποντα L : ἐλίποντα F_1) : λείποντα T **19** ξύλα (sic L) : ξύλον T Φοίνικα (sic L) : φύνικα T **20** Ἰωάννου – ἐκίκλησκον : ἰωάννην, ὃν καὶ ἰωαννάκην ἐκάλεσαν P : ἰωαννάκη, ἐκίλισκον H

λὴν εἰς τὸν Φοίνικα καὶ τὴν ἐξάρτισιν τῶν Ἀγαρηνῶν. ὁ δὲ στόλος στασιάσας τὸν μὲν βασιλέα ἀνέσκαψαν, τὸν δὲ Ἰωαννάκην ῥομφαίαις ἀνεῖλον. οἱ δὲ τοῦτο ποιήσαντες ἀντάραντες ἀνήρχοντο κατὰ τῆς βασιλίδος πόλεως. ἐλθόντες δὲ ἐν τῷ Ἀδραμυτίῳ εὗρον ἐκεῖ Θεοδόσιον, ἐκλήπτορα τῶν δημοσίων φόρων εὐσεβῆ καὶ ἀπράγμονα, καὶ ἀνηγόρευσαν αὐτὸν βασιλέα, ὡς μή τινα ἔχοντες αὑτοῖς ἄρχοντα. ὁ δὲ φυγῇ χρησάμενος εἰς τὸ ὄρος ἐκρύβη. εὑρόντες δὲ αὐτὸν εὐφήμησαν βιασάμενοι εἰς βασιλέα. **5** ὅπερ μαθὼν Ἀρτέμιος, τὴν πόλιν ὀχυρώσας ἐν Νικαίᾳ τῇ πόλει κατέφυγεν. **6** ὁ δὲ τῆς πόλεως στόλος καὶ ὁ τοῦ Θεοδοσίου μέχρι μηνῶν ἓξ ἀλλήλους κατεπολέμουν. περάσας δὲ Θεοδόσιος ἐπὶ τὰ θρᾳκῷα μέρη ἐν ὄχλῳ βαρεῖ τὴν πόλιν καταλαμβάνει καὶ διὰ τῆς τῶν Βλαχερνῶν πόρτης τοῦ μονοτείχους εἰσῄει, τήν τε πόλιν καὶ ἄρχοντας οἱ πλώιμοι πραιδεύσαντες μεγίστην εἰργάσαντο ἅλωσιν μηδενὸς φεισάμενοι. τὸν δὲ πατριάρχην Γερμανὸν καὶ τοὺς ἄρχοντας Ἀρτεμίου συλλαβόμενοι ἐν Νικαίᾳ ἀπήγαγον. ὁ δὲ Ἀρτέμιος τούτους θεασάμενος λόγον τε ἀπαθείας λαβὼν τὸ μοναδικὸν περιεβάλετο σχῆμα· ὃν Θεοδόσιος ἐν Θεσσαλονίκῃ ἐξώρισεν. **7** Λέων δὲ ὁ Ἴσαυρος, τῶν Ἀνατολικῶν στρατηγὸς ὤν, Ἀρτεμίου ὑπερμαχῶν οὐχ ὑπετάγη Θεοδοσίῳ, ἔχων συναγωνιζόμενον Ἀρτάβασδον Ἀρμένιον, στρατηγὸν Ἀρμενιακῶν, ᾧ δοῦναι συνέθετο καὶ τὴν ἰδίαν θυγατέρα.

---

§ 5: cf. Theoph. 385.24–27; Georg. Mon. 734.11–12; Niceph. Brev. 51 § 6: cf. Theoph. 385.27–386.13; Georg. Mon. 734.12–14 § 7: cf. Theoph. 386.15–18

T[L] C[F_1]PH

---

21 Φοίνικα (sic L) : φύνικα T καὶ : κατὰ H ἐξάρτισιν : ἐξάρτησιν T L P H : ἐξάρτυσιν Tafel (e Cedreno), fort. recte : non adhib. F_1 ἀγαρινῶν T **22** μὲν om. P H ἀνέσκαψαν : ἀνέκαμψαν H (vide introd. III.3.1.1) ἰωάννην P ῥομφαία H **23** ἤρχοντω H **23–24** κατὰ τῆς βασιλίδος πόλεως : πρὸς τὴν βασιλίδα H **24** ἐλθόντων P H Ἀδραμυτίῳ (sic L) : ἀτραμυττίω C : ἀτραμητίω H : non adhib. F_1 **26** αὑτοῖς : ἑαυτοῖς L : αὐτοῖς T C : om. P H : non adhib. F_1 **27** εὐφήμησαν (-ισαν P) : ἐβίασαν H εἰς om. C **30** ἐπεὶ H **32** post εἰσῄει (εἰσίει H) add. ληϊζόμενος P H τε : δὲ C post καὶ add. τοὺς P H **33** post οἱ add. δὲ P H πραιδεύσαντες : παιδεύσαντες C ἀνάλωσιν H **35** post Νικαίᾳ add. ἐξορίστους P H **36** κατὰ λόγον C τε (sic L) : τινὰ P H : om. C : non adhib. F_1 λαβὼν om. C περιεβάλετο (sic L) : περιεβάλλετο T : περιβάλλεται H : non adhib. F_1 **38** Ἀρτεμίου (ἀρτεμίω H) ὑπερμαχῶν om. C **39** Ἀρτάβασδον (sic L) : ἀρταύβασδον T post στρατηγὸν ((sic L) στρατηγῶν T) add. τῶν H Ἀρμενιακῶν (sic L C P (ἁ- P) H) : ἀρμενιάκων T, fort. recte **40** καὶ τὴν ἰδίαν συνέθετω θυγατέραν H

120 Θεοδόσιος ὁ Ἀδραμυτινός

Θεοδόσιος ἐβασίλευσεν ἔτη β'. **2** ἐφ' οὗ Μάσαλμας, ὁ τῶν Σαρακηνῶν βασιλεύς, ἐπεστράτευσε κατὰ Ῥωμαίων καὶ πρὸς τὰ μέρη τοῦ Ἀμωρίου γενόμενος γράφει πρὸς Λέοντα, στρατηγὸν τῶν Ἀνατολικῶν· ἡ βασιλεία τῶν Ῥωμαίων σή ἐστιν. ἐλθὲ οὖν καὶ λαλήσωμεν τὰ πρὸς εἰρήνην, καὶ ποιῶ πάντα, ὅσα θέλεις. **3** ὁ δὲ πρὸς αὐτὸν ἀποστείλας ὑπάτους καὶ λόγους εἰρήνης ποιησάμενος καὶ ὡς βασιλεὺς εὐφημηθεὶς ἐπὶ τὴν Νικομήδειαν ἔρχεται μετὰ πλείστου στρατοῦ, ἐν ᾗ τὸν τοῦ Θεοδοσίου υἱὸν περιτυχὼν καὶ χειρωσάμενος μετὰ τῆς βασιλικῆς ὑπηρεσίας πάσης καὶ τῶν ἐν τέλει ἐπισήμων τοῦ παλατίου καταλαμβάνει τὴν Χρυσόπολιν. ὁ δὲ Θεοδόσιος λόγον ἀπαθείας παρ' αὐτοῦ λαβὼν παρεχώρησεν αὐτῷ τῆς βασιλείας, κληρικὸς σὺν τῷ υἱῷ γενόμενος.

121 Λέων ὁ Ἴσαυρος

Λέων ὁ Ἴσαυρος ἐβασίλευσεν ἔτη κδ'. **2** ἔχει δὲ τὰ κατ' αὐτὸν ὧδέ πῃ· Ἀράβων ἀρχηγὸς ὑπῆρχεν Ἠζίθ. δύο δέ τινες θεομάχοι Ἑβραίων παῖδες

---

2 Theodosius III. regnavit a. 715–717 **cap. 121.2** Leo III. regnavit a. 717–741

---

§ 1: cf. Theoph. 386.20–24; Georg. Mon. 734.16 § 2–3: cf. Theoph. 386.25–390.26; Georg. Mon. 734.18–735.11; Niceph. Brev. 52 cap. 121, § 1: cf. Theoph. 391.3; 412.25–26; Georg. Mon. 735.13–14; Niceph. Brev. 64.1–2 § 2–5: cf. Georg. Mon. 735.14–737.18 § 2: cf. Theoph. 401.29–402.7

T[L] C[F_1]PH

---

1 Θεοδόσιος ὁ Ἀδραμυτινός (ἀδραμιτινός T : ἀτραμυτινός P : ἀτραμητηνός H : Ἀδραμυτινός Tafel, cf. **cap. 119.24**) : θεοδόσϊος ὁ ἀτραμυττινὸς ἔτη β in mg. C : βασιλεία θεοδωσίου F_1 : om. L **2** Μάσαλμας (sic Georg. Mon.) : μάλσαμας L C : βάλσαμας F_1 : μάσαλμος P : μάλσαμος H **3** βασιλεύς (sic F_1) : βασιγός T : ἀρχηγός L P H (Georg. Mon. 734.19: alii codices mss. exhib. στρατηγός, alii βασιλεύς) **4** post πρὸς add. τὸν P H στρατηγὸν τῶν Ἀνατολικῶν (sic L : ἀνταλικῶν T : ἁρμενιακῶν P : ἀρμενιακῶν H) : τῶν ἀνατολικῶν στρατηγὸν ὄντα C **5** σοί H λαλήσωμεν : fort. scrib. λαλήσομεν **7** εὐφημηθεὶς : εὐφημισθεὶς L P H Georg. Mon. 735.5 : φημησθεὶς F_1 ἐπὶ τὴν : πρὸς τὴν F_1 : ἐπὶ P H **8** ἔρχεται : ἀνέρχεται P : ἀπέρχεται H τὸν τοῦ Θεοδοσίου υἱὸν (sic L Georg. Mon.) : τῷ τοῦ θεοδοσίου υἱῷ C P : τὸ θεοδωσίω H : non adhib. F_1 **9** post περιτυχὼν add. ἐν πολέμῳ P H : non adhib. F_1 post καὶ pr. add. τοῦτον F_1 P H τῆς om. P **10** post τέλει add. καὶ τῶν C καταλαμβάνει : καταλιμπάνει P **12** τὴν βασιλείαν P H σὺν – γενόμενος : σὺν τῷ υἱῷ γενόμενος (γενόμενος σὺν τῶ υἱῶ H)· ἰστέον δὲ (δὲ om. H) ὅτι οὗτος ὁ θεοδόσιος ἦν ἐκλήπτωρ πρώην τῶν δημοσίων φόρων, εὐσεβὴς δὲ καὶ ἀπράγμων P H **cap. 121.1** Λέων (λέον T) ὁ Ἴσαυρος : λέων ὁ ἴσαυρος ἔτη κδ in mg. C : βασιλεία λέοντος τοῦ ἰσαύρου F_1 : λέων ὁ ἴσαυρος ὁ σῦρος· ὁ καὶ κόνων· ὁ εἰκονομάχος P : λέων ὁ ἴσαυρος δυσεβής H : om. L **2** post ἴσαυρος add. ὁ καὶ κόνων C τὰ om. H αὐτὸν (sic L) : αὐτῶν T H^{ac} **3** ὑπῆρχεν : γέγονεν C Ἠζίθ : ἡζίθ T P : ἰζϊθ C : ἰζήθ H : non adhib. L

ὡς δῆθεν ἀστρολογικὴν ἐπιστήμην μεταδιώκοντες καταλαμβάνουσιν τὴν τῶν Ἀράβων βασιλικὴν αὐλὴν καὶ καταμηνύονται τῷ Ἠζὶθ καὶ τούτῳ χρησμῳδίαν πολυζωΐας μυοῦνται, εἴ γε τὴν θεανδρικὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῆς Θεομήτορος ἐκ πάντων τῶν ἐκκλησιῶν τῶν ὑπ᾽ αὐτὸν οὐσῶν ἀπαλείψειεν. καὶ δὴ ὁ φιλόζωος ὑπακούσας τῇ συμβουλῇ τῶν ἀπατεώνων πάσας τὰς ἐκκλησίας τὰς οὔσας ἐν τῇ ἀρχῇ αὐτοῦ διεσάλευσεν. ἀλλ᾽ ἠπατήθη ὁ δείλαιος· μετῆλθε γὰρ αὐτὸν ἡ θεία δίκη οὔπω διελθόντος ἐνιαυτοῦ. **3** οὗ ὁ υἱὸς διαδεξάμενος τὴν ἡγεμονίαν ὡς ψευδομάντας αὐτοὺς ἠβουλήθη ἀποκτεῖναι. μαθόντες δὲ οὗτοι ἀνέκαμψαν ἐν τοῖς ἰσαυρικοῖς μέρεσιν. εἰς πηγὴν δέ τινα ἀναψυχόντων αὐτῶν, ἰδοὺ οὗτος ὁ Λέων, νεανίσκος ἔτι ὤν, καλὸς τῷ εἴδει καὶ εὐμήκης τῷ σώματι, βάναυσος τὴν τέχνην, ἐξ αὐτῆς τὴν ζωὴν ποριζόμενος, καὶ δὴ ἐκ τοῦ ὑποζυγίου τὸν φόρτον περιελόμενος ἐκάθισε καὶ αὐτὸς ἐπὶ τῇ πηγῇ ὡς ἀριστήσων. **4** εἶτα οἱ τῶν ἐγγαστριμύθων μύσται μυοῦνται αὐτῷ τοῦ κατάρξαι τῆς ῥωμαϊκῆς βασιλείας τῶν σκήπτρων, καὶ δὴ τοῦ Λέοντος ἀναβαλλομένου, ἐπὶ τῇ εὐτελείᾳ αὐτοῦ ἀφορῶντος, ὅρκοις πληροφορεῖται ὑπὸ τῶν ἀθέων, ὅτι ταῦτα οὕτως ἔχει γενέσθαι. καὶ δὴ αἰτοῦνται αὐτὸν ὀμόσαι αὐτοῖς, ἵνα, εἰ ἄρα εἰς πέρας ἔλθοι τοῦτο, εἴ τι ἂν αἰτηθείη παρ᾽ αὐτῶν, ἀνυπερθέτως δοθῆναι αὐτοῖς. ἦν δὲ πλησίον ναὸς τοῦ ἁγίου Θεοδώρου, καὶ εὐθὺς εἰσελθὼν ὁ βάναυσος Λέων τῶν ἱερῶν καγκέλων τοῦ θυσιαστηρίου ἁψάμενος δέδωκεν ἐγγυητὴν τὸν μεγαλομάρτυρα τοῦ Χριστοῦ, ἑστώτων τῶν Ἰουδαίων ἐν τοῖς πυλῶσι τοῦ ναοῦ καὶ δεχομένων τὸν ὅρκον παρ᾽ αὐτοῦ. καὶ αὖθις ᾤχετο ἕκαστος εἰς τὰ ἴδια. **5** ἦν δὲ τῶν Ἀνατολικῶν στρατηγὸς τῷ τότε

T[L] C[F_1]PH

5 τῶν ἀράβων τὴν H καταμηνύονται (sic L) : καταμηνύωνται T : καταμηνίωνται H Ἠζὶθ : ἡζίθ T P : ἰζΐθ C : ἰζήθ H : non adhib. L **6** τούτῳ (τούτ F₁) : τοῦτον P H **7** καὶ τῆς Θεομήτορος (θεοτόκου μητρὸς P) : εἰκόνα· καὶ τῆς θεομήτορος C πάντων : πασῶν C F_1 : non adhib. L **8** αὐτὸν : αὐτοῦ T P : non adhib. L **10** ἀλλὰ H ἀπατηθεὶς P H post δείλαιος add. εὗρεν ἄξια τὰ ἐπίχειρα τῆς ἀνοίας P H **11** αὐτὸν : αὐτῶ F_1 H post διελθόντος (ἐλθόντος H) add. ἑνὸς P H **12** ψευδομάντας (sic Georg. Mon. 736.13–14, sed non omnes codices mss.) : ψευδομάντεις C P (sic etiam L, sed aliter) : ψευδομάρτυρας H : non adhib. F_1 **13** δὲ : οὖν H **14** post ἰδοὺ add. καὶ C **15** αὐτῆς : αὐτοῦ P H **15–16** post ποριζόμενος add. τοῖς ὑποζυγίοις περιτιθεὶς (ὑποτιθεὶς H) φόρτον καὶ ἀπεμπολῶν διέζη πτωχικῶς P H **16** post ὑποζυγίου add. τότε P H ἐλώμενος H **17** ὡς om. C οἱ om. P **18** αὐτῷ : αυτ F_1 : αὐτὸν P H βασιλείας : δυναστείας C τῶν σκήπτρων om. H **19** δὴ om. P H ἀναβαλομένου H **21** δὴ αἰτοῦνται (αἰτούντων P) : δϊαἰτούνται H αὐτὸν (αυτ F_1) : αὐτῶν P : αὐτῶ H ἔλθει H **22** αἰτηθῇ P δοθῆναι (sic L et Georg. Mon. 737.1) : παρέξῃ F_1 : δώσει P H **23** εὐθὺς εἰσελθὼν : εἰσελθὼν (ἀνελθὼν H) εὐθὺς P H **26** ἐν τοῖς πυλῶσι : ἐκτὸς τῶν πυλῶν P H τῶν (fort. τὸν e τῶν C) ὅρκων C παρ᾽ om. H **27** τότε τῶν ἀνατολικῶν στρατηγὸς H τῷ om. C F_1 P H : non adhib. L

Σισίνιος πατρίκιος, ἐφ᾽ οὗ καὶ Λέων στρατολογηθεὶς ἐν ὀλίγῳ χρόνῳ εἰς προκοπὴν μεγίστην ἀναβιβάζεται· σπαθάριος προχειρισθεὶς ὑπὸ Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου καὶ εἰς τὰ ἑσπέρια μέρη ἐκπεμφθεὶς καὶ μετὰ μεγάλης νίκης ἀνελθὼν προεχειρίσθη παρὰ Θεοδοσίου στρατηγὸς εἰς ἀνατολήν. **6** τὴν δὲ βασιλείαν αὐτοῦ κρατήσαντος τρόπῳ, οἵῳ προείρηται, προσῆλθον οὖν αὐτῷ οἱ μάντες, οἱ τοῦτον χρησμοδοτήσαντες, καὶ δεξιολαβηθέντες ἀπαιτοῦσι παρ᾽ αὐτοῦ τὴν ὑπόσχεσιν. τοῦ δὲ ἑτοίμως ἐπαγγειλαμένου ἀποδιδόναι αὐτοῖς εἶπον οἱ θεομάχοι· τοῦτο αἰτούμεθα παρὰ σοῦ, βασιλεῦ· ἵνα τὸν χαρακτῆρα τοῦ Ναζωραίου Χριστοῦ καὶ τῆς μητρὸς αὐτοῦ καὶ πάντων τῶν ἁγίων ἐκ πάσης ἐκκλησιαστικῆς ἱστορίας ἀπαλείψῃς. καὶ τοῦτο ποιῶν μέλλεις βασιλεύειν ἄχρι χρόνων ἑκατὸν ἐν τῇ γενεᾷ σου. ὁ δὲ ἀλιτήριος, ἀστήρικτος ὢν τῇ πίστει, ἑτοιμότατα τὸ αἰτηθὲν ἐπαγγέλλεται καὶ πρὸς τοῦτο ἤδη χωρεῖ. **7** ἐτέχθη δὲ τῷ δυσσεβεῖ βασιλεῖ Λέοντι υἱὸς ὀνόματι Κωνσταντῖνος, ὃν ἐν τῇ ἁγίᾳ κολυμβήθρᾳ ἐν τῷ βαπτίζεσθαι, ὥς φασιν, ἀφοδεῦσαι δεινὸν καὶ δυσῶδες, προσημαίνων τεκμήριον· **8** μεταστειλάμενος γὰρ μετ᾽ οὐ πολὺ Γερμανὸν πατριάρχην ὁ βασιλεὺς ἤρξατο λόγους τινὰς κινεῖν μεθ᾽ ὑπουλίας καὶ καταγινώσκειν πάντας τοὺς πρὸ αὐτοῦ βασιλεῖς καὶ ἱερεῖς ὡς εἰδωλολατρήσαντας ἐν τῇ προσκυνήσει τῶν ἁγίων εἰκόνων. ὁ δὲ μέγας ἔφη Γερμανός· ἄκουσον, βασιλεῦ· τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διὰ σαρκὸς ἐπιφανέντος καὶ τοῖς ἀνθρώποις συναναστραφέντος πᾶσα εἰδωλολατρεία ἐκποδὼν γέγονεν καὶ πᾶν ἄγαλμα εἰδωλικὸν ἠφάνισται καὶ ἐξωστράκισται, ὥς φησιν ὁ προφήτης Ζαχαρίας, ὅτι λέγει

§ 6: cf. Theoph. 402.7–9; 404.3–4; Georg. Mon. 737.20–738.6 § 7: cf. Theoph. 399.28–400.13; Niceph. Brev. 56.1–2 § 8: cf. Theoph. 406.25–31; 407.15–409.14; Niceph. Brev. 62 **43–59** μεταστειλάμενος – ἐξελαύνει: cf. Georg. Mon. 738.10–741.20 **50–52** λέγει – μνεία: Za. 13.2 (λέγει κύριος, ἐξολεθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι ἔσται αὐτῶν μνεία)

T[L] C[F_1]PH a § 6 T[L] [C][F_1]PH

28 ἐφ᾽ : ὑφ᾽ C **29** μεγίστην προκοπὴν H **30** μέρη om. C **31** μετὰ (sic L) : om. T : non adhib. F_1 Θεοδοσίου : ἀρτεμίου C **32** δὲ om. T (τὴν δὲ : καὶ τὴν L) **33** οὖν (οὖν om. L) αὐτῷ (sic F_1) : τῷ βασιλεῖ λέοντι C : om. P H μάντες (sic F_1) : μάντεις C P H : non adhib. L τοῦτον (sic L) : τούτῳ C F_1 H **35** ἐπιγγειλαμένου H **36** τὸν χαρακτῆρα : τὴν εἰκόνα H **38** ἀπαλήψεις H **39–40** ἀστήρικτος – πίστει : ἀλλότριος καὶ ἀστήρικτος τῶν δογμάτων καὶ τῇ πίστει ὑπάρχων H **40** ἐπιγγέλεται H χωρεῖ : ἐχώρει P H **41** βασιλεῖ : om. F_1 H : non adhib. C **42** ἀμφοδεῦσαι P **43** προσημαίνων (-μαῖνον F_1, fort. recte) : ὑπεμφαίνων H **44** κινεῖν λόγους τινὰς H **45–46** πάντας – εἰδωλολατρήσαντας T (sim. exhib. Georg. Mon. et Theoph.) : πάντων τῶν πρὸ αὐτοῦ βασιλέων καὶ ἱερέων ὡς εἰδωλολατρησάντων (εἰδωλολατρούντων F_1) C F_1 P H : non adhib. L **47** ἔφη Γερμανός· ἄκουσον (sic L) : γερμανὸς ἄκουσον ἔφη C F_1 : γερμανὸς ἔφη ἄκουσων H post ἄκουσον add. ὦ P H **48** καὶ – συναναστραφέντος om. P H **50** ἐξοστράκισται καὶ ἠφάνισται H ζαχαρίας ὁ προφήτης P

Κύριος Σαβαώθ· ἐξολοθρεύσω τὰ ὀνόματα τῶν εἰδώλων ἀπὸ τῆς γῆς, καὶ οὐκέτι αὐτῶν ἔσται μνεία. πλὴν τὴν καθαίρεσιν τῶν ἱερῶν εἰκόνων ἀκούομεν μέλλειν ἔσεσθαι, ἀλλ᾽ οὐκ ἐπὶ τῆς σῆς βασιλείας. τοῦ δὲ βιασαμένου εἰπεῖν »ἐπὶ ποίας βασιλείας«, »ἐπὶ Κόνωνος« ἔφη. ὁ δὲ ἀποκριθεὶς ἔφη· ὄντως ἐγώ εἰμι καὶ οὕτως παιδιόθεν ἐκλήθην. καὶ ὁ μέγας Γερμανὸς ὑπολαβὼν ἔφη· μὴ γένοιτο, δέσποτα, ἐπὶ τῆς σῆς βασιλείας πραχθῆναι τὸ θεοστυγὲς τοῦτο κακόν. ὁ δὲ θεομάχος τύραννος τοῦτο ἀκούσας καὶ ὡς ἀνήμερος θὴρ βρύξας καὶ σφόδρα χαλεπήνας εἰδωλολάτρην τε ἀποκαλέσας καὶ ταῖς ἰδίαις χερσὶ ῥαπίσας τῶν βασιλείων ἐξελαύνει καὶ ἐξουσιαστικῶς τε καὶ δυσσεβῶς τῆς αἱρέσεως ἀπάρχεται καὶ τὴν ἐπὶ τῆς Χαλκῆς πύλης εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ κατεάξας καὶ σελέντιον κατὰ τῶν ἁγίων εἰκόνων ποιήσας προσκαλεῖται πάλιν τὸν τίμιον Γερμανόν, οἰόμενος πεῖσαι αὐτὸν ὑπογράψαι κατὰ τῶν ἁγίων εἰκόνων. ὁ δὲ οὐδόλως εἶξε τῇ θωπείᾳ ἢ τῇ ἀπειλῇ τοῦ τυράννου, ἀλλὰ θεὶς τὸ ὠμόφορον ἐν τῇ ἁγίᾳ τραπέζῃ τῆς Μεγάλης ἐκκλησίας ἀπετάξατο τὴν ἱερωσύνην καὶ ὑπεχώρησεν. **9** ὁ δὲ θεομάχος ἀντ᾽ αὐτοῦ χειροτονεῖ Ἀναστάσιον πρεσβύτερον, συνθέμενον τῇ ἀσεβεῖ αὐτοῦ βουλῇ, πᾶσάν τε εἰκόνα τοῦ Σωτῆρος ἡμῶν καὶ τῆς Θεομήτορος καὶ τῶν ἁγίων κατέστρεψε καὶ κατέκαυσε καὶ διωγμὸν μέγαν ἐγείρας πολλοὺς ἱερεῖς καὶ μονάζοντας καὶ λαϊκοὺς διαφόροις τιμωρίαις καὶ θανάτοις ὑπέβαλεν. πλησίον δὲ τῶν Χαλκοπρατείων παλάτιον ἦν σεμνόν, ἐν ᾧ ὑπῆρχε κατὰ τύπον ἀρχαῖον οἰκουμενικὸς διδάσκαλος ἔχων συλλήπτορας ἄνδρας τῶν ἐν τέλει τὸν ἀριθμὸν ιβ' πᾶσαν ἐπιστήμην μετερχομένους καὶ τὰ ἐκκλησιαστικὰ κρατύνοντας δόγματα, βασιλικάς τε διαίτας καὶ

---

58 ὡς ἀνήμερος θὴρ βρύξας: locus communis (cf. de Boor (Georg. Mon.), p. 741, et infra, cap. 128, § 7) **59–60** καὶ ἐξουσιαστικῶς – § 11: cf. Georg. Mon. 743.1–744.4 **71–79** πλησίον – πᾶσι: cf. Georg. Mon. 744.4–10

T[L] [C][F_1]PH **65** a τῆς T[L] [C][F_1]PH[K]

---

53 ἀκούομεν μέλλειν ἔσεσθαι (sic C) : ἀκούομεν μέλλειν ἔσεσθαι L : με^λλ γενέσθαι F_1 : μέλλειν ἔσεσθαι ἀκούομεν (ἀκούωμεν H) P H **54** ἐπὶ Κόνωνος ἔφη (sic C) : ἔφη ἐπὶ κόνωνος F_1 P H : non adhib. L **55** οὕτως (sic L C F_1) : οὗτος T παιδιόθεν (sic L F_1) : παιδόθεν C P H ἐκλήθη H post καὶ alt. add. οὕτως H **56** δέσποτα : βασιλεῦ H **60** τὴν ἐπὶ om. H **62** σελέντιον : λ- (i.e. ut λελέντιον) H^{ac} **63** τίμιον Γερμανὸν (sic L C F_1) : ἅγιον γερμανὸν καὶ τίμιον P : ἅγιον καὶ τίμιον γερμανόν H **66** τὴν ἱερωσύνην (sic L C) : τῇ ἱερωσύνῃ F_1 P H ἀπεχώρησεν H K **67** συνθέμενος P ἀσεβεῖ αὐτοῦ βουλῇ : ἀσεβεία αὐτοῦ καὶ τῆ κακίστη βουλῆ H **68** Θεομήτορος (sic C F_1) : θεοτόκου μητρὸς P H K : non adhib. L **69–70** πολλοὺς – λαϊκοὺς : πολλὰς τάξεις ἁγίων κληρικῶν καὶ μοναζόντων καὶ λαϊκῶν H **70** ὑπέβαλεν (sic C F_1) : παρέδωκε P H K : non adhib. L **72** ἀρχαῖον (sic L C F_1 Georg. Mon. 742.3–4) : ἀρχαῖως T : ἀρχαῖος P : ἀρχαῖος ex ἀρχαῖον fort. K **73** τὸν ἀριθμὸν : τῶν ἀριθμῶν (τῶν ἐν τέλει τὸν ἀριθμὸν : τῶν ἀριθμῶν L F_1) L F_1 K **74** κρατύνοντος H

βίβλους ὡσαύτως ἔχοντας, ὧν οἱ βασιλεῖς ἄνευ βουλὴν ἢ γνώμην οὐκ ἐθέσπιζον. τούτους ὁ δυσώνυμος θὴρ προσκαλεσάμενος ἐπειρᾶτο πείθειν. τῶν δὲ μὴ καταδεξαμένων, ἀλλ᾽ ἐλεγξάντων αὐτόν, προσέταξε συναχθῆναι πλῆθος ξύλων καὶ τούτων ὑπαφθέντων κατακαῆναι τοὺς ἄνδρας σὺν τοῖς οἰκήμασι καὶ βιβλίοις καὶ τοῖς λοιποῖς αὐτῶν πᾶσι. διὰ ταῦτα καὶ ὁ πρόεδρος Ῥώμης ἀφηνίασε καὶ πρὸς τὸν Φράγγον σπονδὴν εἰρηνικὴν ποιησάμενος τούς τε φόρους ἐκώλυσε καὶ Ἀναστάσιον καὶ τοὺς σὺν αὐτῷ ἀνεθεμάτισεν. **10** Μάσαλμας δὲ ἐξεδέχετο τὰς τοῦ Λέοντος ὑποσχέσεις. μηδὲν δὲ παρὰ Λέοντος δεξάμενος καὶ γνούς, ὅτι ἐνεπαίχθη ὑπ᾽ αὐτοῦ, ἐπὶ τὴν βασιλεύουσαν πόλιν ἐκίνησε καὶ τὴν Ἄβυδον καταλαβὼν καὶ ἀντιπεράσας λαὸν πλεῖστον γράφει πρὸς Σουλεϊμᾶν τὸν πρωτοσύμβουλον ἐλθεῖν ἐν τάχει μετὰ τοῦ στόλου. καὶ τῷ Αὐγούστῳ μηνὶ παρακαθίσας τὴν πόλιν καὶ τὸ χερσαῖον τεῖχος περιχαρακώσας ἐλυμαίνετο σφόδρα τὰ θρᾳκῷα μέρη. τῇ δὲ πρώτῃ τοῦ Σεπτεμβρίου μηνὸς ἀνέβαλεν ὁ Σουλεϊμᾶν, ἔχων εὐμεγέθεις ναῦς τριήρεις καὶ δρόμωνας χιλίους ὀκτακοσίους. **11** ὁ δὲ βασιλεὺς τὸν στόλον κατ᾽ αὐτῶν ἐκπέμψας καὶ τὰς ταχείας ναῦς μετὰ τοῦ ὑγροῦ πυρὸς πυριαλώτους ἐποίησε τὰς πλείω καὶ φοβερὰς ναῦς ἐκείνας, καὶ αἱ μὲν εἰς τὰ παράλια τείχη πυρπολούμεναι προσερρίφησαν, αἱ δὲ εἰς τὸν βυθὸν αὔτανδροι κατεποντίσθησαν, ἕτεραι δὲ μέχρι τῆς Ὀξείας καὶ τῶν λοιπῶν νήσων ἀπηνέχθησαν καταφλεγόμεναι. ἐντεῦθεν οἱ τῆς πόλεως θάρσος ἔλαβον, τῶν πολεμίων μεγάλως καταπτωθέντων. **12** παραχειμάσαντες δὲ τῇ πόλει τῷ ἐαρινῷ καιρῷ λοιμικὴ νόσος αὐτοῖς ἐνσκήψασα μετὰ λιμοῦ πλῆθος ἀναρίθμητον ἐξ αὐτῶν διέφθειρεν, ἐξ ὧν οἱ περιλειφθέντες πόλε-

---

88–89 1.9.717

---

§ 10–12: cf. Theoph. 395.13–396.15; Georg. Mon. 744.19–746.6; Niceph. Brev. 54–56

T[L] [C][F_1]PH[K]

---

75 ἔχοντας ὡσαύτως P βουλὴν ἢ γνώμην (sic L Georg. Mon. 742.8) : βουλῆς ἢ (ἢ : καὶ H K) γνώμης C F_1 H K **77** ἐλεξάντων F_1 K **78** συναχθῆναι (sic L C F_1) : ἐνεχθῇ P : ἐνεχθῆναι H K **79** βίβλοις F_1 K **80** καὶ pr. (sic C) : om. P H K : non adhib. L F_1 **82** Μάσαλμας δὲ : ὁ δὲ τῶν σαρακηνῶν ἡγούμενος μάσηλμας (μάλσαμος H : μάσαλμος K) P H K : non adhib. L C F_1 **83** δὲ om. H **85** Σουλεϊμᾶν : σουλεαμᾶν H : σουλεειμᾶν ut vid. K **86** τοῦ om. P **87** παρακαθίσας (sic L) : περικαθήσας P H : παρϊκαθΐσας K : παρεκάθισε C (sed aliter) : non adhib. F_1 **88** post σφόδρα add. καὶ H **89** μηνὸς om. T P, fort. recte (μηνὸς exhib. L C H K Georg. Mon. 745.6 : non adhib. F_1) ἀνέβαλεν : ἀνέλαβε C : κατέλαβεν H : non adhib. F_1 : an scrib. ἐνέβαλεν? (vide introd. III.3.1.1) σουλεαμᾶν H εὐμεγέθους H **91** πέμψας H τοῦ om. P **92** πλείω : fort. scrib. πλείστας sec. Georg. Mon. 745.10 vel πλείους **93** ἀπερίφησαν H K **94–95** ἕτεραι – καταφλεγόμεναι om. H K **96** καταπωθέντων P **96–98** παραχειμάσαντες (sic L : παραχειμάσασι P : non adhib. C F_1 H K) – περιλειφθέντες om. H K **97** ἐνεσκήψασα P **98–99** post πόλεμον add. δὲ H K

μον ἐν τῇ Θρᾴκῃ μετὰ Βουλγάρων συνάψαντες ἀνῃρέθησαν πλείονες. τῇ δὲ πέντε καὶ δεκάτῃ τοῦ Αὐγούστου μηνὸς ἐκ τῆς πόλεως ἀπάραντες, ἀνέμου σφοδροτάτου πνεύσαντος, οἱ μὲν ἐν Προικονήσῳ καὶ ταῖς ἄλλαις ἀκταῖς ἀπώλοντο, οἱ δὲ ἐξαβυδίσαντες, ἀθρόως ἐπελθόντος νέφους χαλάζης ὀλεθρίου μετὰ βιαίου ἀνέμου, ὑποβρύχιοι πάντες ἐγένοντο. διεσώθησαν δὲ παραδόξως ἐκ τῶν χιλίων ὀκτακοσίων πέντε καὶ μόνα πλοῖα, ἃ καὶ ἀπήγγειλαν εἰς τὰ ἴδια τήν τε τῶν Ῥωμαίων νίκην καὶ τὴν ἑαυτῶν πανολεθρῆ κατάπτωσιν. **13** Σέργιος δέ, στρατηγὸς Σικελίας, ἀκούσας, ὅτι οἱ Ἀγαρηνοὶ ἐκπορθοῦσι τὴν πόλιν, ἔστεψε βασιλέα ἐκ τῶν ἀνθρώπων αὐτοῦ ὀνόματι Βασίλειον, ᾧ ἐπώνυμον Ὀνομάγουλος, ποιήσας καὶ προβολὰς ἀρχόντων. ὁ δὲ βασιλεὺς ταῦτα ἀκηκοὼς ἀπέστειλεν ἐκεῖσε Παῦλον μετὰ κελεύσεων καὶ στόλου. μαθόντες οὖν οἱ Σικελιῶται, ὅτι κατετροπώθησαν οἱ Σαρακηνοὶ καὶ Λέων βασιλεύει, τόν τε Βασίλειον καὶ τοὺς λοιποὺς ἄρχοντας παραδεδώκασι τῷ Παύλῳ, καὶ πάντας ὁμοῦ ἐπὶ τὸ αὐτὸ ἀπεκεφάλισεν ὡς ἀντάρτας. **14** Νικήτας δὲ πατρίκιος, ὁ Ξυλινίτης, μετὰ καὶ ἑτέρων πατρικίων τὸν Τέρβελιν διὰ γραμμάτων καὶ πολλῶν χρημάτων καὶ δώρων δεξιωσάμενοι παρώρμησαν ἐλθεῖν κατὰ Λέοντος. οὓς τινὲς τῶν Βουλγάρων προδεδώκασιν καταμηνύσαντες τῷ βασιλεῖ, καὶ πάντας ἐν φόνῳ μαχαίρας ἀνεῖλεν. **15** ἔστεψεν δὲ Κωνσταντῖνον, υἱὸν αὐτοῦ, ὁ αὐτὸς Λέων ἐν τῷ τριβουναλίῳ τῶν δεκαεννέα Ἀκουβίτων. **16** ἐβάπτισε δὲ ἀναγκαστῶς καὶ τοὺς Ἑβραίους, ὥστε λέγεσθαι ἔκτοτε τοὺς Ἑβραίους καὶ Μοντανούς.

99–100 15.8.718

---

§ 13: cf. Theoph. 398.7–31; Niceph. Brev. 55 § 14: cf. Theoph. 400.18–401.3; Niceph. Brev. 57 § 15: cf. Theoph. 401.9–12; Niceph. Brev. 58 **119–20** ἐβάπτισε – Μοντανούς: cf. Theoph. 401.22–23

T[L] [C][F_1]PH[K] a § 15 T[L] C[F_1]PH[K]

---

99 post μετὰ add. τῶν H K συνάψαντες : ποιήσαντες H K post ἀνῃρέθησαν add. οἱ H K **100** δὲ πέντε καὶ δεκάτῃ : ιε δὲ H **101** post ἐν add. τῇ P H K (non add. L) : non adhib. C F_1 **103** ὀλεθρίου (ὀλέθριον L, sed aliter) : ὀλέθρου P H K : non adhib. C F_1 **105** πλοῖα om. C K (sed C aliter quam K) τῶν om. P H K (τῶν exhib. L) : non adhib. C F_1 **106** πανώλεθρον P H K : non adhib. L C F_1 post δέ add. ὁ H K **108** Ὀνομάγουλος : ὠμαγουλ^ας F_1 : ὁ μάγουλος K **109** ἀκηκοὼς (sic L C) : ἀκούσας F_1 P H K **110** καὶ om. H οὖν : δὲ C οἱ (sic L C F_1) om. T **111** ὅτι : ὁ C καὶ Λέων βασιλεύει : παρὰ λέοντι τῶ βασιλεῖ H **112** τοὺς (sic C F_1) om. T L **113** ἀντάρτας : ἀντάροντας H : ἀντάραντας K post Νικήτας (νικήσας L H) δὲ add. ὁ C F_1 P H K (non add. L) **114** Τέρβελιν (sic K) : τέλβελιν T : τέρβελην L F_1 : τέρβελλιν C : τέλβερην H **114–15** διὰ – δώρων : διὰ γραμμάτων καὶ πολλῶν δώρων L : διὰ πολλῶν χρημάτων καὶ γραμμάτων καὶ δώρων C : διὰ γραμμάτων καὶ πολλῶν δώρων καὶ χρημάτων P : διὰ πολλῶν γραμμάτων ὁμοῦ καὶ χρημάτων H : διὰ γραμμάτων καὶ πολλῶν χρημάτων K : om. F_1 **115–16** δεξιωσάμενος παρώρμησεν C **117** καταμηνύσαντες om. H **118** post Κωνσταντῖνον add. τὸν H K **119** τριβουλίω C Ἀκουβίτων : κουβίτων C : om. H **119–20** καὶ τοὺς ἑβραίους ἀναγκαστῶς C **120** μοντάνους P H

Ἰωάννην τε τὸν Δαμασκηνόν, ὃν καὶ Χρυσορρόαν ἐκάλουν διὰ τὴν ἐνυπάρχουσαν αὐτῷ σοφίαν, ἐξορίσας Μανσοὺρ ἐπωνόμασε, ὅ ἐστιν βλάσφημον. **17** ἐνυμφεύσατο δὲ εἰς τὸν υἱὸν Κωνσταντῖνον τὴν θυγατέρα τοῦ Χαγάνου, τοῦ τῶν Σκυθῶν δυνάστου, Χριστιανὴν ποιήσας καὶ Εἰρήνην ἐπονομάσας· ἥτις μαθοῦσα τὰ ἱερὰ γράμματα διέπρεψεν ἐν εὐσεβείᾳ τὴν τούτων δυσσέβειαν ἐλέγχουσα. **18** πολλὰ δὲ τῇ Ῥώμῃ κακὰ ἐνεδείξατο διὰ τὸν πάπαν καὶ πάκτα ἐτήσια ταῖς ἐκκλησίαις διετάξατο τελεῖν. ἐστράτευσαν δὲ καὶ οἱ Ἀγαρηνοὶ κατὰ πάσης Ῥωμανίας καὶ πολλὴν αἰχμαλωσίαν λαβόντες ὑπέστρεψαν. καὶ σεισμὸς δὲ μέγας ἐγένετο, ὥστε πτωθῆναι ἐκκλησίας καὶ οἴκους καὶ πεσεῖν καὶ τὴν στήλην Ἀρκαδίου, τὴν ἐν τῷ Ξηρολόφῳ, τά τε χερσαῖα τῆς πόλεως τείχη καὶ Νικομήδειαν καὶ Νίκαιαν, ἀποφυγεῖν δὲ καὶ τὴν θάλασσαν τῶν ἰδίων ὅρων ἔν τισι τόποις. εἰδὼς δὲ ὁ βασιλεὺς τὰ τείχη πτωθέντα διελάλησεν λέγων, ὅτι ὑμεῖς οἱ τῆς πόλεως ἀδυνατεῖτε τὰ τείχη κτίσαι, ἀλλὰ προσετάξαμεν τοῖς διοικηταῖς εἰς τὸν κανόνα ἀπαιτῆσαι κατὰ νόμισμα μιλιαρίσιον ἕν, καὶ λαμβάνει αὐτὸ ἡ βασιλεία καὶ κτίζει τὰ τείχη. ἐντεῦθεν ἐκράτησεν ἡ συνήθεια παρέχειν τὰ δικέρατα τοῖς διοικηταῖς. **19** ἐν τούτοις ὁ παμμίαρος Λέων τελευτᾷ νόσῳ δυσεντερίας τὴν ψυχὴν ἀπορρήξας.

121–23 Ἰωάννην – βλάσφημον: cf. Theoph. 417.14–21 § 17: cf. Theoph. 409.30–410.3; Niceph. Brev. 63.1–4 **126–28** πολλὰ – τελεῖν: cf. Theoph. 410.4–17 **128–29** ἐστράτευσαν – ὑπέστρεψαν: cf. Theoph. 410.3–4 **129–37** καὶ – διοικηταῖς: cf. Theoph. 412.6–21; Georg. Mon. 744.11–16 § 19: cf. Theoph. 413.1–3; Georg. Mon. 744.16–18; Niceph. Brev. 64.1–3

T[L] C[F_1]PH[K]

---

121 τε (sic F_1) : δὲ L C H K Δαμασκηνὸν (sic L) : δαμασκινὸν T Χρυσορρόαν (-ορόαν L) : χρυσσορόων ut vid. T **122** ὑπάρχουσαν H Μανσοὺρ : an scrib. Μάνζηρον vel sim.? (cf. Theoph. 417.19) **123** post υἱὸν add. αὐτοῦ C **125** καὶ Εἰρήνην ἐπονομάσας (ἐπονομάσας : καλέσας H) : om. K διέπρεπεν P **126** τούτων : τούτου P H K **127** πάππαν C **128** Ἀγαρηνοὶ : σαρακηνοὶ H **129** καὶ σεισμὸς δὲ : ἐπὶ αὐτοῦ καὶ σεισμὸς F_1 : καὶ σεισμὸς P H K **130** οἴκους : πόλεις C καὶ ter. om. P H K **133** εἰδὼς : ἰδὼν C τὰ om. C **136** λαμβάνει αὐτὸ (sic L : αὐτῶ T : om. F_1) ἡ βασιλεία (post βασιλεία add. μου F_1) καὶ κτίζει (κτίζειν F_1) : λαμβάνειν αὐτὸ τὴν βασιλείαν καὶ κτίζειν P H K **137** δικέρατα : δίκαια H **139** post ἀπορρήξας add. τελευτήσαντος δὲ αὐτοῦ ἐτέθη τὸ σῶμα αὐτοῦ τὸ δύστηνον (σῶμα αὐτοῦ τὸ δύστηνον : παμμίαρον αὐτοῦ σῶμα H : σῶμα K) ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων (post ἀποστόλων add. ἐτέθη δὲ H) ἐν λάρνακι πρασίνῳ (ἐν λάρνακι πρασίνῳ om. P). τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ἀναστάσιος ὁ αἱρετικός, διαδεξάμενος (-ον H) γερμανὸν τὸν μακάριον P H K

122 Κωνσταντῖνος ὁ Κοπρώνυμος

Κωνσταντῖνος υἱὸς αὐτοῦ, ὁ Κοπρώνυμος, ἐβασίλευσεν ἔτη λδ', ἐκ δεινοτάτου λέοντος φανεὶς ποικιλότροπος πάρδαλις, ἐκ σπέρματος ὄφεως ἀσπὶς καὶ ὄφις πετόμενος. **2** οὗτος τὴν πατρῴαν βασιλείαν τε καὶ δυσσέβειαν διαδεξάμενος ἐκ Θεοῦ πλεῖον διίσταται καὶ τῆς Θεομήτορος καὶ πάντων αὐτοῦ τῶν ἁγίων κἀντεῦθεν λοιπὸν μαγείαις καὶ ἀσελγείαις καὶ δαιμόνων ἐπικλήσεσι καὶ σπλάγχνων ἀνατομαῖς καὶ ἄλλοις πονηροῖς ἐπιτηδεύμασι καὶ κυνηγίοις καὶ ἱπποδρομίοις σχολάζων ὄργανον ἐπιτήδειον τοῦ Ἀντιχρίστου γέγονεν· εἰς τοσαύτην γὰρ ἀπόνοιαν ἐξώκειλεν, ὡς καὶ θεσμὸν καθολικὸν ἐκθέσθαι μὴ λέγεσθαί τινα τὸ παράπαν ἅγιον, ἀλλὰ καὶ τὰ λείψανα τούτων εὑρισκόμενα διαπτύεσθαι καὶ μηδὲ πρεσβείαν αὐτῶν ἐξαιτεῖν (οὐδὲν γὰρ ἰσχύουσι, προσθεὶς ὁ ἀνόσιος) μηδὲ τὴν τῆς Μαρίας ἐπικαλείσθω τις πρεσβείαν (οὐ γὰρ δύναταί τι) μηδὲ Θεοτόκον αὐτὴν ὀνομάζεσθαι. λαβὼν γὰρ ἐν χειρὶ βαλάντιον πλῆρες χρυσίου καὶ ὑποδείξας αὐτὸ πᾶσιν ἤρετο, τίνος ἄξιόν ἐστιν. τῶν δὲ πολλοῦ εἰπόντων κενώσας τὸ χρυσίον πάλιν ἤρετο, τίνος ἐστὶν ἄξιον, καὶ λέγουσιν οὐδενός. οὕτως, ἔφη, καὶ ἡ Μαρία (οὐ γὰρ Θεοτόκον ὁ ἄθεος ἠξίου λέγειν) ἕως μὲν εἶχεν τὸν Χριστὸν ἐν ἑαυτῇ, τετιμημένη ἦν, ἀφ᾽ οὗ δὲ τοῦτον ἀπέτεκεν, οὐδὲν τῶν λοιπῶν γυναικῶν διενήνοχεν. ὢ τῆς βλασφημίας· φεῖσαι ἡμῶν, Κύριε. **3** ἐκ τούτων οὐ μικρά τις ἀθυμία τοὺς Χριστιανοὺς κατέλαβεν, ὥστε πάντας μισῆσαι αὐτὸν καὶ Ἀρταβάσδῳ,

---

2 Constantinus V. regnavit a. 741–775

---

§ 1–3: cf. Georg. Mon. 750.15–751.18 **2** Κωνσταντῖνος – λδ': cf. Theoph. 414.11–15; 412.24–413.1; 448.21–23 **2–4** ἐκ – πετόμενος: cf. Is. 14.29 (ἐκ γὰρ σπέρματος ὄφεων ἐξελεύσεται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται ὄφεις πετόμενοι) § 2–3: cf. Theoph. e.g. 413.18–25 (passim de irreligione Constantini); Vit. Th. Stud. 236B–C (de irreligione Constantini) § 3: cf. Niceph. Brev. 64–66 **20–22** ἐκ – προστεθῆναι: Theoph. 413.28–414.2

T[L] C[F_1]PH[K] **2** a Κωνσταντῖνος T[L] C[F_1]PH a § 3 T[L] CPH

---

1 Κωνσταντῖνος ὁ Κοπρώνυμος (κοπρόνυμος T) : κωνσταντῖνος ὁ κοπρώνυμος ἔτη λδ in mg. C : βασιλεία κωνσταντίνου τοῦ κοπρονύμου· υἱοῦ λέοντος F_1 : κωνσταντῖνος ὁ υἱὸς λέοντος τοῦ ἰσαύρου ὁ κοπρώνυμος P : κωνσταντῖνος ὁ κοπρώνυμος καὶ υἱὸς αὐτοῦ K : om. L H **2** κωνσταντῖ ut vid. T υἱὸς αὐτοῦ (sic L) : ὁ υἱὸς λέοντος τοῦ ἰσαύρου F_1 : ὁ υἱὸς αὐτοῦ P K : om. C H **4** βασιλείαν τε (τε om. C) : τὲ βασιλείαν P **5** πλέον C Θεομήτορος : θεοτόκου μητρὸς P H **6** πάντων – ἁγίων : πάντων τῶν ἁγίων αὐτοῦ P : τῶν αὐτοῦ ἁγίων πάντων H post ἀσελγείαις add. καὶ ᾠδαῖς (ἐπωδαῖς H) P H **8** ἱπποδρομίαις H **9** Ἀντιχρίστου : ἀντικειμένου P **10** τὸ παράπαν om. P **11** τούτων : τῶν ἁγίων H **12** αὐτῶν (sic L F_1 : ἐξ αὐτῶν C) : αὐτὸν T **13** τὴν – ἐπικαλείσθω τις (τῆς T) : τῆς μαρίας ἐπικαλείσθω (ἐπικαλει^{τ} F_1) τις τὴν (τις τὴν : τίς F_1) F_1 P H : non adhib. L τι om. H **16** πάλιν : αὖθις H **17** ἄθεος : ἄθλιος H **18** αὐτῇ C **20** τούτων : τούτου H τις ἀθυμία (sic L) : τῆς ἀθυμίας T **20–21** τοῖς χριστιανοῖς H

κουροπαλάτῃ καὶ γαμβρῷ ἐπ᾿ ἀδελφῇ αὐτοῦ, προστεθῆναι. ἐξελθὼν γὰρ Κωνσταντῖνος ἐν τοῖς μέρεσι τοῦ Ὀψικίου κατὰ Ἀράβων, Ἀρταβάσδου μετ᾿ αὐτοῦ ὄντος, ὑπεβλέποντο ἀλλήλους, καὶ συμβολῆς γενομένης μετ᾿ ἀλλήλων καὶ τοῦ βισήρ, τοῦ καὶ συμμύστου Κωνσταντίνου, σφαγέντος παρὰ Ἀρταβάσδου, Κωνσταντῖνος φοβηθεὶς ἔφυγεν εἰς τὸ Ἀμώριον. ἐντεῦθεν μάχαι μεταξὺ αὐτῶν δεινόταται γεγόνασιν. Ἀρτάβασδος δὲ Θεοφάνην μάγιστρον, φίλον αὐτοῦ ὄντα καὶ τότε ἐκπροσωποῦντα ἐν τῇ πόλει, ἔγραψε δέξασθαι αὐτόν. καὶ δεχθεὶς ὑπὸ τῶν θεμάτων ἀνηγορεύθη βασιλεύς. εἰσελθὼν δὲ ἐν τῇ πόλει πᾶς ὁ λαὸς σὺν τῷ ψευδωνύμῳ πατριάρχῃ Ἀναστασίῳ ἀνεθεμάτισαν Κωνσταντῖνον, Ἀρτάβασδον δὲ ὡς ὀρθόδοξον βασιλέα ἀνεκήρυξαν. καταλαβὼν οὖν καὶ Κωνσταντῖνος ἐν Χρυσοπόλει μετὰ λαοῦ καὶ μηδὲν ἀνύσας ὑπέστρεψεν πάλιν εἰς τὸ Ἀμώριον. ὁ δὲ Ἀρτάβασδος τὰς ἱερὰς εἰκόνας πανταχοῦ ἀνεστήλωσε, καὶ τὸν πρὶν αὐτῆς κόσμον ἡ ἐκκλησία ἀπέλαβεν. Ἀναστάσιος δὲ ὁ πατριάρχης κρατήσας τὰ τίμια ξύλα ὤμοσεν ἐν τῷ ἄμβωνι ἑστώς, ὅτι μὰ τὸν προσηλωθέντα ἐν τούτοις, οὕτως μοι εἶπε Κωνσταντῖνος ὁ βασιλεύς, ὅτι μὴ λογίσῃ υἱὸν Θεοῦ εἶναι τὸν Χριστόν, ὃν ἔτεκεν ἡ Μαρία, εἰ μὴ ψιλὸν ἄνθρωπον, ὡς ἔτεκεν ἐμὲ ἡ μήτηρ μου Μαρία. καὶ τοῦτο ἀκούσαντες οἱ λαοὶ ἀνεθεμάτισαν αὐτόν. ὁ δὲ Ἀρτάβασδος ἐξελθὼν ἐστρατολόγει. Κωνσταντῖνος δὲ τοῦτο μαθὼν ἐκίνησε κατ᾿ αὐτοῦ καὶ συμβαλὼν μετ᾿ αὐτοῦ πόλεμον τρέπει αὐτόν. καὶ καταλαβὼν τὴν Κύζικον ἐν τῇ πόλει διασῴζεται. ὁ δὲ Κωνσταντῖνος ἐν Χαλκηδόνι ἐλθὼν ἀντεπέρασεν ἐν τοῖς θρᾳκῴοις μέρεσι καὶ τῷ χερσαίῳ τείχει παρακαθίσας διέδραμεν ἕως τῆς Χρυσῆς πόρτης ἐπιδεικνύων ἑαυτὸν τοῖς ὄχλοις. ὁ δὲ Ἀρτάβασδος ἀνοίξας τὰς πόρτας καὶ συμβαλὼν πάλιν πόλεμον ἡττήθη κατὰ κράτος. τοῦ δὲ Κωνσταντίνου τὰ πλοῖα κρατήσαντος ἐγένετο λιμὸς ἰσχυρὸς ἐν

22–40 ἐξελθὼν – αὐτόν: cf. Theoph. 414.20–415.30 **40–77** ὁ – βίον: cf. Theoph. 417.26–418.11; 419.7–421.2

T[L] CPH

---

22 κουροπαλάτῃ (sic L) : κοροπαλάτη T γαμβρόν H ἐπ᾿ (sic L) : ἐπὶ T ἀδελφὸν H post γὰρ add. ὁ H **23** τοῦ om. C ὀψικίου T ἀρταυβάσδου T (-αυβ- etiam supra et infra T) **24** ἀλλήλοις H **25** βιρσῆ H **26** Ἀμώριον : ἀμώρριον L : ἀμόριον P H **27** ἐντεῦθεν – δεινόταται γεγόνασιν (γεγόνασι δεινόtατοι P) om. H δὲ om. H **32** οὖν καὶ (οὖν C^pc?) : δὲ P H **33** μετὰ λαοῦ om. H ὑπέστρεψεν (ἀνέστρεψε C) (sic L) : ὑπέστρεψεν δὲ T **34** Ἀμώριον (sic L) : ἀμώριν T : ἀμόριον P H **35** κόσμον αὐτῆς H **37** οὕτως : οὗτος T μοι : μὴ H εἶπε : ὤμοσεν H ὁ βασιλεὺς κωνσταντῖνος H **38** μὴ pr. om. H Χριστόν, ὃν ἔτεκεν ἡ Μαρία : υἱὸν τῆς ὤμαρίας H **39** ὡς (sic L) : ὃς T **42** post Κύζικον add. ἐκεῖθεν P H **43** post διασῴζεται add. ὁ ἀρτάβασδος C ἐλθὼν ἀντεπέρασεν : περάσας H **44** παρακαθίσας : παραλαβὼν H **46** πόρτας : πύλας H πάλιν om. C **47** λοιμὸς H

τῇ πόλει, ὥστε πραθῆναι τὸν μόδιον τῆς κριθῆς νομισμάτων ιβ' καὶ τὰ λοιπὰ ὁμοίως. τοῦ δὲ λαοῦ θνῄσκοντος καὶ ἀπολλυμένου ἠναγκάσθη Ἀρτάβασδος ἀπολύειν καὶ ἐξέρχεσθαι αὐτοὺς ἐκ τῆς πόλεως. Νικήτας δέ, ὁ υἱὸς Ἀρταβάσδου, ἐπισυνάξας λαὸν ἱκανὸν ἦλθεν ἕως Χρυσοπόλεως, καὶ περάσας ὁ βασιλεὺς ἐδίωξεν αὐτὸν καὶ καταλαβὼν ἐχειρώσατο καὶ τοῦτον πεδήσας, ἐλθὼν διὰ τοῦ τείχους τῷ πατρὶ ἐπεδείκνυεν. ἄφνω δὲ παραταξάμενος διὰ τοῦ χερσαίου τείχους τὴν πόλιν παρέλαβεν καὶ χειρωσάμενος Ἀρτάβασδον καὶ τὸν πατρίκιον Βακτάγγιον τὸν μὲν Ἀρτάβασδον σὺν τοῖς δυσὶν υἱοῖς αὐτοῦ ἐτύφλωσεν, τοῦ δὲ Βακταγγίου χεῖρας καὶ πόδας κόψας ἐν τῷ κυνηγίῳ ἀπεκεφάλισε, πολλοὺς δὲ καὶ ἄλλους τῶν προὐχόντων ἀνεῖλεν καὶ τὰς οὐσίας αὐτῶν ἐδήμευσεν. ἱππικὸν δὲ ποιήσας εἰσήγαγε τὸν Ἀρτάβασδον σὺν τοῖς υἱοῖς αὐτοῦ ἅμα τῷ πατριάρχῃ Ἀναστασίῳ καὶ τοῖς φίλοις αὐτοῦ, τοῦ πατριάρχου ἐπὶ ὄνου ἀντιστρόφως καθεζομένου καὶ πομπευομένου· οὗτος γάρ ποτε περιπατῶν ὄπιθεν Γερμανοῦ τοῦ πατριάρχου, σύγκελλος ὤν, ἐπάτησε τὸ ὠμόφορον αὐτοῦ· ὁ δὲ ἐπιστραφεὶς ἔφη αὐτῷ· μὴ σπεῦδε, τὸ Δίππην ἐκδέχεταί σε. πάλιν δὲ Κωνσταντῖνος ὡς ὁμόφρονα αὐτοῦ ὄντα ἐν τούτοις ἐκφοβήσας ἐν τῷ θρόνῳ τῆς ἱερωσύνης ἐκάθισεν. **4** ἐφ' οὗ ἤρξατο ἀθρόον καὶ ἀοράτως σημεῖα ἔν τε τοῖς ἱματίοις τῶν ἀνθρώπων γίνεσθαι καὶ εἰς τὰ τῶν ἐκκλησιῶν ἱερὰ ἐνδύματα σταυροὶ ἐλαιώδεις πλεῖστοι, καὶ οὕτως κατέλαβεν ἡ θεομηνία τοῦ βουβῶνος, λοιμικὴ νόσος, οὐ μόνον τοὺς ἐν τῇ πόλει, ἀλλὰ καὶ τοὺς ἐν τοῖς περιχώροις δεινῶς ὀλοθρεύουσα. καὶ πρὸς τούτοις ἐγίνοντο καὶ φαντασίαι τινὲς εἰς πολ-

---

59–65 ἱππικὸν – ἐκάθισεν: cf. Theoph. 408.12sqq. § 4–5: cf. Niceph. Brev. 67 § 4: cf. Theoph. 423.5sqq.; 422.29sqq.; 418.14–15; 421.17; Georg. Mon. 752.18–753.19

T[L] CPH

---

48 τὸν : τὸ H μόδιον (sic L Theoph. 419.26 Georg. Mon. 759.23) : μόδην T νομίσματα H ιβ' (sic L Theoph. 419.26 Georg. Mon. 760.1) : β T **49** τοῦ δὲ : καὶ τοῦ H **50** Νικήτας : νικήσας L H **51** Χρυσοπόλεως : τῆς χρυσουπόλεως P **53** ἐλθὼν – τείχους : ἦλθε διὰ τοῦ τείχους καὶ C ἐπεδείκνυεν (ἐπεδείνυεν T) : ἐδείκνυεν C **53–54** ἄφνω (ἄμφνω H) δὲ παραταξάμενος : ἄμφω δὲ παραταξάμενοι, ἐπολέμησαν· καὶ ὁ κωνσταντῖνος C **55** post Ἀρτάβασδον pr. add. σὺν τοῖς δυσὶν υἱοῖς P Βακτάγγιον om. H **56** Βακταγγίου : βατανκίου H **57** ἐκκόψας H **59** εἰσήγαγε : ἀπήγαγε P : ἐπήγαγε H post τοῖς add. δυσὶν L H (cf. supra P) **60** post ἅμα add. καὶ C **61** ἀντιστρόφως ἐπὶ ὄνου C ἀντιστρόφος καθεζομένους καὶ πομπεβομένους H καὶ πομπευομένου om. C **61–62** ποτε περιπατῶν (sic L) : περιπατῶν ποτε C P H **62** ὄπισθεν C H **63** τὸ pr. (sic L) : τῶ T Δίππην (sic L) : δïΐππïόν C : δίππιον P : δ' ἵππιον H : fort. scrib. Δίππιν vel Διίππιν (cf. Theoph. 408.9) **64** σε ἐκδέχεται C post δὲ add. ὁ C ὄντα om. L H **65** ἐκάθισεν : καθίστησιν P **65–66** ἤρξαντω H **66** ἀθρόως L H **66–67** ἔν τε τοῖς (τοῖς om. P) – γίνεσθαι : καθ' ἑκάστην γίνεσθαι ἐν τοῖς ἱματίοις τῶν ἀνθρώπων H **68** βωβῶνος H **69** τοὺς ἐν alt. : ἐν C : om. H post περιχώροις add. αὐτῆς (αὐτοῖς H) P H **70** ἐγένοντω H καὶ alt. om. C

λοὺς τῶν ἀνθρώπων καὶ δείματά τινα ἐξαίσια, ἃ οἱ ὁρῶντες ἐτελεύτων, ὥστε καὶ ὁλοκλήρους οἴκους κλεισθῆναι παντελῶς καὶ μὴ εἶναι τοὺς ὀφείλοντας θάπτειν τοὺς νεκρούς. παντὸς δὲ οἴκου διαφθαρέντος διὰ τὴν ἀσέβειαν τοῦ τυράννου πάντα τὸν πλοῦτον τῶν οἰκητόρων τῆς πόλεως εἰσκομίσας ἐν τῷ παλατίῳ ἀπέθετο. ἔφθασε δὲ καὶ ἡ ὀργὴ εἰς Ἀναστάσιον τὸν ἀνίερον, καὶ οἰκτίστῳ πάθει, τῷ λεγομένῳ χορδαψῷ, καταλύει τὸν βίον. **5** ὁ δέ γε τύραννος τῶν Σαρακηνῶν κατ᾽ ἀλλήλων μαχομένων ἀκούσας ἐκστρατεύει πρὸς τὰ μέρη τῆς Συρίας καὶ Γερμανίκειαν παρέλαβε καὶ Θεοδοσιούπολιν καὶ Μελιτηνήν, αἰχμαλωτίσας πάντας τοὺς ἐκεῖσε, καὶ διὰ τὴν τοιαύτην πρόφασιν τοῦ θανατικοῦ προσλαβόμενος τοὺς συγγενεῖς αὐτοῦ Ἀρμενίους τε καὶ Σύρους αἱρετικοὺς εἰς τὸ Βυζάντιον μετῴκισεν καὶ ἐν τῇ Θρᾴκῃ, οἳ μέχρι τοῦ νῦν τὴν αἵρεσιν τοῦ τυράννου διακρατοῦσιν. **6** ἐτέχθη δὲ τότε τῷ βασιλεῖ Κωνσταντίνῳ υἱὸς ἐκ τῆς τοῦ Χαγάνου, τῆς Χαζάρας, θυγατρός, ὃν ἐπωνόμασε Λέοντα. **7** ἐπαρθεὶς δὲ τῷ φρονήματι ὁ ἄθεος διὰ τὴν παρ᾽ αὐτοῦ γενομένην νίκην σύνοδον συναθροίζει κατὰ τῶν ἁγίων εἰκόνων ἐν Βλαχέρναις καὶ ἀνελθὼν ἀθέσμως ἐν τῷ ἄμβωνι χειροκρατῶν Κωνσταντῖνον, ἐπίσκοπον τοῦ Συλαίου, ἐξεφώνησεν οὕτως· Κωνσταντίνου οἰκουμενικοῦ πατριάρχου πολλὰ τὰ ἔτη. ἐν ᾗ συνόδῳ πολλὰ κατὰ τοῦ Κυρίου κενολογήσαντες οἱ ἱερεῖς τῆς αἰσχύνης καὶ τὰς μιαρὰς χεῖρας εἰς ὕψος ἄραντες ἔρρηξαν τὴν ἐλεεινὴν ἐκείνην φωνὴν λέγοντες· σήμερον σωτηρία τῷ κόσμῳ, ὅτι σύ, βασιλεῦ, ἐλυτρώσω ἡμᾶς ἐκ τῶν εἰδώλων. ταῦτα διεπράξαντο οἱ ἀνίεροι καὶ χριστέμποροι. **8** οὐ πολὺ τὸ ἐν μέσῳ καὶ ἄξια εἰς τὸν χειροτονηθέντα πατριάρχην ὑπ᾽ αὐτοῦ διεπράξαντο ἔργα. μαθὼν γὰρ ὁ ἀλάστωρ, ὅτι ὁ πατριάρχης πολλοὺς ἐπληροφόρησεν εἰπεῖν τὸν βασιλέα πρὸς αὐτόν, ὅτι οὐκ ἔστιν θεὸς ὁ Χριστός, διὰ τοῦτο

75–77 ἔφθασε – βίον: cf. Theoph. 427.25–28 § 5: cf. Theoph. 427.14–16; 419.19–22; Georg. Mon. 752.12–17 § 6: cf. Theoph. 426.14–16; Niceph. Brev. 69.1–2 § 7: cf. Theoph. 427.29–428.12; Georg. Mon. 754.1–755.6; Niceph. Brev. 72 § 8: cf. Theoph. 438.26–439.5; 440.11–13; Georg. Mon. 755.20–757.8; Niceph. Brev. 84

T[L] CPH

---

71 τῶν om. H δείματά (sic L) : δεῖμα T : δείγματα H **73–75** παντὸς – ἀπέθετο om. H **74** τῶν – πόλεως : τῶν οἰκητόρων L : τῶν οἰκητόρων οὗτος C : τῆς πόλεως τῶν οἰκητόρων P : non adhib. H **78** post καὶ add. τὴν P H **80** καὶ διὰ : διὰ δὲ P H **80–81** post προσλαβόμενος add. πάντας H **81** post εἰς add. τε P H **82** Θρᾴκῃ : φερομένη τῆς θράκης χώρῳ H **83–85** τότε – Λέοντα : τῷ δυσσεβῇ λέων υἱός H **84** τοῦ om. P : non adhib. H **85** ὁ ἄθεος om. P H **85–86** παρ᾽ αὐτοῦ om. H **86** ἀθροίζει P **87–88** Κωνσταντῖνον om. P **88** ἐφώνησεν H **90** κενολογήσαντες : ἐκοινολογήσαντω H **92** βασιλεύς H ἐκ τῶν εἰδώλων : τῆς πλάνης τῶν οἰδώλων H **93** ταῦτα διεπράξαντο (διε- non vid. P) – χριστέμποροι (sic L : χριστέμπουροι T) om. H **94** ὑπ᾽ αὐτοῦ πατριάρχην P H διεπράξατο H **96** πρὸς αὐτόν om. H

οὐδὲ τὴν Μαρίαν ἔχω θεοτόκον, ἐξεμάνη κατ᾽ αὐτοῦ ὡς τὸ μυστήριον αὐτοῦ θριαμβεύσαντος καὶ ἐπιθεὶς αὐτῷ πληγὰς πολλὰς ἐθριάμβευσεν αὐτὸν ἐπὶ λαοῦ καὶ ἱπποδρομίας ἐμπτυόμενον καὶ συρόμενον. εἶτα ἀσφαλισάμενος αὐτὸν ἀποστέλλει πρὸς αὐτὸν πατρικίους καί φησι· τί λέγεις ἄρτι περὶ τῆς πίστεως ἡμῶν καὶ τῆς συνόδου, ἧς ἐποιήσαμεν; ὁ δὲ ματαιωθεὶς ταῖς φρεσὶ καὶ οἰόμενος αὐτὸν πάλιν ἐξευμενίσασθαι ἀποκριθεὶς εἶπεν· καλῶς πιστεύεις καὶ καλῶς τὴν σύνοδον ἐποίησας. οἱ δὲ ἐπιγελάσαντες εἶπον πρὸς αὐτόν· ἡμεῖς τοῦτο μόνον ἠθέλομεν ἀκοῦσαι παρὰ τοῦ μιαροῦ σου στόματος. καὶ παραχρῆμα ἐξαγαγόντες αὐτὸν ἀπεκεφάλισαν καὶ τὸ σῶμα αὐτοῦ ἔρριψαν εἰς τὰ Πελαγίου, ἔνθα πρώην ὑπῆρχεν ὁ τοῦ ἁγίου μάρτυρος Πελαγίου ναός, ὃν ὁ θεομισὴς καταλύσας καὶ τάφον καταδίκων ποιήσας ἐκάλεσε τὰ Πελαγίου. καὶ ἀντιχειροτονεῖ πατριάρχην Νικήταν, τὸν εὐνοῦχον καὶ Σκλάβον. **9** ὡσαύτως δὲ καὶ Πέτρον τὸν ἱερὸν καὶ τὸν θεῖον Στέφανον, τὸν τοῦ Αὐξεντίου τοῦ Θεοφόρου, φονεύσας εἰς τὰ Πελαγίου συρέντας ῥιφῆναι προσέταξεν. πολλοὺς καὶ ἑτέρους ἄρχοντάς τε καὶ μοναχοὺς διὰ τὰς ἱερὰς εἰκόνας δεινῷ θανάτῳ παρέδωκεν. **10** ἐστράτευσε δὲ κατὰ Βουλγάρων πεζῇ τε καὶ πλοΐ καὶ τούτους τροπωσάμενος εἰσῆλθεν ἐν τῇ πόλει καθωπλισμένος τοῖς πολεμικοῖς ὅπλοις, θριαμβεύων δεδεμένους τοὺς Βουλγάρους. **11** ἐφ᾽ οὗ χρόνου γέγονε χειμὼν καὶ ψῦχος μέγα καὶ πικρότατον, ὥστε καὶ τὴν ἀρκτῴαν τοῦ Πόντου θάλασσαν ἐπὶ μίλια ἑκατὸν ἀπολιθωθῆναι καὶ ἐπὶ πήχεις τριάκοντα τὸ βάθος τοῦ πελάγους παγῆναι, οὗπερ χιονισθέντος ηὐξήθη ἐπ᾽ ἄλλας κʹ πήχεις, ὥστε συμμορφωθῆναι τὴν θάλασσαν τῇ ξηρᾷ καὶ πεζοπορεῖσθαι ὕπερθεν τοῦ κρύους ὑπὸ ἀγρίων τε καὶ ἡμέρων ζῴων. τῷ δὲ Φεβρουαρίῳ μηνὶ προνοίᾳ Θεοῦ τοῦ τοιούτου πελά-

§ 9: cf. Theoph. 442.18–24; 436.26sqq.; Georg. Mon. 757.11–18; Niceph. Brev. 81 § 10: cf. Theoph. 432.29–433.20; Niceph. Brev. 73 § 11: cf. Theoph. 434.6–435.5; Georg. Mon. 758.11–759.15; Niceph. Brev. 74

T[L] CPH **109** a καὶ T[L] CPH[K]

97 Μαρίαν : μητέρα αὐτοῦ P H **98** θριαμβεύσαντα L P πολλὰς πληγὰς P H **99** αὐτὸν (sic L) : αὐτῶ T **102** πάλιν om. C **103** ἐποίησας : ἐκήρυξας H **104** ἐπεγγελάσαντες C **105** παρὰ (sic L) : ἀπὸ C : ἐκ P H ἐξαγαγόντες : ἐξενεγκόντες P **107–08** ὃν – Πελαγίου om. H **109** τὸν om. C **110** τοῦ pr. om. C **110–11** τοῦ Θεοφόρου : τὸν Θεοφόρον P K : om. H **111** πικρῶς φονεύσας P H **112** πολλοὺς (post πολλοὺς add. δὲ (τε H K) P H K) καὶ ἑτέρους : καὶ πολλοὺς ἑτέρους C : non adhib. L μονάζοντας H **113–14** πεζῇ τε καὶ πλοΐ : καὶ πλοΐ, καὶ πεζῆ H : πεζῆ τε καὶ πλοΐα K **115** δεδεμένους τοὺς Βουλγάρους : τὰ λάφυρα καὶ τοὺς βουλγάρους δεδεμένους H K **118** καὶ ἐπὶ πήχεις (πήχεσι P K) – παγῆναι om. H post πελάγους add. τῆς θαλάσσης C **118–19** ὅπερ χϊονισθὲν C **119** ηὐξήνθη H ἐπ᾽ : ἐπὶ P H K **120** ὕπερθεν : ἐπὶ ἄνωθεν H **121–22** τοῦ τοιούτου (τοιούτου om. C) πελάγους (sic L (πελάγους : πάγους T)) : τὰ τοιαῦτα πελάγη P H K

γους εἰς πλεῖστα καὶ ὀροφανῆ τμήματα διαιρεθέντος καὶ τῇ τῶν ἀνέμων βίᾳ ἐπὶ τὸ Ἱερὸν κατενεχθέντων οὕτως διὰ τοῦ Στενοῦ ἐπὶ τὴν πόλιν ἔφθασαν κἀκεῖθεν μέχρι τῶν νήσων καὶ Ἀβύδου πᾶσαν τὴν παράλιον ἐπλήρωσαν ἔχοντα καὶ ζῷα διάφορα προσπεπηγμένα. διὸ πᾶς ὁ βουλόμενος ἀπὸ Σοφιανῶν εἰς τὸν ἅγιον Μάμαντα καὶ εἰς τὴν πόλιν καὶ πάλιν εἰς Χρυσόπολιν ὡς διὰ ξηρᾶς διεπέρων βαδίζοντες. ἐκ δὲ τῶν μεγάλων ἐκείνων τμημάτων ἓν τῷ τείχει τῆς πόλεως προσραγὲν ἐκ τῶν θεμελίων ἐδόνησε σὺν τῶν ἔνδοθεν πλησίων οἰκημάτων· ὅπερ διαιρεθὲν εἰς τρία ἀπὸ τῶν Μαγγάνων ἕως τοῦ Βοοσφορίου τὴν πόλιν περικυκλῶσαν ὑπερεῖχε πολὺ τῷ ὕψει τὰ τείχη, καὶ ταῦτα θεωροῦντες οἱ τῆς πόλεως ἐθρήνουν ἀπαρηγόρητα. **12** τῷ δὲ Ἀπριλλίῳ μηνὶ δρόμος καὶ κίνησις ἀστέρων γέγονεν ἐν τῷ ἀέρι, καὶ κατεσπῶντο πρὸς τὴν γῆν, ὡς τοὺς ὁρῶντας νομίζειν εἶναι συντέλειαν. **13** ὁ δὲ βασιλεὺς κατὰ Βουλγάρων ἐπιστρατεύσας πλοΐ τε καὶ πεζῇ ἐπὶ Ἀχελῶν ἀπέστειλεν. ἀνέμου δὲ βιαίου πνεύσαντος τὰ πλοῖα συνετρίβη. τοῦτο μαθόντες οἱ Βούλγαροι πόλεμον πρὸς αὐτὸν συνάπτουσι. δεινῶς οὖν ἡττηθεὶς ὑπέστρεψε μετ᾽ αἰσχύνης· μέχρι γὰρ καὶ τήμερον τὰ κατὰ τὸν Ἀχελῶν κῶλα τῶν ἀνῃρημένων σαφῶς ὑποδεικνύουσι τὴν ἧτταν. **14** οὗτος ὁ θεομισὴς πολλῶν ἁγίων λείψανα κατέκαυσεν, ἄλλα δὲ καὶ τῇ θαλάσσῃ παρέδωκεν. ἐν ᾧ καὶ τῆς ἁγίας Εὐφημίας τὸ λείψανον, μὴ φέρων ὁρᾶν μύρον ἀναβλύζον, σὺν τῇ λάρνακι τῷ βυθῷ παρέπεμψεν, ὅπερ ἐν τῇ Λήμνῳ σῶον διασωθὲν παρὰ τῶν οἰκητόρων ἐδέχθη ἐκ θείας ἀπο-

---

§ 12: cf. Theoph. 435.5–7; Georg. Mon. 759.19–21; Niceph. Brev. 71 § 13: cf. Theoph. 432.29–433.10; Georg. Mon. 758.1–10 § 14: cf. Theoph. 439.15–440.7

T[L] CPH[K]

---

122 post πλεῖστα add. τε H K διαιρεθέντος : διαιρεθέντα P K : διαιρεθῆναι H **123** κατενεχθέντων : κατενεχθέντα (καταν- H) P H K οὕτως C **124** προάλϊον C **127** διεπέρων : ἐπέρων L C H K **128** τῷ τείχει : τῶν τειχῶν (τοιχ- H) P H K post θεμελίων add. τοῦτο P H K **129** σὺν – οἰκημάτων (μετὰ τῶν exhib. L) : cf. Theoph. 426.19 et Georg. Mon. 759.11 (σὺν c. gen.) : σὺν τοῖς ἔνδοθεν πλησίον οἰκήμασιν C P H K διαρεθὲν T **130** μαγγάνου C Βοοσφορίου (sic L Georg. Mon. 759.13) : βοοσφόρου C (sic Theoph. 435.1–2) : βοσπορίου καὶ P H K περικυκλῶσαν : περιεκύκλωσεν H : περιεκύκλωσαν K **131** πολὺ : πολλῷ C : δὲ H : δὲ πολὺ K τὰ τείχη : τῶν τειχῶν P H K **132** ἀπαρηγόρητα : ἀπαραμύθητα H **133** κατεσπῶντο : κατάπεσώντων H **134** νομίζειν (sic L) : νομίζει T συντέλειαν : τὴν συντέλειαν H : τὰ συντέλεια K **135** Ἀχελῶν (sic L) : ἀχελῷον C P H K **136** συνετρίβησαν H K **137** αὐτὸν (sic L) : αὐτοὺς C H K **138** σήμερον H τὰ om. P H K τὸν : τῶν T L ἀχελῷον L C P H K **139** σαφῶς ὑποδεικνύουσι (-ύει C) : κεῖνται σαφῶς ὑποδεικνύοντα H : κεῖνται σαφῶς ὑποδεικνύουσι K **140** ἄλλα δὲ καὶ : ἀλλὰ δὲ (δὲ om. P) καὶ P K : ἕτερα δὲ H θαλάττῃ C **141** ἐν ᾧ (sic L) : ἐν οἷς C : διὸ P H K **142** ἀναβλύζον : εκβλύζον H : βλύζων K παρέπεμψεν : παρέδωκεν H K post ἐν add. τῇ νήσῳ P H K

καλύψεως. τὸν δὲ ναὸν τῆς ἁγίας καὶ πανευφήμου ἀρμάμεντον καὶ κοπροθέσιον ἐποίησεν. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τὸ αὐτὸ λείψανον τῆς πανευφήμου πάλιν μετὰ τιμῆς πολλῆς ἀνεκομίσθη ἐν τῇ πόλει. **15** οὗτος τῶν υἱῶν αὐτοῦ τοὺς μὲν δύο προεβάλετο καίσαρας, Νικηφόρον καὶ Χριστοφόρον, τὸν δὲ Νικήταν *νωβελίσιμον*. εἰσελθούσης δὲ τῆς Εἰρήνης ἐξ Ἀθηνῶν ἐν τῇ βασιλευούσῃ πόλει μετὰ δρομώνων ἔζευξεν αὐτὴν Λέοντι, τῷ υἱῷ αὐτοῦ, στέψας αὐτοὺς ἐν τῷ ναῷ τοῦ ἁγίου Στεφάνου τῷ τῆς βασιλείας στέφει καὶ τῷ τοῦ γάμου. **16** ἔσχε δὲ δεξιωσάμενος φίλους κρυπτοὺς ἐν Βουλγαρίᾳ, οἳ κατεμήνυον αὐτῷ ἅπαντα τὰ τῷ ἄρχοντι αὐτῶν βουλευόμενα. οἳ δηλοῦσι τῷ βασιλεῖ, ὅτι ἀποστέλλει ὁ κύρις Βουλγαρίας λαὸν πρὸς τὸ αἰχμαλωτίσαι τὴν Βερζητίαν. ὁ δὲ βασιλεὺς σχηματισάμενος κατὰ Ἀράβων κινεῖν, ἀποστείλας τοὺς ἀποκρισιαρίους τοὺς διὰ εἰρήνην παραγενομένους ἐπὶ Βουλγαρίας καὶ ἐπισωρεύσας πάντα τὸν στρατὸν ἅμα τῶν ταγμάτων ἐπέπεσε τοῖς Βουλγάροις ἀσαλπιγκτὶ καὶ τρέψας αὐτοὺς ἐποίησε νῖκος μέγα καὶ ὑποστρέψας ἐν τῇ πόλει καὶ θριαμβεύσας τεθωρακισμένος τὸν πόλεμον τοῦτον ἐπωνόμασεν εὐγενῆ, ὡς μηδενὸς αὐτῷ ἀντιστάντος μηδὲ σφαγῆς Ῥωμαίων γενομένης. **17** ὁ δὲ ἄρχων Βουλγαρίας Τελέριχος γνούς, ὅτι ἐκ τῶν οἰκείων αὐτοῦ τὰς βουλὰς ὁ βασιλεὺς μανθάνει, γράφει αὐτῷ ἐν δολιότητι, ὅτι βουλῆς εἰμι ἐκφυγεῖν καὶ ἐλθεῖν πρὸς σέ, καὶ ἵνα δι᾽ ἐμοῦ ὑποτάξῃς πᾶσαν τὴν Βουλγαρίαν. ἀλλὰ πέμψον λόγον ἀπαθείας μου καὶ τίνας φίλους ἔχεις ἐνταῦθα, ἵνα θαρρήσω αὐτοῖς ἐλθεῖν

147–48 οὗτος – *νωβελίσιμον*: cf. Theoph. 443.31–444.6; Niceph. Brev. 87 **148–51** εἰσελθούσης – γάμου: cf. Theoph. 444.15–25; Niceph. Brev. 88 § 16: cf. Theoph. 447.10–26 § 17: cf. Theoph. 448.4–10

T[L] CPH[K]

---

144 ἀρμαμέντον T L C **145** ἐποίησεν : ποιήσας H K δὲ om. P **146–47** ἐν τῇ πόλει ἀνεκομίσθη H K **147** post οὗτος add. ὁ κωνσταντῖνος C προεβάλετο (sic L) : προεβάλλετο T P H **148** *νωβελίσιμον* scripsi : *νωβελῆσιμον* T : *νωβελλήσιμον* L : *νωβελλΐσϊμον* C : *νουβελίσιμον* P : *νουβελήσιμον* H K **149** δρόμωνος H **150–51** στέψας – γάμου : στεφανώσας αὐτοὺς καὶ στέψας ὁμοῦ καὶ *νυμφικῶ* καὶ βασιλείας στέφει ἐν τῶ *ναῶ* τοῦ ἁγίου στεφάνου H **151** στέφει om. P **153** *αὐτῶν* : αὐτῶ P **154** κῦρϊς C Βουλγαρίας : βούλγαρος P K : βουλγάρων H **156** ἀποκρισιαρίους : πρέσβεις H παραγενομένους (sic L) : παραγενομένης T **156–57** ἐπὶ Βουλγαρίας (sic L) : ἐν βουλγαρία C : ἐπὶ βουλγαρίαν P H K **157** ἅμα (post ἅμα add. μετὰ C) τῶν ταγμάτων (sic L) : ἅμα τοῖς τάγμασιν P H K **158** ἀσαλπιγκτὶ : ἀψοφωτὶ H **159** μέγαν H **160** ὠνόμασεν C ἀντιστάντος : ἀνθιστάντος P K : ἀνθισταμένου H **161** Βουλγαρίας : βουλγάρων P : τῶν βουλγάρων H K **161–62** Τελέριχος (sic L) : τελερίχος ut vid. C : τέλθριχος P H K **164** καὶ om. C P H K (quod exhib. L) ὑποτάξῃς (sic L) : ὑποτάξεις T **164–65** πέμψον λόγον ἀπαθείας μου (sic L) : λόγον ἀπαθείας μοὶ πέμψον C : πέμψον μοι λόγον ἀπαθείας μοι P : πέμψον μοι λόγον ἀπαθείας H K **165** αὐτοὺς T

σὺν ἐμοί. ὁ δὲ κουφότητι γνώμης καὶ ἀνοίᾳ κρατηθεὶς ἔγραψεν τοὺς καταμηνύοντας αὐτῷ, κἀκεῖνος μαθὼν πάντας δεινῷ θανάτῳ παρέδωκεν· ὅπερ ἀκούσας Κωνσταντῖνος τὴν γενειάδα αὐτοῦ ἀπέτιλεν. **18** ἐκστρατεύσας δὲ πάλιν κατὰ Βουλγάρων καὶ δεινῶς κατὰ τῶν σκελῶν ἀνθρακωθεὶς καὶ πυρετῷ λάβρῳ καὶ διακαεῖ συσχεθεὶς κατὰ τὴν Ἀρκαδιούπολιν ὑπέστρεψεν ἐγκλίνιος καὶ ἐλθὼν ἐν Σηλυμβρίᾳ καὶ ἐκπλωΐσας μέχρι τοῦ Στρογγύλου καστελλίου θνῄσκει ψυχῇ καὶ σώματι, βοῶν καὶ λέγων, ὅτι ζῶν πυρὶ ἀσβέστῳ παρεδόθην διὰ τὴν Θεοτόκον Μαρίαν. ἀλλὰ ἀπὸ τοῦ νῦν τιμάσθω καὶ ἀνυμνείσθω ὡς θεοτόκος ἀληθῶς οὖσα. ταῦτα αὐτοῦ ἐπιβοωμένου καὶ τὴν Θεοτόκον Μαρίαν ἐπικαλουμένου καὶ πᾶσι παρακελευομένου καὶ δογματίζοντος, ὡς χρὴ τιμᾶσθαι καὶ προσκυνεῖσθαι ὡς κυρίως θεοτόκον τὴν ἀειπάρθενον, δεινῶς καὶ χαλεπῶς τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀπέρρηξεν.

123 Λέων ὁ ἐκ τῆς Χαζάρας

Λέων ὁ ἐκ τῆς Χαζάρας υἱὸς αὐτοῦ ἐβασίλευσεν ἔτη ε'. **2** οὗτος ἤρξατο ἐφαπλοῦσθαι ἐπὶ τοῖς καταλειφθεῖσιν ὑπὸ τοῦ πατρὸς αὐτοῦ πολλοῖς χρήμασιν, ἐξευμενισάμενος τοῖς τε ἐν τέλει καὶ τῷ λαῷ εὐσεβὴς εἶναι προσποιησάμενος καὶ φίλος τῆς Θεοτόκου καὶ τῶν μοναχῶν, προχειρισάμενος καὶ μητροπολίτας τινὰς μοναχοὺς ἐν θρόνοις τισίν. **3** εἰσελθόντες οὖν οἱ τῶν θεμάτων ἄρχοντες σὺν πολλῷ πλήθει ἐν τῇ πόλει

---

2 Leo IV. regnavit a. 775–780

---

§ 18: cf. Theoph. 448.12–21; Georg. Mon. 760.10–17; Vit. Th. Stud. 237D–240A cap. 123, § 1: cf. Theoph. 449.4–8; Georg. Mon. 765.8–9 § 2: cf. Theoph. 449.11–16 § 3–4: cf. Theoph. 449.17–450.19

T[L] CPH[K]

166–67 μηνύοντας H **168** post ἀκούσας add. ὁ C K ἀπέτιλλεν P H K **170** καὶ pr. – κατὰ : εἰς C **171** Σηλυμβρίᾳ : συλιβρία H : σηλυβρία K ἐκπλωΐσας : πλωΐσας P : πλοΐσας H K **172** post ψυχῇ add. τε C **173** ἀσβέστῳ om. H K **174** ἀληθῶς : ἀληθὴς L P H K **176** ὡς : ὅτι C **177** ὡς om. P H K **177–78** δεινῶς – ἀπέρρηξεν (sim. exhib. L) : δεινῶς καὶ χαλεπῶς ἡ ἀθλία αὐτοῦ ψυχὴ ἀπορρήγνυται C : δεινῷ καὶ χαλεπῷ τὴν ἀθλίαν αὐτοῦ (αὐτοῦ om. H) ψυχὴν ἀπέρρηξε μόρῳ. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ἀναστάσιος, καὶ δεύτερος μετὰ τοῦτον κωνσταντῖνος (post κωνσταντῖνος add. et superlineavit μετὰ τοῦτον κων H), ὁ ἀποκεφαλισθεὶς ἐν τῷ κυνηγίῳ, τρίτος δὲ μετὰ τοῦτον νικήτας, πάντες αἱρετικοί P H K **cap. 123.1** Λέων (post Λέων add. ὁ υἱὸς τοῦ κοπρωνύμου P K), ὁ ἐκ τῆς Χαζάρας : λέων ὁ ἐκ τῆς χαζάρας υἱὸς κοπρωνΰμου ἔτη ε in mg. C : om. L H **2** post Χαζάρας add. ὁ C P H K (non add. L) **3** καταληφθεῖσιν T **3–4** ὑπὸ – χρήμασιν om. P H K **4** τοὺς ἐν τέλει καὶ τὸν λαὸν C τε (sic L) om. C P H K **5** προσποιησάμενος om. H **7** post σὺν add. τῷ P K

ᾐτοῦντο Κωνσταντῖνον τὸν υἱὸν αὐτοῦ βασιλέα. ὁ δὲ διὰ τοὺς ἀδελφοὺς δεδιὼς ἀντεδήλωσεν αὐτοῖς, ὅτι ὁ υἱός μου μονογενής μοί ἐστι, καὶ φοβοῦμαι τοῦτο ποιῆσαι, μήπως συμβῇ μοι θάνατος καὶ νηπίου αὐτοῦ ὄντος θανατώσετε αὐτὸν καὶ ἄλλον ἀντ᾽ αὐτοῦ προβάλλεσθε. οἱ δὲ μεθ᾽ ὅρκων φρικτῶν ἐπληροφόρουν αὐτὸν μὴ δέξασθαι ἄλλον βασιλέα ἐκτὸς αὐτοῦ. ἀπὸ δὲ τῆς Βαϊοφόρου ἕως τῆς Μεγάλης Πέμπτης τοῦτο ᾐτοῦντο, τῇ δὲ Ἁγίᾳ Παρασκευῇ ἐκέλευσεν ὀμόσαι αὐτοὺς εἰς τὰ τίμια ξύλα, καὶ ὤμοσαν οἵ τε τῶν θεμάτων καὶ τῶν ἔσω ταγμάτων καὶ τῶν πολιτῶν πάντων τοῦ μὴ δέξασθαι βασιλέα ἐκτὸς Λέοντος καὶ Κωνσταντίνου καὶ τοῦ σπέρματος αὐτῶν. **4** καὶ τῷ Μεγάλῳ Σαββάτῳ προεβάλετο Εὐδόκιμον, ἀδελφὸν αὐτοῦ, νουβελήσιμον, καὶ προῆλθε σὺν δυσὶ καίσαρσι καὶ τρισὶ νουβελησίμοις καὶ τῷ νέῳ Κωνσταντίνῳ εἰς τὴν Μεγάλην ἐκκλησίαν καὶ τὰ ἐξ ἔθους ποιήσας σὺν τῷ πατριάρχῃ καὶ τῷ υἱῷ αὐτοῦ ἀνῆλθεν εἰς τὸν ἄμβωνα. εἰσελθόντος δὲ παντὸς τοῦ λαοῦ καὶ ἀποθεμένων τὰ ἔγγραφα αὐτῶν ἐν τῇ ἁγίᾳ τραπέζῃ εἶπεν ὁ βασιλεύς· ἰδού, ἐκ τῆς ἐκκλησίας καὶ τῆς χειρὸς τοῦ Χριστοῦ τὸν υἱόν μου παραλαμβάνετε. οἱ δὲ ἐβόησαν· υἱὲ Θεοῦ, ἐγγύησον ἡμᾶς, ὅτι ἐκ τῆς χειρός σου παραλαμβάνομεν τὸν κύριν Κωνσταντῖνον εἰς βασιλέα, τοῦ διαφυλάττειν αὐτὸν καὶ ὑπεραποθνῄσκειν αὐτοῦ. καὶ τῇ ἐπαύριον, τῇ Μεγάλῃ Κυριακῇ, ἐστέφθη ἐν τῷ ἱπποδρομίῳ παρὰ τοῦ πατρὸς αὐτοῦ καὶ τοῦ πατριάρχου ἐνώπιον παντὸς τοῦ λαοῦ, καὶ προῆλθον ἐν τῇ ἐκκλησίᾳ οἱ δύο βασιλεῖς σὺν τοῖς δυσὶ καίσαρσι καὶ τρισὶ νουβελησίμοις. **5** τῶν δὲ Ἀράβων ἐξελθόντων ἀποστείλας ὁ βασιλεὺς τὰ στρατεύματα

§ 5: cf. Theoph. 451.11–27 (cf. 451.4–9)

T[L] CPH[K]

8 ᾐτοῦντο : ἠττόντω H post ἀδελφοὺς add. αὐτοῦ P H K **10–11** νήπϊον αὐτὸν ὄντα C **10** αὐτοῦ om. H **11** θανατώσετε (sic L) : θανατώσητε C P K : θανατώσηται H προβάλλεσθε (sic L) : προβάλλεσθαι H K : προβαλεῖσθε C : προβάλλονται ut vid. P οἱ : ὁ H **12** ὅρκω φρικτῶ H **13** τῆς Βαϊοφόρου (sic L) : τῆ βαϊοφόρω T, fort. recte (vide introd. III.3.1.1) Μεγάλης Πέμπτης (πέπτης K) (sic L) : τῆ μεγάλη πέμπτη T, fort. recte **14** post Ἁγίᾳ add. καὶ μεγάλη C H (non add. L) **15** τε om. C ἔσω ταγμάτων om. C **16** post δέξασθαι add. ἄλλον C **17** προεβάλετο (sic L) : προεβάλλετο T P H **18** νουβελήσιμον : νωβελλήσιμον L : νουβελίσιμον P : νωβελλίσιμον C, fort. recte (sed fort. scrib. νωβελίσιμον) προῆλθε (sic L) : προσῆλθε T P **18–19** καίσαρσι δυσὶ H **19** νουβελησίμοις : νουβελλησίμοις L : νουβελισίμοις P H : νωβελλισίμοις C, fort. recte (sed fort. scrib. νωβελισίμοις) νέῳ om. H **20** Μεγάλην om. P **23–24** παραλαμβάνεται H K **24** υἱὲ Θεοῦ (sic L) : υἱὲ τοῦ θεοῦ T : χσ̄ P : χριστὲ H K **25** παραλαμβάνομεν (sic L) : παραλαμβάνωμεν T H κῦρϊν C **26–27** καὶ (alt.) – αὐτοῦ om. P H K **28** προσῆλθον P K **28–29** ἐν τῇ ἐκκλησίᾳ : ἐν τῇ ἁγίᾳ ἐκκλησίᾳ P : om. H K **29** τοῖς δυσὶ : δυσὶ P K : τοῖς δύο H νουβελησίμοις (sic H K) : νουβελισίμοις (τρισὶ νωβελισίμοις : τρισὶν οὐβελισίμοις T) T P : νουβελλησίμοις L : νωβελλισίμοις C, fort. recte (sed fort. scrib. νωβελισίμοις) (vide introd. III.3.1.1)

ἐποίησε νίκην μεγίστην. ἐν Σοφιαναῖς δὲ ἐξελθὼν καὶ ποιήσας μαϊουμᾶν ἐθριάμβευσε τὰ ἐπινίκια. ἐκεῖ γὰρ ἦν ἔθος τοὺς βασιλεῖς δέχεσθαι τὰ λάφυρα. **6** τοῦ δὲ Νικήτα πατριάρχου, τοῦ ἀπὸ Σκλάβων, τεθνηκότος προχειρίζεται πατριάρχης Παῦλος ὁ τίμιος, ὁ λόγῳ καὶ πράξει τετιμημένος. **7** κατεμηνύθη δὲ τῷ βασιλεῖ, ὡς ὅτι Θεοφάνης, ὁ παπίας τοῦ παλατίου, καὶ κουβικουλάριοι τρεῖς σὺν αὐτῷ σέβονται καὶ προσκυνοῦσι τὰς τιμίας εἰκόνας. ὁ δὲ βασιλεὺς ταῦτα ἀκούσας καὶ τὴν ἐν αὐτῷ ἐγκεκρυμμένην κακίαν ἀπογυμνώσας τούτους ἀνηλεῶς ἔτυψε καὶ λαθραίως φονεύσας ὁμολογητὰς πεποίηκεν. **8** ὁ δὲ Ἀαρών, ὁ τῶν Ἀράβων βασιλεύς, ἐξελθὼν ἐν τοῖς θέμασι καὶ κάστρα πολλὰ παραλαβὼν καὶ αἰχμαλωσίαν ποιήσας ὑπέστρεψεν. **9** ὁ δὲ αὐτὸς Λέων λιθομανὴς ὑπάρχων λίαν ἠράσθη τοῦ στέμματος Μαυρικίου καὶ λαβὼν ἐφόρεσεν αὐτὸ καὶ προῆλθεν. ὑποστραφέντος δὲ ἀπηνθρακώθη δεινῶς ἡ κεφαλὴ αὐτοῦ, καὶ σφοδροτάτῳ πυρετῷ συνεχόμενος καὶ φθειρόμενος ἐτελεύτησε τῆς ἱεροσυλίας τὰ ἐπίχειρα κομισάμενος.

124 Κωνσταντῖνος

Κωνσταντῖνος σὺν τῇ μητρὶ αὐτοῦ Εἰρήνῃ ἐβασίλευσεν ἔτη ι', τῆς εὐσεβείας καὶ τῆς ἐκκλησιαστικῆς καταστάσεως ἐπ' αὐτῶν ἀναλαμψάσης.

---

2 Constantinus VI. regnavit cum Irene a. 780–790

---

§ 6: cf. Theoph. 453.4–10   § 7: cf. Theoph. 453.10–20   § 8: cf. Theoph. 453.20–22   § 9: cf. Theoph. 453.26–30; Georg. Mon. 765.11–14   cap. 124, § 1: cf. Theoph. 454.1–12; Georg. Mon. 766.13–16; Cedr. II.20; Vit. Th. Stud. 240A–C (de renovatione orthodoxiae)

T[L] CPH[K]

---

31 ἐξελθὼν : ἐλθὼν P   μαϊουμᾶν (sic L) : μεσυμβᾶν T   **32** ἐπινίκια : νικητήρια C   ἦν : ἐστιν C   τοῖς βασιλεῦσι C   **33** Νικήτα πατριάρχου (sim. exhib. L) : πατριάρχου νικήτα C : νικήτα τοῦ πατριάρχου H K   Σκλάβων : σκλάβων καὶ εὐνούχου P : σκλάβων εὐνούχου H K   **34** post Παῦλος ὁ add. κύπριος καὶ P H K   λόγῳ καὶ πράξει : βίω καὶ λόγω H K   **37** post εἰκόνας add. καὶ τὴν αὐτοῦ γαμετὴν εἰρήνην παρέπεισαν ταύτας σέβεσθαι (σέβειν P, sed add. in mg. σέβεσθαι) P H K   **39** post πεποίηκεν add. τὴν δὲ γυναῖκα αὐτοῦ ἐξουδενώσας (-σάμενος H) ἀπώσατο, μὴ ἐγνωκὼς αὐτὴν (αὐτῆς H) ἔτι P H K   **40** βασιλεύς : ἀρχηγός L H   **41** ποιήσας : πολλὴν συναγαγὼν P H K   **43** αὐτὸ : αὐτῶ T P[ac] : αὐτῷ H   ὑποστραφέντος (ὑποστρέφοντος C) δὲ : ἀποστραφέντος δὲ αὐτοῦ H   **cap. 124.1** Κωνσταντῖνος : κωνσταντῖνος ὁ υἱὸς λέοντος· ἔτη ϊ in mg. C : κωνσταντῖνος ὁ υἱὸς τοῦ ἐκ τῆς χαζάρας λέοντος καὶ ἡ μήτηρ αὐτοῦ εἰρήνη P : κωνσταντῖνος καὶ εἰρήνη K : om. L H   **2** σὺν – Εἰρήνῃ : καὶ εἰρήνη ἡ μήτηρ αὐτοῦ H   ἐβασίλευσαν H   **3** αὐτῶν : αὐτὸν T : αὐτοῦ C : non adhib. L

2 μετὰ δὲ τεσσαράκοντα ἡμέρας τοῦ κρατῆσαι αὐτὴν μετὰ τοῦ υἱοῦ αὐτῆς συμβούλιον ποιήσαντές τινες τῶν ἐν τέλει εὐφήμησαν εἰς βασιλέα Νικηφόρον τὸν καίσαρα, ἀνδράδελφον αὐτῆς· οὓς δείρασα καὶ δημεύσασα ἐξώρισεν ἐν διαφόροις τόποις. τοὺς δὲ ἀνδραδέλφους αὐτῆς καίσαράς τε καὶ νουβελισίμους ἀποκείρασα ἱερατεῦσαι καὶ μεταδοῦναι τῷ λαῷ πεποίηκεν ἐν τῇ ἑορτῇ τῆς Χριστοῦ γεννήσεως, ἐν ᾗ καὶ προελθοῦσα βασιλικῶς δημοσίᾳ σὺν τῷ υἱῷ προσήνεγκεν τῇ ἐκκλησίᾳ τὸ ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς ἀρθὲν στέμμα ἐπικαλλωπισθὲν διὰ μαργαριτῶν. **3** ἐν δὲ τῷ Μακρῷ τείχει ἄνθρωπός τις ὀρύττων εὗρεν λάρνακα καὶ τοῦτον ἀποσκεπάσας εἶδεν ἄνδρα κείμενον μέγαν καὶ γράμματα κεκολαμμένα ἐν τῷ λάρνακι γράφοντα τάδε· Χριστὸς μέλλει γεννᾶσθαι ἐκ Μαρίας τῆς παρθένου, καὶ πιστεύω εἰς αὐτόν. ἐπὶ δὲ Κωνσταντίνου καὶ Εἰρήνης τῶν βασιλέων πάλιν, ὦ ἥλιε, ὄψει με. **4** ἀπέστειλε δὲ Εἰρήνη πρὸς Κάρουλον, τὸν ῥῆγα τῶν Φράγγων, ὅπως τὴν αὐτοῦ θυγατέρα νυμφεύσηται εἰς τὸν υἱὸν αὐτῆς. ἀλλὰ τούτου διασκεδασθέντος φθόνῳ ἤγαγε κόρην ἐκ τῶν Ἀρμενιακῶν ὀνόματι Μαρίαν καὶ ἔζευξεν αὐτὴν Κωνσταντίνῳ τῷ υἱῷ αὐτῆς, ἄκοντος καὶ μὴ βουλομένου διὰ τὴν σχέσιν, ἣν εἶχεν πρὸς τὴν τοῦ Καρούλου θυγατέρα. **5** Ἀαρὼν δέ, ὁ τῶν Ἀράβων ἀρχηγός, κατὰ τῆς πόλεως ἦλθεν ἐν μεγάλῃ δυνάμει καὶ περιεκάθισεν ἐν Χρυσοπόλει. ὁ δὲ βασιλεὺς πέμψας λαὸν τὴν λίμνην Βανῆς ἐκράτησε, καὶ εἰρήνην διὰ τοῦτο Ἀαρὼν ἐξαιτεῖται. συναρπασθέντες οὖν ἐπὶ τούτῳ ἄνευ λόγου πρὸς αὐτὸν ἐξῆλθον Πέτρος μάγιστρος καὶ Σταυράκιος λογοθέτης καὶ ἕτεροι πλεῖστοι τῶν ἐν τέλει, οἵτινες δέσμιοι παρ᾽ αὐτῶν ἐκρατήθησαν. διόπερ ἀναγκασθέντες οἱ τῆς πόλεως καὶ δῶρα πλεῖστα δόντες, ἀνα-

---

§ 2: cf. Theoph. 454.12–25 § 3: cf. Theoph. 455.12–17; Georg. Mon. 766.16–20 § 4: cf. Theoph. 455.19–22; 463.21–27 § 5: cf. Theoph. 456.2–22; Georg. Mon. 767.5–14

---

a § 2 T[L] C[F_1]PH[K]

---

4 ἡμέρας (sic L) : ἡμερῶν T **5** εὐφήμησαν : εὐφήμισαν P : ἐφήμισαν K **6** τὸν καίσαρα : καίσαρα τὸν P : τὸν καίσαρα τὸν K **6–7** δημεύσα H **8** νουβελισίμους : νουβελησίμους L H K : νοβελλησίμους F_1 : νωβελλισίμους C, fort. recte, sed fort. scrib. νωβελισίμους δοῦναι H **9** προελθοῦσα (sic L) : προσελθοῦσα T F_1 P **12** τοῦτον : ταύτην C **13** ἄνδρα (sic L) : ἄνδραν T post μέγαν add. νεκρὸν P H K κεκολαμμένα : ἐγκεκωμένα F_1 : ἐγκεκολαμμένα P H K ἐν om. P **14** τῷ : τῇ C γράφοντα τάδε : γράφοντάδε H ὁ χριστὸς C γεννηθῆναι C **14–15** τῆς παρθένου μαρίας C **17** ῥήγαν H θυγατέραν H **18** αὐτῆς υἱὸν C **19** Ἀρμενιακῶν (ἁ- P) : fort. scrib. Ἀρμενιάκων (vide introd. III.3.1.1) **19–20** αὐτὴν Κωνσταντίνῳ τῷ υἱῷ : αὐτῇ κωνσταντίνῳ τῶ υἱῷ P : αὐτῇ κωνσταντῖνον τὸν υἱὸν K **20** ἄκοντος καὶ μὴ βουλομένου (sic L) : ἄκοντι καὶ μὴ βουλομένω C : ἄκοντα καὶ μὴ βουλόμενον P H K : non adhib. F_1 **21** τοῦ om. P θυγατέραν H K **22** παρεκάθισεν C **23** τὴν λίμνην fort. del. Βανῆς : μανεὶς C : ἰβανῆς F_1 **23–24** ἀαρὼν διατοῦτο C **24** Ἀαρὼν : ὁ ἄραψ P H K τούτῳ (sic L Georg. Mon. 767.10) : τοῦτο T : τούτου P H K : non adhib. F_1 **25** post Σταυράκιος add. ὁ C **26** post οἵτινες add. σύμπαντες H αὐτῶν : αὐτοῦ L C H : αὐτῶ K (i.e. fort. αὐτῶν legendum) : non adhib. F_1

λαβόμενοι τούτους εἰρήνην ἐποίησαν καὶ ἀνεχώρησαν οἱ Ἄραβες. **6** Σταυράκιον δὲ λογοθέτην ἀποστείλασα Εἰρήνη μετὰ δυνάμεως πολλῆς κατὰ τῶν Σκλαβηνῶν ἐθνῶν ὑπέταξε πάντας καὶ ὑποφόρους ἐποίησε τῇ βασιλείᾳ. ἐξῆλθε δὲ καὶ ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ ἐν τῇ Θρᾴκῃ μετʼ ὀργάνων μουσικῶν καὶ λαοῦ πλείστου καὶ ἀπῆλθεν ἕως Βεροίης, καὶ ταύτην κτίσασα ἡ μήτηρ αὐτοῦ Εἰρηνόπολιν ἐπωνόμασεν. ἔκτισε δὲ καὶ τὴν Ἀγχίαλον, καὶ ὑπέστρεψαν μετʼ εὐφροσύνης. **7** ὁ δέ γε πατριάρχης Παῦλος ἀρρωστήσας καὶ τὴν ἐνθένδε μετάστασιν αὐτοῦ προγνούς, τὸν θρόνον καταλιπών, ἀπελθὼν ἀπεκείρατο ἐν τῇ μονῇ τῶν Φλώρου. ἀπέρχεται οὖν πρὸς αὐτὸν ὁ βασιλεὺς σὺν τῇ μητρὶ αὐτοῦ, βουλόμενος μαθεῖν τῆς ὑποχωρήσεως τὴν αἰτίαν. ὁ δὲ μετὰ πολλῶν δακρύων ἔφη· εἴθε μηδόλως ἐκάθισα ἐν τῷ θρόνῳ τῆς ἐκκλησίας ἀπεσχισμένης ὑπαρχούσης ἐκ τῶν λοιπῶν ἁγίων θρόνων καὶ ἀναθεματιζομένης. ταῦτα ἀκούσαντες οἱ βασιλεῖς μετὰ σκυθρωπότητος καὶ κατηφείας ἀνεχώρησαν, ἀποστέλλουσι δὲ πρὸς αὐτὸν πατρικίους ἀκοῦσαι τὰ παρʼ αὐτοῦ λεγόμενα. **8** πρὸς οὓς μετὰ παρρησίας ἐν τῷ τέλει τῆς διδασκαλίας εἶπεν· ἐὰν μὴ σύνοδος οἰκουμενικὴ γένηται καὶ τὸ σφάλμα διορθωθῇ τῆς πίστεως ὑμῶν, οὐκ ἔχετε σωτηρίαν. οἱ δὲ πρὸς αὐτόν· καὶ ἵνα τί καθυπέγραψας ἐν τῷ χειροτονεῖσθαί σε τοῦ μὴ προσκυνεῖν τὰς ἁγίας εἰκόνας; ὁ δέ φησι· διὰ τοῦτο κἀγὼ θρηνῶ καὶ πρὸς τὴν μετάνοιαν καταφεύγω δεόμενος, ἵνα μὴ ὡς ἱερέα κολάσῃ ὁ Θεὸς καὶ ποιμένα, σιγήσαντα μέχρι τοῦ νῦν καὶ μὴ κηρύξαντα τὴν ἀλήθειαν τῷ φόβῳ τῆς μανίας ὑμῶν. ταῦτα δὲ ἀκούσαντες ἀπῆλθον ἔχοντες ἐν ἑαυτοῖς πολλὴν συζήτησιν. ἐν τούτοις οὖν τὴν μυσαρὰν διαπτύων αἵρεσιν καὶ τὸν λόγον τῆς ἀληθείας κηρύσσων ἐκοιμήθη ἐν εἰρήνῃ, πένθος καταλιπὼν

29–31 Σταυράκιον – βασιλείᾳ: cf. Theoph. 456.25–29 **31–34** ἐξῆλθε – εὐφροσύνης: cf. Theoph. 457.6–11; Georg. Mon. 767.14–18 § 7–10: cf. Georg. Mon. 767.19–769.11 **34–53** ὁ – σεβάσμιος: cf. Theoph. 457.13–458.3

T[L] C[F_1]PH[K]

---

30 τοῦ σκλαβηνῶν ἔθνους C Σκλαβηνῶν : σκλαβινῶν T : σκλαβίνων L **32** ἀπῆλθον P H K **32–33** Βεροίης (sic L) : βερόης C : βερόην F_1, sed aliter : βεροίας P H K **33** εἰρηνούπολιν P H K (sic Theoph. 457.10) ἐπωνόμασεν : μετωνόμασεν H **34** τὴν : τὸν H K ὑπέστρεψε P H K (sic Theoph. 457.11) **35** πατριάρχης om. H post τὴν add. ἀπὸ τῶν H ἐνθένδε om. C **36** θρόνον (sic L) : θρόνον αὐτοῦ T ἀπελθὼν om. C τῶν (sic L) : τοῦ C F_1 : τῆς H **39** μὴ δὲ ὅλως C **39–40** ἀπεσχισμένης (sic L) : ἀπεσχημένεις T : non adhib. F_1 **40** ὑπαρχούσης : οὔσης H **42** ἀποστέλλουσι δὲ : καὶ ἀποστέλλουσι P H K **44–45** διωρθοθεῖ τὸ σφάλμα H **45** ὑμῶν (sic L) : ἡμῶν C P H[pc] K : non adhib. F_1 post αὐτὸν : add εἶπον C : add. et superlineavit οἱ δὲ H **47** ἁγίας om. H φησι : ἔφη P τὴν om. P H K **48** καταφεύγω : κατέφυγα F_1 : φεύγω P H K ἱερέα κολάσῃ (κολάσει T) : ἱερέα κολάσει με L (etiam Theoph. et Georg. Mon. exhib. με) : ἱερέα κολάση με C : ἱερέα με κολάσῃ (κολάσει H) H K : non adhib. F_1 **50** δὲ (sic L) om. C P H K : non adhib. F_1 **52** post ἀληθείας add. ὁ παῦλος C καταλειπὼν T H

τοῖς τε βασιλεῦσι καὶ τοῖς εὐσεβέσιν ἀνθρώποις· ἦν γὰρ σεβάσμιος πάνυ καὶ πάσῃ ἀρετῇ κεκοσμημένος. ἀντ᾽ αὐτοῦ δὲ κεχειροτόνηται Ταράσιος ὁ ἀπὸ ἀσικριτῶν. **9** διὰ βασιλικῆς παρακλήσεως ἀπό τε Ῥώμης καὶ τῶν λοιπῶν ἁγίων θρόνων καὶ τῶν ὑπὸ τὴν βασιλεύουσαν πόλιν πάντων ἐπισκόπων ἐν τῷ ναῷ τῶν ἁγίων Ἀποστόλων ἐπισυναχθέντων τῇ βουλῇ καὶ παραινέσει Ταρασίου πατριάρχου, ὡς γενέσθαι σύνοδον εἰς τὸ προσκυνεῖσθαι τὰς ἁγίας εἰκόνας, τὰς περὶ συνόδου δὲ θείας γραφὰς εἰς ὑπήκοον τῶν βασιλέων καὶ τοῦ λαοῦ παντὸς ἀναφωνούντων ἐστασίασαν κατ᾽ αὐτῶν οἱ τοῦ Κοπρωνύμου σχολάριοι καὶ γυμνώσαντες τὰ ξίφη αὐτῶν τὸν σύλλογον διέλυσαν· οὓς οἱ βασιλεῖς αὐτίκα τῆς πόλεως ὑπεξαγαγόντες ἀόπλους προφάσει εὐωχίας εἰς τὰ Μαλάγινα πρὸς τὰς ἰδίας χώρας ἀτίμως ἐξήλασαν. **10** τὸν δὲ θεῖον Ταράσιον σὺν τοῖς προρρηθεῖσιν ἐπισκόποις ἐν Νικαίᾳ ἀποστέλλουσι, καὶ γενομένης συνόδου ἀπέλαβεν πάλιν ἡ ἐκκλησία τὸν ἀρχαῖον αὐτῆς κόσμον, συνελθόντων πατέρων τὸ δεύτερον ἐν Νικαίᾳ τριακοσίων πεντήκοντα, οἳ τὰς εἰκόνας σὺν τῷ σταυρῷ διωρίσαντο προσκυνεῖσθαι. **11** φθόνῳ δέ τινες φερόμενοι τῶν προσφιλῶν Εἰρήνης τῆς βασιλίσσης, βουλόμενοι τὰ πράγματα οὗτοι διοικεῖν συνέβαλον τὴν μητέρα κατὰ τοῦ υἱοῦ, πείσαντες αὐτήν, ὡς οὐκ ἔστιν ὡρισμένον παρὰ Θεῷ τοῦ κρατῆσαι τὸν υἱόν σου. σὴ γάρ ἐστιν ἡ βασιλεία. αὐτὴ δὲ ὡς ἅτε γυνὴ ἐξαπατηθεῖσα, στέργουσα δὲ καὶ τὸ φίλαρχον ἐβεβαιώθη τῷ νοῒ οὕτως εἶναι. ὁ οὖν βασιλεὺς εἰκοσαετὴς ὢν καὶ ῥωμαλεώτατος πάνυ καὶ ἱκανὸς ἐν τοῖς πολέμοις ἐλυπεῖτο μηδὲν ἐξουσιάζων καὶ ἐμελέτησε κατὰ τῆς μητρὸς αὐτοῦ. ἡ δὲ τοῦτο γνοῦσα παρὰ Σταυρακίου τοὺς μὲν οἰκείους ἀνθρώπους αὐτοῦ

54–55 ἀντ᾽ – ἀσικριτῶν: cf. Theoph. 460.23–25 § 9–10: Theoph. 461.12sqq.; Vit. Th. Stud. 240A–C § 11: cf. Theoph. 464.10–465.11

T[L] C[F_1]PH[K]

---

53 τε om. H **54** δὲ : γὰρ P H K χειροτονεῖται C **55** ἀπὸ ἀσικριτῶν (sic L) : ἀπὸ ἀσηκρητῶν C : ἀσυγκρίτης F_1 : ἀπὸ ἀσηκρίτης P : ἀπὸ ἀσιγκρίτης H : πρωτοσηκρίτης ut vid. K post διὰ add. οὖν P H K post παρακλήσεως add. ἔκριναν δὲ δέον C **56** πόλιν : πόλεων P H K πάντων om. C **57** ἐν – ἐπισυναχθέντων (ἐπισυναχθῆναι C) : συναχθέντων ἐν τῷ ναῷ τῶν ἁγίων ἀποστόλων H **58** ὥστε C γίνεσθαι H K **60** ὑπήκοον : ἐπήκοον P H K τῶν βασιλέων : τῷ βασιλεῖ P H K **63** ἐξαγαγόντες C μελάγινα C § 10: vide introd. III.3.1.1 **66** πάλιν om. P ἀρχαῖον αὐτῆς : ἴδιον H **67** τριακοσίων τριάκοντα C **68** φθόνον H **69** τῶν om. P H K βασιλίσσης : βασιλευσάσης H **70** τὰ πράγματα οὗτοι : οὗτοι τὰ πράγματα P H K συνέβαλον (sic L : συνέβαλλον H) : συνέλαβων T κατὰ τοῦ υἱοῦ τὴν μητέρα C τὴν : τῇ H **71** πείσαντες : ποιήσαντες H Θεῷ τοῦ (sic L) : τοῦ θεοῦ τοῦ C : τοῦ θεοῦ H : non adhib. F_1 **72** σὴ : σοὶ H γάρ om. C αὐτὴ : αὕτη P H K ἅτε : οἷα C **73** στέργουσα δὲ καὶ : καὶ στέργουσα C post ἐβεβαιώθη add. δὲ H post εἶναι add. καὶ τῷ υἱῷ οὐδὲ μίαν ἐξουσίαν ἐνεχείρισεν P **76** post παρὰ add. τοῦ P H K **76–77** αὐτῷ πάντας ἀνθρώπους C

πάντας τύψασα ἐξώρισε, τὸν δὲ μάγιστρον Πέτρον καὶ Θεόδωρον πατρίκιον, τὸν Καμουλιανόν, καὶ ἑτέρους τῶν ἐν τέλει ἐν κάστροις ἐξώρισε, τὸν δὲ υἱὸν αὐτῆς πολλὰ λοιδορήσασα ἀπρόιτον ἐποίησεν. πάντα δὲ τὸν στρατὸν καὶ πάντας τοὺς ἐν τέλει ὀμόσαι πεποίηκεν, ὅτι ἕως οὗ ζῇς, οὐ καταδεξόμεθα τὸν υἱόν σου κρατῆσαι. **12** Ἀρμενιάκοι δὲ μόνοι τοῦτο οὐ κατεδέξαντο, ἀλλὰ Κωνσταντῖνον καὶ Εἰρήνην ὡς ἐξ ἀρχῆς εὐφήμουν. ἡ δὲ ἀπέστειλεν Ἀλέξιον δρουγγάριον τῆς βίγλης, ᾧ ἐπίκλην Μουσελέ, πρὸς τὸ πεῖσαι αὐτούς. οἱ δὲ τοῦτον κρατήσαντες αὐτὸν ἄρχειν αὐτῶν προεβάλοντο, τὸν ἴδιον στρατηγὸν φρουρήσαντες, καὶ Κωνσταντῖνον μόνον εὐφήμουν. τοῦτο μαθόντες καὶ οἱ τῶν λοιπῶν θεμάτων λαοὶ ὁμοίως εὐφήμουν, τοῦ διαβόλου τὴν τοιαύτην ἄρνησιν καὶ ἐπιορκίαν τοῖς ἀνθρώποις ὑποβαλόντος. **13** φοβηθεῖσα δὲ Εἰρήνη τὸ τοῦ λαοῦ ὅρμημα ἐξαπέστειλε τὸν υἱὸν αὐτῆς πρὸς τὸ στράτευμα. αὐτοὶ δὲ τοῦτον αὐτοκράτορα εὐφήμησαν, τὴν μητέρα αὐτοῦ ἀποκηρύξαντες. τὸν δὲ Ἀλέξιον ἐκύρωσαν στρατηγὸν τῶν Ἀρμενιάκων. ὑποστρέψας δὲ ἐν τῇ πόλει Σταυράκιον καὶ Ἀέτιον πρωτοσπαθαρίους καὶ οἰκείους αὐτῆς ἀνθρώπους ἀνηλεῶς τύψας ἐξώρισεν, ὡσαύτως καὶ τοὺς λοιποὺς οἰκείους αὐτῆς εὐνούχους. αὐτὴν δὲ μετὰ ἀπαθειῶν ἐκάθισεν ἐν τῷ οἴκῳ τῶν Ἐλευθερίου, ᾧ αὐτὴ ᾠκοδόμησεν, ἐν ᾧ καὶ τὰ πλεῖστα χρήματα κατέκρυψεν. **14** ἐγένετο δὲ καὶ ἐμπρησμός, καὶ ἐκάη ὅ τε τρίκλινος τοῦ πατριαρχείου, ὁ λεγόμενος Θωμαΐτης, καὶ αἱ καμάραι αἱ ὑποκάτω, ἔνθα ἀπέκειντο καὶ τὰ σχέδη πάσης γραφῆς, ἃ ἡρμήνευσεν ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος, καὶ διῆλθεν ἡ φλὸξ ἕως τοῦ Μιλίου καὶ

§ 12–13: cf. Theoph. 465.33–467.4 § 14: cf. Theoph. 467.4–6

T[L] C[F_1]PH[K]

77–79 τὸν – ἐξώρισε om. P H K (homoeotel.) **78** τὸν Καμουλιανόν (sic L) : τῶν καμουλιανῶν C : τὸν λεγόμενον κουμουλϊἀνόν F_1 : non adhib. P H K **79** ἀπρόιτον : fort. scrib. ἀπρόσιτον **81** τὸν υἱόν σου οὐ καταδεχώμεθα (καταδεχόμεθα F_1) F_1 H ἀρμενιάκην δὲ μόνον H Ἀρμενιάκοι (sic (H) K) : ἀρμενιακοὶ L C P (ἁ- P) μόνοι ((sic L) μόνον T) om. C **82** τοῦτο (τοῦτο vel τοῦτον K) : τοῦτον H **83** βίγλας C **84** Μουσελέ (sic L) : μουσαλέ C : μωσηλέ P : μωσηλές ut vid. H : μωσελεύς K : non adhib. F_1 πεῖσαι : ποιῆσαι H K **84–85** αὐτὸν ἄρχειν αὐτῶν (αὐτῶ H) : ἄρχειν αὐτὸν C **85** προεβάλοντο (sic L) : προεβάλλοντο T H : non adhib. F_1 καὶ om. P H K **86** μόνον om. C **86–87** τοῦτο (post τοῦτο (sic L) add. δὲ P H K : non adhib. C F_1) – εὐφήμουν om. C **86** καὶ om. H **88** ὑποβαλόντος (ὑποβαλλόντος H) : ὑποβάλλοντος C δὲ : δὲ ἡ L P H : non adhib. F_1 **90** εὐφημήσαντες P H K **90–91** ἀποκηρύξαντες : ἀπεκήρυξαν H K **91** ἐκύρωσαν : ἐκήρυξαν H Ἀρμενιάκων : ἀρμενιακῶν L C P (ἁ- P) H K **92** post πόλει add. κωνσταντῖνος C **93** αὐτῆς : τῆς εἰρήνης C **95** τῶν (L F_1 Theoph.) : τὸ T : τοῦ C : τῷ P H K ᾧ pr. : ὃν L C : non adhib. F_1 : fort. scrib. ὃ sec. Theoph. 467.3 (sic etiam Tafel), sed vide ind. graecitatis s.v. *attractio relativi* αὐτὴ (non vid. utrum -ὴ an -ῆ K) : αὐτῇ T L P : non adhib. F_1 **96–97** ὅ τε τρίκλινος : ὁ τρίκλινος C : ὁ χρυσοτρίκλινος H **97** αἱ alt. om. H **98** ἡρμήνευσεν (sic L) : ἑρμίνευσεν T : non adhib. F_1

τοῦ κοιαιστωρίου πανταχόσε ἐπινεμομένη, ἕως οὗ πάντα κατέκαυσεν. **15** ὁ δὲ βασιλεὺς ἐξῆλθε κατὰ Βουλγάρων καὶ τούτους ληϊσάμενος καὶ νικήσας ὑπέστρεψεν. ὡσαύτως καὶ ἐν Ταρσῷ μετὰ στρατοῦ πολλοῦ ἀπελθὼν κατὰ Ἀράβων καὶ πολλοὺς αἰχμαλωτίσας ὑπέστρεψε. **16** παρακληθεὶς δὲ ὁ βασιλεὺς ὑπὸ τῆς ἰδίας μητρὸς καὶ πολλῶν τῶν ἐν τέλει αὖθις ἀναγορεύει αὐτὴν καὶ εὐφημεῖσθαι ὡς ἐξ ἀρχῆς Κωνσταντῖνον καὶ Εἰρήνην τοῖς πᾶσι διεκελεύσατο. καὶ πάντες μὲν πειθαρχοῦσιν, Ἀρμενιάκοι δὲ μόνοι στασιάζουσι καὶ ἐπιζητοῦσιν Ἀλέξιον τὸν Μουσελέ, ὃν ἐτίμησε πατρίκιον καὶ μεθ᾽ ἑαυτοῦ εἶχεν ὁ βασιλεύς. τοῦτον οὖν διὰ τὴν τοιαύτην ἐπιζήτησιν καὶ διά τινας λόγους, οὓς ἤκουεν, ὡς μέλλειν αὐτὸν βασιλεύειν, δείρας καὶ κουρεύσας ἐν εἱρκτῇ ἀπέκλεισε. **17** τῶν δὲ ταγμάτων καὶ θεμάτων ἐν τῇ πόλει ἐπισυναχθέντων ἐβούλοντο ποιῆσαι Νικηφόρον τὸν †τῶν ἀπὸ καισάρων εἰς βασιλέα. τοῦτο γνοὺς καὶ ἀποστείλας ἐξήγαγεν ἀμφοτέρους τοὺς υἱοὺς Κωνσταντίνου τοῦ πάππου αὐτοῦ ἐν τῷ ἁγίῳ Μάμαντι καὶ τὸν μὲν Νικηφόρον δεινῶς ἐτύφλωσε, Χριστοφόρον δὲ καὶ Νικήταν, Ἄνθιμόν τε καὶ Εὐδόκιμον ἐγλωσσοκόπησε. σὺν αὐτοῖς δὲ καὶ Ἀλέξιον τὸν Μουσελὲ ἐτύφλωσε, πεισθεὶς ταῖς μητρικαῖς εἰσηγήσεσι. τοὺς δὲ Ἀρμενιάκους χειρωσάμενος καὶ πολέμῳ τροπωσάμενος τοὺς ἄρχοντας αὐτῶν ἐποινάλισεν, ἐπιγράψας εἰς τὰ πρόσωπα αὐτῶν μέλανι κεντητῷ· Ἀρμενιάκος ἐπίβουλος, ἐξορίσας αὐτοὺς ἔν τε Σικελίᾳ καὶ ταῖς λοιπαῖς νήσοις. **18** μισήσας δὲ ὁ βασιλεὺς

§ 15: cf. Theoph. 467.6–17 § 16: cf. Theoph. 467.17–27 **110–17** τῶν – εἰσηγήσεσι: cf. Theoph. 468.7–14 **117–20** τοὺς – νήσοις: cf. Theoph. 469.4–15 § 18: cf. Georg. Mon. 770.10–20; Vit. Th. Stud. 252B–256C **120–22** μισήσας – ἀποκείρασθαι: cf. Theoph. 469.23–27

T[L] C[F_1]PH[K]

100 κοιαιστωρίου (κι- H) : κοιαιστωρικίου C πανταχόσε : πανταχόθεν P K : πανταχήσε H **102–03** ὡσαύτως – ὑπέστρεψε om. T (homoeotel. : quod exhib. L) : non adhib. F_1 **103** ἀπελθὼν (sic L) : ἀπῆλθε P K : ἐξῆλθε H : non adhib. T F_1 **104** δὲ : οὖν H **105** καὶ pr. om. L P H K : non adhib. F_1 **105–06** Κωνσταντῖνον – διεκελεύσατο : προστάττει, κωνσταντῖνον καὶ εἰρήνην παρὰ πάντων C **105–06** Κωνσταντῖνον καὶ Εἰρήνην : κωνσταντίνου καὶ εἰρήνης H K : κωνσ^{ττν} καὶ εἰρήνης F_1, sed aliter **106** πάντες : πάντας H K **106–07** Ἀρμενιάκοι (sic K) : ἀρμενιακοὶ L C P (ἁ- P) **107** Μουσελέ (sic L) : μουσουλέ T : μουσηλέ P (cf. Theoph. 466.5 Μουσουλέμ) : non adhib. F_1 **108** οὖν : οὖν καὶ T : non adhib. L F_1 **109** ἤκουσεν C **109–10** βασιλεύειν αὐτὸν P **110** δείρας καὶ κουρεύσας : δήρασα καὶ κουρεύσασα ἡ εἰρήνη C **111** θεμάτων καὶ ταγμάτων C ἐβούλοντο : βουλὴ γέγονε C **112** τὸν †τῶν ἀπὸ: τῶν ἀπὸ L F_1 : τὸν ἀπὸ C H Theoph. 468.9 : scrib. τὸν ἀπὸ vel τὸν ἀπὸ τῶν (vide introd. III.3.1.1) **113** καὶ ἀποστείλας : κωνσταντῖνος C **114** αὐτοῦ : αὐτῷ H : αὐτῶν K **115** Ἄνθιμόν (sic L) : ἄνθημον T τε om. P **116** Μουσελὲ (sic L) : μουσουλὲ T : non adhib. F_1 **117** Ἀρμενιάκους : ἀρμενιακοὺς L C P (ἁ- P) H K **118** ἐποινηλάτησεν C **119** τὸ πρόσωπον P H K μέλανι κεντητῷ om. C Ἀρμενιάκος : ἀρμενιακὸς L C P (ἁ- P) H K **120** τε om. H ταῖς λοιπαῖς : τοῖς λοιποῖς H K

τὴν ἑαυτοῦ γυναῖκα Μαρίαν, ὑποβολῇ τῆς ἑαυτοῦ μητρὸς ἐφιεμένης τῆς ἀρχῆς πρὸς τὸ μισηθῆναι αὐτὸν ἐξεβιάσατο αὐτὴν τοῦ ἀποκείρασθαι. ἐμνηστεύθη δὲ παρανόμως Θεοδότῃ κουβικουλαρίᾳ καὶ ἔστεψεν αὐτήν. ἀπέσχισε δὲ τῷ πατριάρχῃ Πλάτων, ὁ τοῦ Σακουδίονος ἡγούμενος, καὶ λοιποὶ διὰ τὸ κοινωνῆσαι τὸν βασιλέα ἑτέρου γάμου· εἰς οὓς πολλὰς θλίψεις ἐνεδείξατο ὁ βασιλεύς. ἡ δὲ μήτηρ αὐτοῦ ὑπερασπίζετο αὐτῶν ὡς τὸν υἱὸν μισοῦντας. **19** Κάρδαμος δέ, ὁ κύρις Βουλγαρίας, ἔγραψε τῷ βασιλεῖ· ἢ τέλεσόν μοι πάκτα, ἢ ἔρχομαι ἕως τῆς Χρυσῆς πόρτης. ὁ δὲ βασιλεὺς βαλὼν καβαλλίνας ἐν μανδηλίῳ ἔπεμψεν αὐτῷ εἰπών, ὅτι οἷα δή σοι πρέπει πάκτα, ἀπέστειλα. γέρων δὲ εἶ καὶ οὐ θέλω κοπωθῆναί σε ἕως τῶν ὧδε, ἀλλ᾽ ἐγὼ ἔρχομαι πρὸς σέ. καὶ λαὸν συναθροίσας καὶ ἐξελθὼν ὁ βασιλεὺς ἐδίωξεν αὐτὸν ἕως τὰ ἴδια. **20** ἡ δὲ μήτηρ αὐτοῦ θωπεύσασα πάντας καὶ δωρεῶν ὑποσχέσεσιν ἑλκύσασα πρὸς ἑαυτὴν ἐτήρει ἡμέραν ἐπιτηδείαν πρὸς τὸ μοναρχῆσαι. τοῦ οὖν βασιλέως ἐξελθόντος κατὰ Ἀράβων, τοῦ λαοῦ παρητοιμασμένου ὄντος τοῦτον κρατῆσαι ἐπί τε τῇ ὑποθέσει τῆς μητρὸς καὶ τῇ παρανομίᾳ τῆς γυναικός, δι᾽ ἃ μισητὸς ἐγένετο, πείθουσιν αὐτῷ οἱ μεγιστᾶνες αὐτοῦ ὑποστρέψαι ἐν τῇ πόλει, εἰσηγήσεσι τῆς μητρός. καὶ δὴ παραγενόμενον ἐν τῷ παλατίῳ, τῆς μητρὸς αὐτοῦ μὴ παρούσης, ἀπέκλεισαν αὐτὸν οἱ μεγιστᾶνες καὶ σύμβουλοι τῆς μητρὸς αὐτοῦ ἐν τῇ Πορφύρᾳ, ἔνθα ἐγεννήθη, καὶ ἐκτυφλοῦσιν αὐτὸν δεινῶς καὶ ἀνιάτως πρὸς τὸ τεθνάναι αὐτόν. ἐσκοτίσθη δὲ τότε ὁ ἥλιος ἐπὶ ἡμέρας ιζ', ὥστε καὶ τὰ πλοῖα πλανᾶσθαι

---

123 ἐμνηστεύθη – αὐτήν: cf. Theoph. 470.1–3 **124–27** ἀπέσχισε – μισοῦντας: cf. Theoph. 470.24–471.5 § 19: cf. Theoph. 470.10–21 § 20: cf. Georg. Mon. 770.21–771.7 **132–34** ἡ – μοναρχῆσαι: cf. Theoph. 471.13–18 **134–38** τοῦ – μητρός: cf. Theoph. 471.20–27 **139–44** ἀπέκλεισαν – ἥλιος: cf. Theoph. 472.16–22; Vit. Th. Stud. 256C–D

T[L] C[F_1]PH[K]

---

121 post ἐφιεμένης add. καὶ T^2 (non add. L) **124** ἀπέσχισε (sic L Theoph. 470.25) : ἀπέσχη T : ἀπέσχι ut vid. K τῷ πατριάρχῃ (sic L) : τοῦ πατριάρχου C : τοῦ πατριαρχείου P K : τοῦ παλατίου H : non adhib. F_1 (ταρασίω) (Theoph. 470.25: τῆς κοινωνίας τοῦ πατριάρχου) τοῦ Σακουδίονος (-ωνος T : σακωδ- H : σαδουκ- P) : τῶν σακουδίων C post καὶ add. οἱ C **125** γάμου om. H **126** ὑπερασπίζετο (sic L K Theoph. 471.4) : ὑπερασπίζει T : ὑπερησπίζετο C : non adhib. F_1 **127** μισοῦντας (sic L) : μισούντων C P H K : non adhib. F_1 κύρις : κῦρις C : κύριος P **128** βασιλεῖ (sic L) : βασιλεῖ ὅτι T (sim. Theoph. 470.11) **129** βαλλὼν H ἐν μανδηλίῳ : ἐν ἑνὶ μανδυλίῳ C εἰπών, ὅτι (sic L) : εἰπὼν C F_1 P H : εἰπών· βασιλεὺς στρατιώτης K **130** δή : δεῖ P γέρων δὲ εἶ om. C οὐκ ἐθέλω C **132** τὰ ἴδια : τῶν ἰδίων αὐτοῦ C **133** καὶ – ἑλκύσασα om. H **135** παρατοιμασμένου H **137** αὐτῷ (sic L) : αὐτὸν (αὐτὸν οἱ μεγιστᾶνες αὐτοῦ : οἱ μεγιστᾶνες αὐτὸν C) C P H K : non adhib. F_1 αὐτοῦ : τοῦ H **138** παραγενόμενον : παραγενομένου L H : παραγενόμενος C : non adhib. F_1 **140** ἔνθα : ἐν ᾗ P H K **141** δεινῶς καὶ ἀνιάτως (ἀνηλεῶς C) πρὸς τὸ τεθνάναι αὐτόν om. P post αὐτόν alt. : add. γνώμη τῆς μητρὸς αὐτοῦ F_1 : add. τῆς μητρὸς αὐτοῦ τοῦτο βουλευσαμένης P H K (vide introd. III.3.1.1) **142** τότε ὁ ἥλιος : ὁ ἥλιος P : ὁ ἥλιος τότε H K τὰ om. H K

καὶ λέγειν πάντας, ὅτι διὰ τὴν τοῦ βασιλέως τύφλωσιν ἐσκοτίσθη ὁ ἥλιος. ἀλλ' ὅρα τὰ τοῦ Θεοῦ ἀνεξερεύνητα κρίματα· μετὰ γὰρ πέντε ἔτη, τῷ αὐτῷ μηνὶ καὶ τῇ αὐτῇ ἡμέρᾳ, ἐν ᾗ ἀπετύφλωσεν τοὺς ἰδίους θείους καὶ Ἀλέξιον τὸν Μουσελέ, τυφλοῦται καὶ ὁ αὐτὸς Κωνσταντῖνος. **21** ἐκράτησε δὲ Εἰρήνη μόνη τὴν βασιλείαν. ἐστασίασαν δὲ οἱ αὐτῆς ἀνδράδελφοι, καὶ ἐξώρισεν αὐτοὺς ἐν Ἀθήναις· οἳ κἀκεῖ βουλευσάμενοι περὶ βασιλείας ὑπὸ τῶν ἐντοπίων ἀνῃρέθησαν, καὶ ἠφανίσθη τὸ τοῦ μιαροῦ Κωνσταντίνου γένος. **22** τῇ δὲ δευτέρᾳ τοῦ ἁγίου Πάσχα ἀπελθοῦσα ἡ βασίλισσα ἐπὶ τῇ κατὰ τύπον γινομένῃ προελεύσει εἰς τοὺς ἁγίους Ἀποστόλους δείλης προῆλθεν ἐπὶ ὀχήματος χρυσοῦ ἐποχουμένη τέσσαρσιν ἵπποις λευκοῖς κρατουμένοις ὑπὸ πατρικίων, ῥίψασα ὑπατείαν ἐν τῇ Μέσῃ πολλήν. **23** νοσησάσης δὲ τῆς βασιλίσσης ἐδηλώθη αὐτῇ, ὅτι Σταυράκιος στάσιν κατὰ σοῦ μελετᾷ. ἡ δὲ ἐν τῷ Ἰουστινιανοῦ τρικλίνῳ σελέντιον ποιήσασα ἐξεφώνησε μὴ προέρχεσθαι Σταυρακίῳ τινὶ τῶν ἀρχόντων. Ἀέτιος δέ, ὁ σὺν αὐτῷ παραδυναστεύων, φθονῶν Σταυράκιον εἰς ἑαυτὸν τὸ κράτος μετεχειρίζετο. **24** τούτων δὲ οὕτως ὄντων Νικηφόρος πατρίκιος καὶ γενικὸς ἐτυράννησε κατ' αὐτῆς μετὰ βουλῆς Νικήτα πατρικίου καὶ Σισινίου τῶν αὐταδέλφων, τῶν ἐπιόρκων καὶ δολερῶν Τριφυλλίων, καὶ Λέοντος πατρικίου, τοῦ Σαρανταπήχου, καὶ Γρηγορίου πατρικίου, τοῦ Μουσουλακίου, καὶ ἑτέρων τινῶν τῶν ἐν τέλει. καὶ ἐλθόντες ἐν τῇ Χαλκῇ ὥρᾳ τετάρτῃ τῆς νυκτός, ἀπαντήσαντες τοὺς φυλάσσοντας, ὡς παρὰ τῆς αὐγούστης ἀπεστάλησαν, εἰσῆλθον

144–46 ἀλλ' – Κωνσταντῖνος: cf. Theoph. 468.17–21 § 21: cf. Georg. Mon. 771.9–20 **147** ἐκράτησε – βασιλείαν: cf. Theoph. 472.22 § 22: cf. Theoph. 474.6–11 § 23: cf. Theoph. 474.11–29 (cf. 475.20–21) § 24: cf. Theoph. 476.3–25; Georg. Mon. 771.20–772.4

T[L] C[F_1]PH[K]

---

144 ἀνεξηρεύνημένα H post γὰρ add. τὰ P **146** Μουσελέ (sic L) : μουσουλέ T : μουσηλέ P : non adhib. F_1 ἀποτυφλοῦται P H K ὁ αὐτὸς (sic L : add. ὁ s.l. K) : αὐτὸς C H : αὐτὸς ὁ P : non adhib. F_1 **147** ἐστασίαν H **147–48** οἱ αὐτῆς ἀνδράδελφοι : ἀνδράδελφοι αὐτῆς C **148** ἐξώρισαν C κἀκεῖθεν P H K **149** ἠφανίσθη τὸ : ἠφανίσθησαν P[ac] **150–51** ἀπελθοῦσα : εἰσελ- T[2pc] (non vid. T[1] (-θοῦσα T[1])) **151** γενομένη H **152** τῇ δείλῃ P H K ἐν ὀχήματι χρυσῷ P H K **153** κρατουμένοις (sic L) : κρατουμένη C : συρομένη F_1 **154** τῆς βασιλίσσης : αὐτῆς H **155** στάσιν om. C H : non adhib. F_1 Ἰουστινιανοῦ : τοῦ ἰουστινιανοῦ H : ἰουστινιανῶ K **156** προέρχεσθαι (sic L) : προσέρχεσθαι C H K : non adhib. F_1 **157** τινὶ : τινὰ C, fort. recte (sic etiam Tafel) (vide introd. III.3.1.1) **158** σταυρακίω C **159** ἐτυράννισε F_1 H **160** συμβουλῆς P H K σισιννίου C P **161** τρυφηλίων C Σαρανταπήχου (sic L : -πίχ- T : cf. Theoph. 476.10 Σεραντάπηχος) : τεσσαρακονταπήχου C : τεσσαρακονταπήχεως P H K **162** πατρικίου : πατριάρχου C Μουσουλακίου (sic L Theoph. 476.10) : σουλακίου C : μουσαλακίου P H K : non adhib. F_1 **163** post τέλει add. οἳ P H K εἰσελθόντες C ἀπαντήσαντες : ἀπατήσαντες C (sic et Theoph. 476.14) **164** φυλάσσοντας : φύλακας F_1 P H K (sic Theoph.) εἰσῆλθωσαν H

ἐν τῷ παλατίῳ καὶ διὰ τῆς νυκτὸς κατὰ πάσης τῆς πόλεως τὴν ἀναγόρευσιν αὐτοῦ ἐποιήσαντο, φύλακας περιστήσαντες ἐν τῷ παλατίῳ τῶν Ἐλευθερίου φυλάττειν Εἰρήνην. ὄρθρου δὲ μεταστειλάμενοι ἀπέκλεισαν αὐτὴν ἐν τῷ παλατίῳ, καὶ οὕτως προῆλθεν ἐν τῇ ἐκκλησίᾳ ἐπὶ τὸ στεφθῆναι τὸν ἀλιτήριον.

125 Νικηφόρος

Νικηφόρος ἐβασίλευσεν ἔτη η'. οἱ δὲ ὄχλοι ἐπαρῶντο καὶ τὸν στέφοντα καὶ τὸν στεφόμενον. **2** χρηστότητα δὲ ὑποκρινόμενος παρηγόρει τὴν βασίλισσαν, ὡς πᾶσαν αὐτῆς ἀνάπαυσιν ποιήσειεν, εἰ τοὺς θησαυροὺς αὐτῆς καταμηνύσειεν αὐτῷ. ἡ δὲ συνετῷ τῷ φρονήματι πρὸς τὸν χθὲς μὲν δοῦλον ἐπίορκον, σήμερον δὲ τύραννον ἔφη· ἐγὼ μέν, ὦ ἄνθρωπε, Θεὸν ἡγοῦμαι τὸν ὑψώσαντά με εἰς ταύτην τὴν βασιλείαν, ταῖς δὲ ἐμαῖς ἁμαρτίαις τὴν καθαίρεσιν ἐμαυτῇ προσάπτω. ἐν πᾶσι δὲ τούτοις εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. οὐ μὴ δὲ ἀγνοῇς τὰς κατὰ σοῦ μοι μηνυθείσας ἐπιβουλάς, αἷς εἰ συναπήχθην, ἀκωλύτως εἶχον τοῦ ἀνελεῖν σε. ἀλλὰ τὸ μὲν τοῖς σοῖς ὅρκοις πειθομένη, τὸ δὲ φειδομένη σου πάντα παρελογισάμην, τῷ Θεῷ ἀποδοῦσά σε, δι' οὗ βασιλεῖς βασιλεύουσι καὶ δυνάσται κατεξουσιάζουσι. καὶ τὰ νῦν ὡς εὐσεβῆ σε καὶ ἐκ Θεοῦ προβληθέντα εἰς βασιλέα προσκυνῶ καὶ αἰτοῦμαι φείσασθαί μου τῆς ἀσθενείας καὶ συγχωρῆσαί μοι τὸν ὑπ' ἐμοῦ κτισθέντα τῶν Ἐλευθερίου οἶκον

---

2 Nicephorus regnavit 1.11.802–26.7.811

---

2 Νικηφόρος – η': cf. Theoph. 476.1; Georg. Mon. 772.6; Vit. Th. Stud. 265C **2–3** οἱ – στεφόμενον: cf. Theoph. 476.25–27 **3–20** χρηστότητα – μονήν: cf. Theoph. 477.29–478.28

T[L] C[F_1]PH[K]

---

166 post φύλακας add. τε H περιστήσαντος H τῶν (sic L) : τῶ T : τοῦ C : non adhib. F_1 **167** post φυλάττειν add. τὴν C μεταστειλάμενος ἀπέκλεισεν P H K **168** οὕτως : οὗτος T : οὕτω L **169** post τὸν ἀλιτήριον (ὁ ἀλιτήριος C) add. ταρασίου ἔτι τὸν θρόνον κατέχοντος P H K **cap. 125.1** Νικηφόρος : νικηφόρος ὁ γενικος ἔτη η in mg. C : βασιλεία νικηφόρου F_1 : νικηφόρος ὁ ἀνδράδελφος εἰρήνης ὁ ἀπὸ γενικῶν P : νικηφόρος ὁ ἀνδράδελφος εἰρήνης K : om. L **2** post Νικηφόρος add. ὁ ἀνδράδελφος εἰρήνης P H K (L aliter, sed non add.) post η' add. μῆνας θ P H K (cf. Georg. Mon. 772.6 η' ἥμισυ) ἐπηρῶντο C στέφοντα : στέφανον H K **3** ὑποκρινάμενος C **5** αὐτῷ (sic L) : αὐτόν T : non adhib. F_1 post συνετῷ add. μὲν C **6** ὦ om. C **7** post Θεὸν add. εὐεργέτην P H K ὑψώσαντέ με C **9** ἀγνωεῖς H **9–10** μοι μηνυθείσας (sic L) : μηνυθείσας μοι C P H K : non adhib. F_1 **10** βουλάς C ἀκωλύτως : ἑτοίμως H **12** ἀποδοῦσά : ἀποδώσου H : ἀναθεῖσα C **15** τῶν (τῶν (sic L et Theoph. 478.20) : τὸν T P H K : non adhib. F_1) Ἐλευθερίου : κατοικεῖν C

εἰς ψυχαγωγίαν τῆς ἀσυγκρίτου μου συμφορᾶς. ὁ δὲ ἔφη· καὶ εἰ τοῦτο θέλεις σοι γενέσθαι, ὄμοσόν μοι μὴ ἀποκρύψαι τι τῶν θησαυρῶν, καὶ πᾶσάν σου θεραπείαν ποιῶ. ἡ δὲ ὤμοσεν αὐτῷ, ὑποδείξασα καὶ πλοῦτον πολύν. ὁ δὲ τοῦ ποθουμένου τυχὼν παρευθὺς ἐξώρισεν αὐτὴν ἐν τῇ Πριγκίπῳ τῇ νήσῳ, ὃ αὐτὴ ᾠκοδόμησεν εἰς μονήν. ἰδὼν δὲ πάντας τοὺς ἐν τέλει λυπουμένους ἐπ᾽ αὐτῷ διὰ τὴν ἀπληστίαν αὐτοῦ, φοβηθείς, καίπερ βαρυτάτου χειμῶνος ὄντος, ἐξώρισε τὴν αὐτὴν Εἰρήνην ἐν Λέσβῳ τῇ νήσῳ φρουρεῖσθαι. **3** προσελάβετο δὲ Κωνσταντῖνον, υἱὸν αὐτῆς, ὃς καὶ ὑπέδειξεν αὐτῷ τὸν ἀνακτισθέντα πλοῦτον ὑπὸ ὀρθομαρμαρώσεως, τὸν νῦν ἐν τῷ Σίγματι ὄντα. **4** Νικήταν δὲ τὸν Τριφύλλιον ὁ αὐτὸς Νικηφόρος φαρμάκῳ ἀνεῖλεν. **5** Βαρδάνης δέ, ὁ πατρίκιος καὶ στρατηγὸς τῶν Ἀνατολικῶν, τὸ ἐπίκλην Τοῦρκος, ἀνηγορεύθη βασιλεὺς ὑπὸ τῶν περατικῶν θεμάτων. ὅς γε τοῦτο πολλὰ παρῃτήσατο, διαδρᾶσαι δὲ μὴ δυνηθείς, βίᾳ κατελθὼν ἐν Χρυσοπόλει, εἶτα φοβηθεὶς τὸν Θεόν, μήπως δι᾽ αὐτοῦ γένηται σφαγὴ Χριστιανῶν, λαβὼν παρὰ Νικηφόρου λόγον ἀπαθείας νυκτὸς λάθρᾳ τοῦ λαοῦ ἦλθε πρὸς τὴν μονὴν Ἡρακλείου ἐν τῷ Καταβόλῳ καὶ παρευθὺ γέγονε μοναχός. ἐρχομένου δὲ αὐτοῦ διὰ τοῦ σταλέντος βασιλικοῦ χελαντίου ἐν τῇ Πρώτῃ νήσῳ εἰς τὸ μοναστήριον αὐτοῦ, ὃ ἦν αὐτὸς προκατασκευάσας, τυφλοῦται, Λυκαόνων τινῶν τοῦτο ὑπὸ γνώμην τοῦ βασιλέως ποιησάντων. διὸ καὶ ἐπὶ τῇ τοιαύτῃ ὑποκρίσει ὡς δῆθεν λύπῃ συσχεθεὶς πάντας μεθ᾽ ὅρκων ἐπληροφόρει ἀναίτιον αὐτὸν εἶναι τοῦ τοιούτου δράματος. **6** ἐφ᾽ οὗ ὁ τῶν Σαρακηνῶν ἀρχηγὸς ἐξελθὼν παρεγένετο ἐν τῷ Ἀμωρίῳ. ἐξῆλθε δὲ Νικηφόρος πρὸς τὸ Δορύλαιον δηλώσας τῷ πρωτοσυμβούλῳ

20–23 ἰδὼν – φρουρεῖσθαι: cf. Theoph. 479.4–9; Georg. Mon. 772.7 § 4: cf. Theoph. 479.10–11 § 5: cf. Theoph. 479.15–30; 480.15–19; Georg. Mon. 772.7–22 § 6: cf. Theoph. 482.1–23; Georg. Mon. 772.26–774.2

T[L] C[F_1]PH[K]

---

16 ψυχαγωγίαν : παρηγορίαν C **17** σοι om. F_1 K **18** σου om. H **19** παρευθὺς (sic F_1) : παρευθὺ L P H K (sic Theoph. 478.26) : om. C τῇ om. C **20** πριγκήπῳ T L F_1 P ὃ : ἣν C : ᾗ? in app. Tafel (vide introd. III.3.1.1 et ind. graecitatis s.v. *attractio relativi*) αὐτὴ (sic L) : αὐτῇ T H K : non adhib. F_1 δὲ om. H **21** αὐτῷ : αὐτῇ P H K **24–25** ἀνακτισθέντα – ὀρθομαρμαρώσεως : vide introd. III.3.1.1 **25** Τριφύλλιον (sic L) : τριφύλιον T : τρυφήλϊον C **26** βαρδάνϊος C **27–28** τὸ (τῶ T) – περατικῶν om. P **27** Τοῦρκος : κούρτος H post ἀνηγορεύθη add. δὲ H **28** πολλὰ τοῦτο C **28–29** διαδρᾶσαι (sic Theoph. 479.18 Georg. Mon. 772.10) : διαδρᾶναι P H K **29** δὲ : καὶ H βίᾳ om. C **30** δι᾽ αὐτοῦ (αὐτὸν C) γένηται : γένοιται δι᾽ αὐτοῦ H σφαγαὶ H λαβὼν om. C **30–31** παρὰ Νικηφόρου : παρ᾽ αὐτοῦ χριστιανικώτατος ὢν H **32** παρευθὺ om. H **32–33** ἐρχομένου δὲ αὐτοῦ (sic L Georg. Mon. 772.17) : ἐρχόμενος δὲ αὐτὸς C : ἐρχόμενος δὲ P H K : non adhib. F_1 **35** ὑπὸ : κατὰ C P H K : non adhib. L (παρὰ γνώμην L ut etiam Georg. Mon.) F_1 **37** ὅρκον L H **38** ἀμορίῳ P K

ταῦτα· ἵνα τί ἐπιχαίρεις ταῖς ἀδικίαις καὶ ταῖς αἱματεκχυσίαις, μὴ ἀρκούμενος εἰς τὰ ἴδια, ἀλλὰ παραβαίνεις ὅρους ἀρχαίους καὶ πατρῴους; ποῖος γάρ σοι προφήτης θεῖος ταῦτα ποιεῖν ἐδίδαξεν; οὐχὶ Μουχούμετ, ὁ προφήτης σου, παρήγγειλεν Χριστιανὸν ὡς ἀδελφὸν ἔχειν καὶ λέγειν; μὴ γὰρ ὁ πάντων δημιουργὸς Θεὸς καὶ προνοητὴς ἀμφοτέρων αἵμασιν ἀνθρώπων ἀδίκως ἐκχυνομένων χαίρει; μὴ γένοιτο. ἢ ἀργυρίου καὶ χρυσίου καὶ τῶν λοιπῶν ὑστερούμενος ἐξῆλθες ἀδικήσων τοὺς μηδὲν ἀδικήσαντάς σε; καίτοιγε τὰ κάλλιστα καὶ δυσπόριστα καὶ ἡμῖν ἐπέραστα κατακόρως ἔχεις. εἰ δέ τι τῶν ἡμετέρων ἐνδεῶς ἔχεις, αὐτίκα παρέξομεν φιλοστοργίας τρόπῳ. μὴ τοίνυν ὡς ἀθάνατοι καὶ ἄθεοι κατ᾽ ἀλλήλων ἀντιστρατευόμεθα καὶ τὸν ἐκ δαιμόνων κατὰ τῶν ἀνθρώπων πόλεμον ἐκ φθόνου μιμώμεθα γινώσκοντες, ὅτι μικρὸν ὕστερον τελευτήσομεν καὶ πρὸς κριτὴν ἀδέκαστον ἀπελευσόμεθα, ὃς ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. ταῦτα τοῦ βασιλέως Νικηφόρου ἀποστείλαντος μετὰ δώρων τινῶν ὁ Ἄραψ ἀγαθυνθεὶς καὶ ἀνταποστείλας δῶρα πλεῖστά τε καὶ θαυμάσια μετ᾽ εἰρήνης ὑπέστρεψε, τὴν Νικηφόρου σύνεσιν ὑπερθαυμάσας. **7** τῆς δὲ Εἰρήνης τῇ ἐξορίᾳ ἐκ λύπης καὶ ἀθυμίας τελευτησάσης ἐν Λέσβῳ τῇ νήσῳ, ἔνθα ἦν φρουρημένη, μετεκόμισε τὸ σῶμα αὐτῆς ὁ βασιλεὺς ἐν τῇ μονῇ τῆς Πριγκίπου, ἣν αὐτὴ ᾠκοδόμησε. σφόδρα γὰρ εὐσεβὴς καὶ φιλάρετος οὖσα πολλὰ ξενοδοχεῖα καὶ γηροκομεῖα καὶ μοναστήρια κατεσκεύασε καὶ φόρων κουφισμοὺς καὶ ἄλλα πλεῖστα κατορθώματα. **8** ὁ δέ γε βασιλεὺς ἔστεψε τὸν υἱὸν αὐτοῦ Σταυράκιον, δυσειδῆ καὶ ἀφελῆ ὄντα. **9** ἀπεβίω δὲ καὶ ὁ ἁγιώτατος ἐπίσκοπος Ταράσιος, καὶ χειροτονεῖται ἀντ᾽ αὐτοῦ Νικηφόρος ὁ

---

§ 7: cf. Georg. Mon. 774.3–9 **56–59** τῆς – ᾠκοδόμησε: cf. Theoph. 480.6–9 § 8–9: cf. Theoph. 480.15–20 § 9: cf. Georg. Mon. 774.10–11

T[L] C[F_1]PH[K]

---

40 καὶ ταῖς αἱματεκχυσίαις (αἱματοχυσίαις P K : αἰχμαλωσίας F_1) om. H **42** σοι om. C προφήτης : ᾶ[ης] φήτης H ποιεῖν om. C Μουχούμετ : μοχόμετ P : μοχούμετ H : μωχόμετ fort. K **45** ἀδίκως ἐκχυνομένων om. C ἐκχυνομένων : ἐκχυνόμενον P : fort. scrib. ἐκχυνομένοις (sic Bekker Tafel : -μένων Georg. Mon. 773.10, sed -μένοις in apparatu) : non adhib. C **46** τῶν om. P H K ἀδικήσων (sic L Georg. Mon. 773.10) : ἀδίκησον T : ἀδικῆσαι F_1 P H K **48** κατακόρως (sic L Georg. Mon. 773.13–14) : κατὰ κόρον F_1 P : κατακούρον H K (sic fort. K) εἰ δέ τι (τι : τινος L C) – ἔχεις om. P (homoeotel.) **49** παρέξομεν : παρέξωμεν H : παρέχω[μ] F_1 **50** ἀντιστρατευόμεθα (sic L F_1) : -ώμεθα C H τὸν (sic L) : τῶν T τῶν om. C **51** φθόνου : φρόνων H **52** ἀπελευσόμεθα (-ώμεθα T L) : πορευσώμεθα H **53** βασιλέω H **54** ἀνταποστείλας : ἀποστείλας C K : ἀνταμείψας F_1 **55** τε om. H ὑπέστρεψεν μετ᾽ εἰρήνης H **56** τῇ ἐξορίᾳ : τὴν ἐξορίαν P : ἐν τῇ ἐξορία H **56–57** καὶ ἀθυμίας om. H **57** post ἔνθα (ὅπου C) add. καὶ P φρουρημένη : φρουρουμένη C P H K : non adhib. L F_1 **58** αὐτὴ : αὐτῇ H K **61** post κατορθώματα add. ἐποίησεν C γε om. L C H : non adhib. F_1 **62** ἀπεβίωσε H **63** ἀρχιεπίσκοπος C

ἁγιώτατος πατριάρχης. **10** ὁ δὲ βασιλεὺς κατὰ Βουλγάρων ἐκστρατεύσας ἥττησεν αὐτοὺς κατὰ κράτος, ὥστε καὶ τὴν λεγομένην αὐλὴν τοῦ ἀρχηγοῦ αὐτῶν Κρούμνου πυρπολῆσαι. ἐκείνου δὲ δηλώσαντος παρακλήσεως λόγους (ἱκανούσθω σοι, ὦ βασιλεῦ, ἕως τούτου) οὐ προσήκατο παντελῶς τῆς εἰρήνης τὰ ῥήματα διὰ πολλὴν ἀπληστίαν. ἐφ᾽ οἷς χαλεπήνας ὁ βάρβαρος τὰς τῆς χώρας εἰσόδους καὶ ἐξόδους περιέφραξεν ὀχυρώμασι ξυλίνοις καὶ μεθ᾽ ἡμέρας δύο συναθροίσας λαὸν καὶ κατὰ τῆς τοῦ βασιλέως σκηνῆς ἐπελθὼν ἀναιρεῖ τοῦτον καὶ πάντας τοὺς σὺν αὐτῷ. τὴν δὲ Νικηφόρου κεφαλὴν ἐκκόψας καὶ ἐπὶ ξύλου ἀναρτήσας, εἶθ᾽ οὕτως γυμνώσας τὸ ὀστοῦν καὶ περιαργυρώσας πέριξ ἐκέλευσε πίνειν εἰς αὐτὴν τοὺς τῶν Βουλγάρων ἄρχοντας ἐγκαυχώμενος κατ᾽ αὐτοῦ ὡς ἀπλήστου καὶ τὴν εἰρήνην μὴ θελήσαντος. **11** ὡς δέ τινες ἔφασαν, πολλοὺς Χριστιανοὺς αὐτὸν πεφονευκέναι διὰ τὴν ἀπληστίαν καὶ φιλαργυρίαν αὐτοῦ. ἐπέτεινε γὰρ τούς τε φόρους τοῖς ὑπὸ χεῖρα καὶ τὰς δημοσίας ἀρχὰς ὠνητὰς χρυσίου τοῖς βουλομένοις προὔθηκεν, κἀκεῖνος ἄξιος ἦν προβάλλεσθαι εἰς ἀρχήν, ὃς πλείονα τῶν ἄλλων χρυσὸν κατεβάλλετο, καὶ ἃ δέ φασι χαρτιατικά, οὗτος ἐξεῦρεν. καὶ πᾶν πονηρὸν καὶ βαρὺ ὡς ἔπος εἰπεῖν αὐτὸς τοῖς Χριστιανοῖς ἐπενόησεν.

---

§ 10: cf. Georg. Mon. 774.18–775.12; Script. Incert. 421–425.25 (de pugnis Nicephori cum Bulgaris); Vit. Nic. Stud. 893B–897C (visio de bello Nicephori cum Bulgaris); Vit. Th. Stud. 272A–C (prophetia Theodori de obitu Nicephori, et obitus huius) **64–72** ὁ – αὐτῷ: cf. Theoph. 490.4–491.15 (**65–66** καὶ – πυρπολῆσαι: cf. Theoph. 490.25–26) **72–74** τὴν – ἐγκαυχώμενος: cf. Theoph. 491.17–22 **75–76** ὡς – πεφονευκέναι: cf. Theoph. 491.25–26; Georg. Mon. 775.24–26 § 11: cf. Script. Inc. 425.26–31 **80** χαρτιατικά: cf. Theoph. 486.28

T[L] C[F_1]PH[K]

64–65 στρατεύσας H **66** Κρούμνου (sic L Georg. Mon. 774.20) : κρούμου C : κρίμου P : κρύμου H : non adhib. F_1 **67** ὦ βασιλεύς H **71** τῆς – σκηνῆς : τοῦ βασιλέως C ἀπελθὼν P H **73** οὔτω C **75** θέλοντος H τινας H **76** πολλοὺς : hoc in loco πεσόντα exhib. Georg. Mon. 775.24–25 Theoph. 496.26 **77** ἐπέτεινε γὰρ : ἐπιτείνεται P τοῖς (τῶν P) ὑπὸ χεῖρα om. H **78** ὠνείτω ex ὠνειτὰς ut vid. P **79** ἄξιος ἦν προβάλλεσθαι (προβάλλεσθαι : προβαλέσθαι P : προβαλλέσθαι H K (sic fort. K)) : προβάλλεσθαι ἄξιος C ἀρχήν : ἄρχοντα P H K πλείονα : πλειόνως P : πλείονος H : πλεῖον ut vid. K **80** κατεβάλετο P χαρτιατικά (sic L) : χαρτιάτικα T (vide introd. III.3.1.1) : non adhib. F_1 **81** τοῖς om. T (quod exhib. L) : non adhib. F_1

126 Σταυράκιος ὁ υἱὸς αὐτοῦ

Σταυράκιος, ὁ υἱὸς αὐτοῦ, ἐβασίλευσεν ἔτος ἕν, μῆνας δύο. **2** οὗτος ἐν τῷ πολέμῳ ἐπλήγη κατὰ τοῦ δεξιοῦ μηροῦ καὶ φορείῳ τὴν πόλιν κατέλαβεν· ὃς διὰ τὴν πληγὴν ἐν τῷ παλατίῳ κείμενος ἀπρόιτος ἦν. **3** ἐβουλεύετο δὲ Μιχαήλ, τὸν γαμβρὸν αὐτοῦ καὶ κουροπαλάτην, τυφλῶσαι καὶ τῇ γαμετῇ τὴν βασιλείαν καταλιπεῖν. ἐντεῦθεν Μιχαήλ, ὁ γαμβρὸς αὐτοῦ, ἐξαίφνης ἀναγορεύεται βασιλεὺς ἐν τῷ ἱππικῷ παρὰ τῆς συγκλήτου καὶ τῶν ταγμάτων, ὡς ἤδη ἀπεγνωσμένου τοῦ Σταυρακίου· **4** ὅπερ μαθὼν Σταυράκιος καὶ τὸ μοναδικὸν αὐτίκα σχῆμα σὺν τῇ γυναικὶ αὐτοῦ Θεοφανῷ περιθέμενος εἰς τὰ Βρακὰ λεγόμενον μοναστήριον ἐτελεύτησε καὶ ἐτάφη ἐν τῇ μονῇ τοῦ Σατύρου.

---

2 Stauracius regnavit 28.7.811–1.10.811

---

§ 1: cf. Theoph. 495.18; Georg. Mon. 776.2–3; Vit. Th. Stud. 272C–D (de regno et abdicatione Stauracii) § 2: cf. Theoph. 492.2–5; 495.15–17; Georg. Mon. 776.3–5 **6–9** ἐντεῦθεν – Σταυρακίου: cf. Theoph. 493.21–28; Georg. Mon. 776.5–8 § 4: cf. Theoph. 494.7–8; Georg. Mon. 776.9–11

T[L] C[F_1]PH[K]

---

1 Σταυράκιος ὁ (ὁ om. H) υἱὸς αὐτοῦ (αὐτοῦ : νικηφόρου P H K) : σταυράκιος ἔτος α μῆνας β in mg. C : βασιλεία σταυρακίου F_1 : om. L **2** αὐτοῦ : νικηφόρου F_1 H K : νικηφόρος ut vid. P **3** post τῷ add. κατὰ βουλγάρων F_1 P H K **4** κατέλαβεν (sic L) : κατέβαλεν T ἦν : αλεβ … ουλεύετο P^{pc} (non vid. P^{ac}) **5–6** τυφλῶσαι : ἐκτυφλῶσαι F_1 P H K **6** καταλειπεῖν H post Μιχαήλ add. τοῦτο γνούς F_1 P H K **7** ἐξαίφνης om. C **9** post μαθὼν add. ὁ F_1 H post Σταυράκιος add. καὶ τοῦ παλατίου ἐξελθὼν F_1 P H K μοναχικὸν H **10** εἰς τὰ Βρακὰ scripsi sec. Georg. Mon. 776.11 (cf. Theoph. 494.7: τὰ Ἑβραϊκὰ) : εἰσταυρακὰ T : εἰς σταυρακὰ L C P H K : εἰσταυρικὸν F_1 (vide introd. III.3.1.1) **11** τοῦ om. C post Σατύρου add. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ἔτι ὁ ἁγιώτατος νικηφόρος P H K

127 Μιχαὴλ ὁ εὐσεβέστατος, ὁ Ῥαγαβέ

Μιχαὴλ ὁ εὐσεβέστατος ἐβασίλευσεν ἔτη β', στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου, δοὺς τῷ πατριάρχῃ χρυσίου λίτρας ν' καὶ τῷ κλήρῳ λίτρας κε'. ἀφιλάργυρος γὰρ ἦν καὶ μεγαλόψυχος, παραμυθησάμενος καὶ τοὺς ἐκ τῆς Νικηφόρου πλεονεξίας ἠδικημένους. **2** ἔστεψε δὲ καὶ Προκοπίαν, τὴν γυναῖκα αὐτοῦ, πολλαῖς δωρεαῖς τὴν σύγκλητον φιλοτιμησάμενος, καὶ Θεοφύλακτον, τὸν υἱὸν αὐτοῦ, ὁμοίως ἔστεψεν ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας, πάμπολλα προσενέγκας ἱερὰ ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ. **3** Κροῦμος δέ, ὁ τῶν Βουλγάρων ἀρχηγός, ἔγραψε περὶ εἰρήνης ἐπιζητῶν καὶ πάμπολλα πάκτα. ὁ δὲ κακῶν συμβουλίαις πεισθεὶς οὐ προσήκατο τὴν εἰρήνην. οὗτος εἰς πάντα μὲν χρηστὸς ἦν καὶ ἐπιεικής, εἰς δὲ τὴν τῶν πραγμάτων διοίκησιν ἀκυβέρνητος παντελῶς ὑπῆρχε καὶ δεδουλωμένος ματαίων ἀνθρώπων βουλαῖς καὶ ἀπειροπολέμων. ὅθεν ἐκστρατεύσαντος αὐτοῦ κατὰ Βουλγάρων καὶ μετὰ μεγάλης ἥττης ὑποστρέψαντος ἀναγορεύεται Λέων, ὁ πατρίκιος καὶ στρατηγὸς τῶν Ἀνατολικῶν, ὑπὸ τοῦ λαοῦ καὶ τῶν ἀρχόντων ἐν τῷ Κάμπῳ τοῦ τριβουναλίου. **4** καὶ δὴ τοῦτο Μιχαὴλ ἀκούσας καὶ τὸ μοναδικὸν σχῆμα σὺν γυναικὶ καὶ τέκνοις ἀμφιασάμενος εἰς τὸ πλησίον τῆς πόλεως νησίον περιορίζεται, ἐν ᾧ καὶ ἐτελεύτησε.

---

2 Michael I. regnavit a. 811–813

---

§ 1–2: cf. Script. Inc. 335.1–336.14 § 1: cf. Theoph. 493.15–19; 493.30–494.1; Georg. Mon. 776.13–14; Vit. Th. Stud. 272D **5–7** ἔστεψε – φιλοτιμησάμενος: cf. Theoph. 494.1–3 **7–9** καὶ – ἐκκλησίᾳ: cf. Theoph. 494.26–31 **11–19** οὗτος – ἐτελεύτησε: cf. Georg. Mon. 776.14–24 **11–14** οὗτος – ἀπειροπολέμων: cf. Theoph. 499.31–500.2; Script. Inc. 336.14–340.12 **14–17** ὅθεν – τριβουναλίου: cf. Theoph. 502.1–26; Genes. I.2 **15–17** (Leo basileus factus est) Vit. Nic. Stud. 877C–880A; Vit. Th. Stud. 276A–B § 4: cf. Script. Inc. 340.12–14; 341.7–342.1 **17–18** καὶ pr. – ἀμφιασάμενος: cf. Theoph. 502.26–29; Genes. I.5

T[L] C[F_1]PH[K]

---

1 Μιχαὴλ ὁ εὐσεβέστατος, ὁ Ῥαγαβέ (fort. scrib. Ῥαγγαβέ) : μιχαὴλ ὁ ῥαγγαβὲ ἔτη β in mg. C : βασιλεία μιχαὴλ τοῦ κουροπαλάτου in mg. superiore F_1 : μιχαὴλ ὁ κουροπαλάτης ὁ γαμβρὸς σταυρακίου P : μιχαὴλ ὁ ῥαγαβέ, εὐσεβέστατος H : μιχαὴλ ὁ υἱὸς σταυρακίου K : om. L **2** post β' add. ὁ γαμβρὸς νικηφόρου βασιλέως τοῦ γενικοῦ γεγονότος. εἰς προκοπίαν τὴν ἑαυτοῦ θυγατέρα. ἀδελφὴν δὲ σταυρακίου· ἦν δὲ κουροπαλάτης ὁ πατὴρ ἰγνατίου πατριάρχου C **5** τῆς om. H K **6** πολλαῖς δωρεαῖς om. C **9** post ἐκκλησίᾳ add. οὗτος γὰρ ὁ μιχαὴλ πατὴρ ἦν (ἦν ὁ μιχαὴλ πατὴρ H) ἰγνατίου πατριάρχου· ἐπωνομάζετο δὲ ῥαγαβέ P H K **10** πάμπολλα : πολλὰ P H K πάκτα : κτήματα C post δὲ add. βασιλεὺς C **11** τὴν om. P ἦν (sic F_1 : sim. exhib. L) om. C H K **12** παντελῶς ἀκυβέρνητος P **13** βουλαῖς : συμβουλίαις H **16** ἀνοτολικῶν H **17** δὴ om. C **18** γυναιξὶ H **19** post νησίον add. τὴν πλάτην F_1 P H K post ἐτελεύτησε add. τὸν δὲ τῆς ἀρχιερωσύνης θρόνον κατεῖχεν ἔτι ὁ ἁγιώτατος νικηφόρος P H K

128 Λέων ὁ Ἀρμένης καὶ παραβάτης

Λέων ὁ Ἀρμένης καὶ παραβάτης ἐβασίλευσεν ἔτη ζ', μῆνας πέντε, στεφθεὶς ὑπὸ Νικηφόρου πατριάρχου, βεβαιώσας αὐτὸν ἐγγράφως περὶ τῆς ἑαυτοῦ ὀρθοδοξίας. **2** ὁ δὲ *νέος* Σεναχηρεὶμ Κροῦμος ἐπαρθεὶς τῇ νίκῃ, καταλιπὼν τὸν ἴδιον ἀδελφὸν πολιορκεῖν τὴν Ἀδριανούπολιν, μετὰ ἓξ ἡμέρας τῆς αὐτοκρατορίας Λέοντος ἐπελθὼν τῇ πόλει περιῄει πρὸ τῶν τειχῶν ἀπὸ Βλαχερνῶν ἕως τῆς Χρυσῆς καλουμένης πόρτης, ἐπιδεικνύμενος τὴν περὶ αὐτὸν δύναμιν, ἐπιτελέσας καὶ μιαρὰς θυσίας ἐν τῷ λιβαδίῳ τῆς Χρυσῆς πόρτης. ᾐτήσατο δὲ τὸν βασιλέα ποιῆσαι εἰρήνην, εἰ τὸ δόρυ αὐτοῦ πήξει ἐν τῇ Χρυσῇ πόρτῃ. τοῦ δὲ βασιλέως μὴ καταδεξαμένου τοῦτο ὑπέστρεψεν εἰς τὴν ἰδίαν σκηνήν, θαυμάσας τὰ τῆς πόλεως τείχη καὶ τὴν εὔτακτον τοῦ βασιλέως παράταξιν. ἐπὶ σύμβασιν οὖν εἰρήνης τρέπεται, πειραστικοὺς λόγους ποιούμενος. ὁ δέ γε βασιλεὺς ἀφορμῆς δραξάμενος ἐπειράθη τοῦτον λοχῆσαι, ἀλλ' εἰς πέρας ἀγαγεῖν τοῦτο ἐκωλύθη τῇ τῶν ὑπουργησάντων ἀφυΐᾳ, πληξάντων μὲν τοῦτον, καιρίαν δὲ μὴ ἐπαγαγόντων πληγήν. ἐπὶ τούτῳ μανεὶς ὁ ἀλάστωρ, ἀποστείλας ἱππεῖς ἐν τῷ ἁγίῳ Μάμαντι τὸ ἐκεῖσε ὂν παλάτιον ἐνέπρησε καὶ τὸν χαλκοῦν λέοντα τοῦ ἱππικοῦ σὺν

---

2 Leo V. regnavit a mense Iul. a. 813 usque ad mensem Dec. a. 820

---

§ 1: cf. Script. Inc. 340.15–341.7 **2** Λέων – πέντε: cf. Georg. Mon. 777.2–3; ps.-Sym. 603.1–3 **2–4** στεφθεὶς – ὀρθοδοξίας: cf. Theoph. 502.20–21; 30–31; ps.-Sym. 604.1–2; Vit. Nic. Stud. 880A; Vit. Th. Stud. 276B–C § 2–4: cf. ps.-Sym. 612.3–616.1; Script. Inc. 342.1–348.22 **4–21** ὁ – ἑλών: cf. Theoph. 503.5–25

---

cap. 128 T[L] G C[F_1]PH[K]

---

1 Λέων ὁ Ἀρμένης (-ιος P H) καὶ (καὶ : ὁ καὶ P) παραβάτης : ἑτέρα συγγραφή· λέοντος τοῦ αὐτοῦ G : λέων ὁ ἀρμενϊος ἔτη ζ μῆνας ε in mg. C : βασιλεία λέοντος τοῦ ἀρμένη F_1 : om. L **2** Ἀρμένης (sic L F_1) : ἀρμένιος G C H **4** post ὀρθοδοξίας (ὀρθοδόξου πίστεως C H) add. ἀλλὰ γὰρ οὐκ ἔλαθε τῷ καλῷ ποιμένι ὁ λύκος τῷ κῳδίῳ ἐγκεκρυμμένος F_1 P H K (sic et ps.-Sym. 604.2–4) Σεναχηρεὶμ : σεναχϊρεὶμ P : σεναχειρεὶμ ut vid. H : σεναχειρεὶμ vel σεναχερεὶμ K post Κροῦμος add. ὁ τῶν βουλγάρων ἀρχηγός F_1 P H K **5** ἀνδριανούπολιν F_1 H **6** τῆς τοῦ λέοντος αὐτοκρατορίας C ἐπελθὼν : ἐπανελθὼν G : ἐπελθὼν ἐν C post πόλει add. σὺν ὄχλῳ βαρεῖ (βαρεῖ : πολλῷ F_1) L C F_1 P H K (cf. Theoph. 503.8) περήει P **7** ἀπὸ τῶν βλαχερνῶν πρὸ τῶν τειχῶν H καλουμένης πόρτης : πόρτης καλουμένης P : πόρτης F_1 H **8** περὶ αὐτὸν (αὐτὸν : αυ$^{\tau}$ F_1) : περὶ αὐτοῦ H K : ἑαυτοῦ G καὶ om. G **9** λιβαδίῳ : κάμπω C **10** εἰ : ἢ G : ἣ F_1 πήξει : πῆξαι G : πήξυεν H **11** τοῦτο μὴ καταδεξαμένου C θαυμάσαντος P **12** παράταξιν : παρασκευήν τε καὶ παράταξιν C : σύνταξιν P H K **13** τρέπονται H πειραστικοὺς : πειρατικοὺς C P H K **14** post ἐπειράθη add. δὲ H λοχῆσαι : λογχεῦσαι C H : λογχῆσαι F_1 P : λογχίσαι (hasta transfodere) Tafel e Theoph. **15** ἐξαγαγεῖν C **16** τοῦτον : τούτων H μὴ ἐπαγαγόντων πληγήν : τὴν πληγήν μὴ ἐπαγαγόντων C : μὴ ἐπαγαγόντων (ἐπαγόντων H) τὴν πληγήν F_1 P H K **18** χαλκὸν P K

τῇ ἄρκτῳ καὶ τῷ δράκοντι τοῦ ὑδρείου καὶ μαρμάροις καλλίστοις ἐν ἁμάξαις φορτώσας ὑπέστρεψε, παρακαθίσας τὴν Ἀδριανούπολιν καὶ ταύτην ἑλών. πολλοὺς δὲ τῶν εὐγενῶν Μακεδόνων μετὰ λαοῦ πλείστου διαπεράσας κατεσκήνωσεν ἐν τῷ Δανουβίῳ ποταμῷ. **3** ὁ δὲ Λέων μετὰ δύο χρόνους τῆς αὐτοῦ βασιλείας μανεὶς καὶ τὸν στέψαντα αὐτὸν θεῖον Νικηφόρον ἐξορίσας Θεόδοτον πατριάρχην ἀντιχειροτονεῖ, ἄλογον ἄνδρα καὶ ἰχθύων ἀφωνότερον, καὶ διωγμὸν ἄσπονδον κατὰ τῆς ἐκκλησίας ἀνερρίπισεν. **4** ἐφ᾽ οὗ ἐφάνη ἀστὴρ κομήτης ἐν σχήματι δύο λαμπρῶν σεληνῶν ἑνουμένων καὶ πάλιν διαιρουμένων εἰς διάφορα σχήματα, ὡς καὶ εἰς ἀκεφάλου διάπλασιν ἀνδρὸς τυπωθῆναι. καὶ μέντοι καὶ σεισμοὶ φοβεροὶ καὶ λιμοὶ καὶ ἀχμοὶ καὶ φλογώσεις γεγόνασιν ἐπὶ τῶν ἡμερῶν τοῦ θεοστυγοῦς. **5** ἐκμιμούμενος τοίνυν τὸν τῆς μυσαρᾶς ταύτης αἱρέσεως ἀρχηγόν, ὁμώνυμον αὐτοῦ καὶ ὁμότροπον, ἤρξατο τῆς αἱρέσεως. εἶτα συμμύστας ἐπιζητήσας εὗρεν Ἰωάννην τὸν λεγόμενον Γραμματικόν, μᾶλλον δὲ Ἰαννὴν ἄλλον, ἢ Σίμωνα, ἐπί τε λεκανομαντείαις καὶ γοητείαις καὶ αἰσχρουργίαις διαβεβοημένον, καὶ ἑτέρους τινὰς ὁμόφρονας αὐτῷ. **6** προσκαλεῖται οὖν Νικηφόρον, τὸν ἀοίδιμον πα-

---

21 Hadrianupolis capta est ca. autumn. ineunt. a. 813 **22–24** Nicephorus abdicavit 13.3.815, et Theodotus patriarcha factus est 1.4.815 **26–28** cometes C/poli visus 4.11.812

---

§ 3–9: Vit. Nic. Stud. 880C–881A; Vit. Th. Stud. 276C–285B § 3: cf. Georg. Mon. 777.8–15; Script. Inc. 359.22–360.15; Genes. I.4 **25** ἰχθύων ἀφωνότερον: cf. Luc. Gall. 1 (ἀφωνότερος τῶν ἰχθύων) § 4: cf. ps.-Sym. 606.22–607.9 **26–28** ἐφ᾽ – τυπωθῆναι: cf. Theoph. 499.6–8; Georg. Mon. 777.20–23; Genes. II.3 **28–30** καὶ alt. – θεοστυγοῦς: cf. Georg. Mon. 778.2–5; Genes. I.22 § 5: cf. ps.-Sym. 606.9–22; Script. Inc. 349.1–352.11; Georg. Mon. 778.8–15 § 6–7: cf. Script. Inc. 352.11–354.4(13) § 6: cf. Georg. Mon. 778.16–780.2; ps.-Sym. 607.10–608.21

T[L] G C[F_1]PH[K]

---

19 τῇ : τῶ H ἄρκτῳ : ἄκτωι G **20** παρακαθίσας (περικαθίσας P H K) – καὶ : τὴν ἀδριανούπολιν πολιορκήσας. καὶ δορυάλωτον C ἀνδριανούπολιν F_1 H **21** δὲ : τε H **22** δανουβίῳ C P post δὲ add. γε C **23** ἑαυτοῦ C μανεὶς καὶ : τὸν ἐν ἑαυτῶ κατὰ τῆς εὐσεβείας ἰὸν ἐξεμέσας. καὶ μανεὶς C αὐτὸν om. P H K **24** ἐξορίσας Θεόδοτον : ἐξώρισε· καὶ θεόδωρον C ἀντιχειροτονεῖ : ἀντ᾽ αὐτοῦ χειροτονεῖ P H K **25** ἀφωνότερον (ἀφωνό^{τ} G) : ἀφωνότατον P H K **26** post ἐκκλησίας add. ὁ ἀλιτήριος C ἀστὴρ om. C σχήματι : ὀχήματι P H K **27** σεληνῶν (sic L et Georg. Mon. 777.21; cf. Theoph. 499.7) : δίσκων σελήνης C F_1 P H K (sim. ps.-Sym. 607.1–2) **28** ὡς καὶ εἰς (sic L et Theoph. 499.8 Georg. Mon. 777.22–23 ps.-Sym. 607.3) : ὡς εἰς G : ὡς καὶ F_1 P H K **29** καὶ pr. om. H K καὶ λιμοὶ om. G ἀχμοὶ : αὐχμοὶ L C F_1 P H K, fort. recte **30** ἐκμιμούμενος (ἐκμαινόμενος H) τοίνυν : τοιγαροῦν κἀντεῦθεν μιμούμενος C τὸν om. H **31–32** ἀρχηγόν – αἱρέσεως om. H **33** μᾶλλον δὲ om. P Ἰαννὴν : ἰῶ G F_1 : ἰαννῆν C ἢ ἄλλον H **34** καὶ γοητείαις om. C αἰσχουργίαις T P ἑτέρας H **35** αὐτῷ (sic L) : αὐτοῦ G P H K : αυ^{τ} F_1

τριάρχην, καὶ τοὺς σὺν αὐτῷ ἐπισκόπους ἐνώπιον τῆς συγκλήτου καί φησι· ἴστε σαφῶς, ὡς ἀνέστησάν τινες λέγοντες μὴ δεῖν προσκυνεῖσθαι τὰς εἰκόνας. εὐθὺς δὲ ὁ ἱερὸς Εὐθύμιος Σάρδεων παρρησιασάμενος ἐκ τῆς θείας γραφῆς ἐπεστόμισε τὸν ἀλιτήριον. μεθ᾽ ὃν καὶ Θεόδωρος, ὁ θερμὸς τῆς ὀρθοδοξίας πρόμαχος καὶ τῶν Στουδίου ἡγούμενος, ἔφη· μὴ παρασάλευε, βασιλεῦ, κατάστασιν ἐκκλησιαστικήν. σοὶ μὲν γὰρ ἡ τῆς πολιτείας κατάστασις καὶ ἡ τοῦ στρατοπέδου ἐπιστεύθη· τούτων φρόντιζε καὶ τὴν ἐκκλησίαν ἔασον μένειν ἐν ὀρθοδοξίᾳ. **7** ὁ δὲ τύραννος τούτων ἀκούσας, ὑπερζέσας τῷ θυμῷ καὶ λεόντιον ὁ πιθήκειος βρύξας καὶ πάντας μεθ᾽ ὕβρεως ἀπελάσας καὶ τὸν μέγαν Νικηφόρον τῆς πόλεως ἐξεώσας καὶ περιορίσας, ὡσαύτως καὶ Θεόδωρον τὸν Στουδίου ἐξορίσας, Θεόδοτον τὸν Κασσιτηρᾶν τῷ πατριαρχείῳ ἀπεκατέστησεν. **8** ἔκτοτε οὖν τὸν θυμὸν καὶ τὸν δόλον τῆς ψυχῆς αὐτοῦ ἐκχέας τοῖς συμμύσταις αὐτοῦ καὶ ἀσελγέσιν ἑαυτὸν κατεπίστευσεν, οἵτινες, ἐπεὶ αὐτῷ προσῳκειώθησαν, τρία ὑπέθηκαν αὐτῷ τὰ ὑπεσχημένα καὶ αὐτῷ στεργόμενα· τῆς ὀρθοδόξου πίστεως ἡμῶν τὴν ἄρνησιν, τῶν θείων εἰκόνων τὴν καθαίρεσιν, τῶν εὐσεβούντων τὴν δίωξιν. **9** ταύταις οὖν ταῖς ἀπάταις πεισθεὶς ὁ ματαιόφρων, ἀναπτερωθεὶς ὁ δείλαιος τῇ ταλαιπώρῳ ὁρμῇ πρῶτον μὲν καθαιρεῖ πᾶσαν ἱερὰν τῆς ἐκκλησίας ἀναστήλωσιν, κἀντεῦθεν τοὺς εὑρισκομένους ἔχοντας εἰκόνας Χριστοῦ ἤ τινος ἁγίου δειναῖς τιμωρίαις καὶ θανάτῳ κατεδίκαζε, καὶ πολλοὺς ἐνδόξους καὶ περιφανεῖς πεφόνευκε, μοναχούς τε ὁμοίως ἀπείρους τῷ θανάτῳ παρέδωκεν.

45–47 mense Mart. vel April. a. 815 (cf. § 3)

---

§ 7: cf. Georg. Mon. 780.3–8; ps.-Sym. 608.21–609.13; Vit. Nic. Stud. 881Asqq. **44** λεόντιον … βρύξας: locus communis (cf. supra, cap. 121, § 8; Vit. Nic. Stud. 884B) § 8–9: cf. Script. Inc. 354.13–355.61 (cf. 361.14sqq.) § 8: cf. Georg. Mon. 782.12–783.3 § 9: cf. Georg. Mon. 783.6–788.8

T[L] G C[F_1]PH[K]

---

38 post Εὐθύμιος add. ὁ F_1 P **39** ὃν : ὧν G F_1 H **41–42** πολιτείας : βασιλείας C **42** τούτων : τούτω H **44** ὁ πιθήκειος : ἠπιθήκιον H **45** ὕβρεων C **46** καὶ περιορίσας om. H τὸν : τῶν C P K : non adhib. F_1 **47** Θεόδοτον : θεόδωρον H κασσιταρὰν G ἀπεκατέστησεν : ἀποκατέστησεν C : ἀπεκατέστησαν P **49** ἀσελγέσιν : ἀπατεῶσιν C ἐπεὶ : ἐπὶ G F_1 H : om. C : non adhib. L αὐτῷ : αὐτὸν P **49–50** post προσῳκειώθησαν (προσοικ- H) add. καὶ C **50** τὰ om. H ὑπεσχημένα (sic L, sed aliter) : ὑποσχημένα G : ἐπεσχιμένα F_1 : πεποθημένα P H K **52** post καθαίρεσιν add. καὶ C P H **53** πειθεὶς H post ματαιόφρων add. καὶ (καὶ – δείλαιος : καὶ δείλαιος· ἀναπτερωθείς τε C) C P H K **54** πρῶτα G καθαιρεῖ : καθαίρει F_1 P H K **55** εἰκόνα T **56** καταδικάσαι P post περιφανεῖς add. ἄνδρας C **57** μοναχούς τε (τε om. P H K) ὁμοίως ἀπείρους τῷ (τῷ om. H) – παρέδωκεν (παραδέδωκεν P H K) : μοναχούς τε ἀπείρους ὁμοίως ὁ τὴν ψυχὴν τεθανατωμένος ἐθανάτωσε C : om. G F_1

10 Μιχαὴλ δέ, ὁ τὴν τοῦ ἐξκουβίτου τάγματος ἀρχὴν διέπων, διεβλήθη τῷ βασιλεῖ ὡς κατ᾽ αὐτοῦ βουλευόμενος· ὃν εἱρκτῇ καὶ πέδαις εἶχε τηρούμενον. τῆς δὲ γενεθλίου τοῦ Σωτῆρος ἡμέρας ἐνστάσης τοῦτον ἠβουλήθη τῇ νυκτὶ ἀνελεῖν. κωλυθεὶς δὲ παρὰ τῆς ἰδίας γυναικὸς διὰ τὴν ἑορτὴν εἴασεν αὐτόν. ὁ δὲ Μιχαὴλ ἐν τῇ εἱρκτῇ ὤν, τοῦτο μαθὼν πᾶσι τοῖς μετ᾽ αὐτοῦ συμβούλοις ἐμήνυσεν, ὡς εἰ μὴ σπουδάσετε ἐξελεῖν με τῆς φρουρᾶς, πάντας ὑμᾶς καταμηνύω τῷ βασιλεῖ. **11** ἦν δὲ μετ᾽ αὐτῶν καὶ ὁ τοῦ παλατίου παπίας, συγγενὴς ὢν τοῦ Μιχαήλ. οὗτοι τῇ νυκτὶ ὁπλισθέντες, ἔνδοθεν τὰ ξίφη φοροῦντες, τοῦ παπίου ἀνοίξαντος, ὡς ἱερεῖς μετὰ φελωνίων εἰσῆλθον. τοῦ δὲ βασιλέως ἐν τῇ ἐκκλησίᾳ εἰσελθόντος, εἰσπηδήσαντες καὶ τοῦτον χειρωσάμενοι μεληδὸν κατέκοψαν, ἀπορρήξαντα τὴν ἀνόσιον αὐτοῦ ψυχὴν ἐν τῷ παλατίῳ, ἐν ᾧ οὐδεὶς τῶν πρὸ αὐτοῦ βεβασιλευκότων ἀνῄρητο. **12** αὐτῇ δὲ τῇ ὥρᾳ ἐν τῇ εἱρκτῇ ἀπελθόντες ἐξάγουσι τὸν Μιχαὴλ καὶ εἰσάγουσιν ἐν τῇ ἑορτῇ, ἀντὶ δεσμοφόρου στεφηφόρον, ὡς πληρωθῆναι ἐπ᾽ αὐτῷ τὸ τοῦ ψαλμοῦ λόγιον· τὸ ἑσπέρας αὐλισθήσεται κλαυθμὸς καὶ εἰς τὸ πρωῒ ἀγαλλίασις. **13** μετὰ δὴ ταῦτα ῥακίοις εὐτελέσι περιβαλόντες τὰ τοῦ ἀλιτηρίου μέλη καὶ εἰς ἀκάτιον ἐμβαλόντες τὸ παμμίαρον αὐτοῦ σῶμα

68–70 Leo V. occisus est 25.12.820

---

§ 10–13: cf. Georg. Mon. 788.9–789.10 § 10: cf. ps.-Sym. 609.22sqq.; 619.3sqq.; Genes. I.17; I.18 (**61–62** κωλυθεὶς – αὐτόν) **62–65** ὁ – Μιχαήλ: cf. Genes. I.19 § 11: cf. Genes. I.20; Vit. Nic. Stud. 889A–B § 12–13: cf. Genes. I.21 **73–74** τὸ ἑσπέρας – ἀγαλλίασις: Ps. 29(30).6

T[L] G C[F_1]PH[K]

δὲ ὁ φιλόσοφος εἰς κίονα ὑπὸ συστημάτην σταθεὶς μετὰ ἑτέρων δύο διεσώθη καὶ ἕτεροι πέντε μόνοι ὑποκάτω τοῦ ἄμβωνος. **5** Φώτιος δὲ ὁ πατριάρχης ἐλθόντος τοῦ βασιλέως ἐν τῇ ἐκκλησίᾳ καὶ μέλλοντος αὐτοῦ κοινωνεῖν τοῦτον λῃστὴν καὶ φονέα ἔλεγεν καὶ ἀνάξιον τῆς θείας κοινωνίας. ὁ δὲ θυμωθεὶς ἀπέστειλεν ἐν Ῥώμῃ καὶ ἤγαγε τόμον μετὰ Ῥωμαίων ἐπισκόπων καὶ τοῦτον τοῦ θρόνου αὐτοῦ ἐξέωσε καὶ προεχειρίσατο Ἰγνάτιον τὸν ἐν ἁγίοις πατριάρχην τὸ δεύτερον αὐτοῦ. **6** ἐγεννήθη δὲ Ἀλέξανδρος ὁ βασιλεὺς ἐκ τῆς τοῦ Ἤγγιρος Εὐδοκίας, οὗτος παῖς γνήσιος ὢν Βασιλείου. **7** ἐστράτευσε δὲ ὁ βασιλεὺς κατὰ τῶν Ἀγαρηνῶν τῶν εἰς Τιβρικὴν καὶ πόλεμον συνάψας ἡττήθη. καὶ πολλάκις συμβαλὼν Ἀγαρηνοῖς πολλοὺς τῶν Ῥωμαίων ἀπεβάλετο. ἐν δὲ τῇ τοιαύτῃ φυγῇ τοῦ βασιλέως Θεοφύλακτος ὁ Ἀβάστακτος, ὁ πατὴρ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος, διέσωσε τὸν βασιλέα παρὰ μικρὸν ὑπὸ τῶν Ἀγαρηνῶν κρατούμενον· ὃν ἐπιζητήσας ὁ βασιλεὺς μετὰ ταῦτα καὶ εὑρὼν καὶ γνωρίσας (πολλοὶ γὰρ ἔλεγον τῷ βασιλεῖ, ὅτι ἐγώ εἰμι), ὁ δὲ τὴν τιμὴν ἀφεὶς τόπον βασιλικὸν ᾐτήσατο, οὗ καὶ

---

§ 5: Photius patriarcha dethronizatus est 23.9.867, et Ignatius patriarcha factus est 23.11.867 § 6: fort. 23.11.870 § 7: a. 871–872

---

§ 5: cf. ps.-Sym. 688.22–689.4; ThCont. (Vit. Bas.) 32.7–16; Vit. Nic. Stud. 913B § 6: cf. ps.-Sym. 690.4–6; Vit. Bas. Iun. 653; Vit. Euth. 5.21 § 7: cf. ps.-Sym. 690.6–13; ThCont. (Vit. Bas.) 37; Genes. IV.31

TL [F_2]G[X][m] F_1[E]PH

---

34 ὑπὸ συστημάτην : ὑποσταστημάτην L : ὑπὸ συστημάτων F_2 G m (vel ὑπὸ συστημάτην m) F_1 P : ὑποσύστημα τι H (ὑπὸ συστημάτην σταθεὶς : συστησάμενος X) post μετὰ add. καὶ X H ἑτέρων : ἑταίρων T : ἑτέρους ut vid. G **34–35** ἐσώθη L P H **35** πέντε μόνοι : μόνοι πέντε P : δεκαπέντε X **36** ἐλθόντος – αὐτοῦ (αὐτοῦ m : αὐτὸν F_2 G : παραυτ F_1 : L X (P H)) : ἐλθόντα τὸν βασιλέα ἐν τῇ ἐκκλησίᾳ καὶ μέλλοντα P H **37** τοῦτον – ἔλεγεν : ἦρξε (εἶρξε P) λῃστὴν καὶ φονέα (λῃστὴν καὶ φονέα καὶ λῃστὴν H) ἀποκαλῶν (-εῖν H) P H θείας om. L **40** πατριάρχην om. H τὸ : τὸν P **41** ἐγενήθη F_2 F_1 δὲ om. F_1 ὁ om. F_1 P H Ἤγγιρος (-γκη- F_1 : -ειρ- F_2 : ἴγκϋρος X) : ἥγγιρος T : ἴγγερος L G H : ἴγγιρος P m **42** παῖς γνήσιος ὢν (sic X m) : παῖς (παῖς : ὁ G) γενόμενος καὶ γνήσιος F_2 G : παῖς ἦν γνήσιος P H **43** τῶν pr. om. G X H τῶν alt. om. P H Τιβρικὴν (i.e. Τεφρικήν) : τυβρικὴν F_2 : τιβρικοῖς G : τηβρικὴν X m F_1 H : τιβερικὴν P **44** post συμβαλὼν (ἐμβαλὼν P) add. τοῖς L αγαρηνοὺς F_1 ἀπεβάλετο (sic m) : ἀπεβάλλετο G X F_1 H : ἀπεβαλῶν F_2 **45** τοιαύτῃ : αὐτῇ F_1 τοῦ om. P post Θεοφύλακτος exhib. θεοφύλακτος P^{ac} Ἀβάστακτος : ἀμάστακτος F_2 : ἀσεβέστατος F_1 **48** ταῦτα – γνωρίσας (sic m) : ταῦτα καὶ γνωρίσας F_2 G : ταῦτα F_1 P H (sed vide infra) : non adhib. X **48–49** βασιλεῖ : βασιλείω P **49** post εἰμι (sic m) : add. ὁ διασωσάμενός σε· τοῦτον τιμῆσαι ἠβούλετο L : add. καὶ τιμώμενος οὐκηθέλησεν F_1 : add. εὗρε (εὗρε ante πολλοὶ exhib. F_1) καὶ τιμὴν αὐτῷ ἐδίδου P H : non adhib. X ὁ δὲ τὴν τιμὴν (post τιμὴν add. αὐτοῦ H) ἀφεὶς : αφεὶς γὰρ την τιμὴν F_1 ᾐτήσατο : ἐζήτησεν P

τετύχηκεν. ὑποστρέψας δὲ ὁ βασιλεὺς ἐν τῇ πόλει ἀπέστειλε Χριστοφόρον γαμβρὸν αὐτοῦ ἐν Τηβρικῇ, καὶ νίκην μεγίστην ποιήσας ἐκπορθεῖ ταύτην καταστρέψας ἕως ἐδάφους. **8** Ἰγνάτιος δὲ ὁ πατριάρχης ᾠκοδόμησεν ἐκκλησίαν εἰς τὸ ἐμπόριον Σάτωρος περικαλλῆ, ἐπ᾽ ὀνόματι τοῦ Ἀρχιστρατήγου τοῦ Ἀνατέλλοντος, καὶ μονὴν πεποίηκεν ἀνδρείαν, ἔνθα καὶ τὸ σῶμα τοῦ αὐτοῦ πατριάρχου ἀπόκειται. **9** Θέκλας δὲ τῆς ἀδελφῆς τοῦ βασιλέως ἀποστειλάσης πρὸς τὸν βασιλέα δι᾽ ὑπόμνησιν τινὰ Μέτριον ὄντα αὐτῆς ἄνθρωπον ἠρώτησεν αὐτὸν ὁ βασιλεύς, ὅτι τίς ἔχει τὴν κυρίαν σου; ὁ δὲ εἶπεν, ὅτι ὁ Νεατοκομήτης. παρευθὺ δὲ ὁ βασιλεὺς ἀποστείλας ἤγαγεν αὐτὸν καὶ τύψας ἀπέκειρε καὶ τὸ μοναχικὸν σχῆμα ἐνέδυσεν αὐτόν. ὡσαύτως δὲ καὶ Προκόπιον τὸν πρωτοβεστιάριον αὐτοῦ ἀποστείλας ἔτυψε τὴν Θέκλαν· ὃς καὶ ἄρας πάντα τὰ χρήματα αὐτῆς εἰσεκόμισε τῷ βασιλεῖ. τὸν δὲ Νεατοκομήτην μετὰ ταῦτα ἐποίησεν οἰκονόμον ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ. **10** ὁ δὲ αὐτὸς βασιλεὺς ἐβάπτισε καὶ τοὺς Ἑβραίους πάντας, ὅσοι τῷ τότε χρόνῳ ὑπὸ τὴν χεῖρα αὐτοῦ ὑπῆρχον, ἀναδεξαμένων αὐτοὺς πάντων τῶν ἐν ἀξίαις, φιλοφρονησαμένου τοὺς Ἑβραίους τοῦ βασιλέως καὶ ἀντιλήψεις καὶ δῶρα

51–52 Tephrica expugnata est a. 872 (re vera fort. a. 878, vid. Ševčenko, ed. ThCont. (Vit. Bas.) 50.1–2)

---

§ 8: cf. ps.-Sym. 690.14–17 (cf. Vit. Ignat. 560) § 10: cf. ThCont. (Vit. Bas.) 95 **63–72** ὁ – λογοθέτην: cf. ps.-Sym. 691.8–14

TL [F_2]G[X][m] F_1[E]PH

---

50 τετύχηκεν : πέτηχεν (οὗ καὶ ἔτυχεν : οὐκεπέτηχεν) F_2 : ἔτυχεν F_1 P H **51** post Τηβρικῇ (τῇ ἀφρικῇ F_2 G X) add. ὃς P H νίκη T ποιήσας μεγίστην P ἐκπορθεῖ (-ῆι G) : ἐπόρθ F_2 **52–53** ᾠκοδόμησεν : οἰκοδομήσας F_2 G **53** ἐμπορίον T Σάτωρος (σατορος F_2) : σατύρου L X m P H : σατήρου F_1 **54** ἀνδρείαν (sic m) : ἄνδρειον (-ιον F_2) F_2 G : ἀνδρῷαν F_1 P H **55** σῶμα : λείψανον L τοῦ αὐτοῦ πατριάρχου : αὐτοῦ F_2 G F_1 : τοῦ πατριάρχου P H **55–63** Θέκλας – ἐκκλησίᾳ om. L (§ 8–9 om. X) **56** τοῦ βασιλέως : αὐτοῦ βασιλέως H : om. F_2 G : an scrib. τοῦ βασιλέως ⟨Μιχαήλ⟩ vel τοῦ ⟨πρώην⟩ βασιλέως vel sim.? (vide introd. III.3.1.1) δι᾽ : διὰ F_1 **57** Μέτριον ὄντα (ὄντα τον T) αὐτῆς (αὐτῆς τον m) ἄνθρωπον : ἄνθρωπον αὐτῆς γελωτοποιὸν ὄντα F_1 (cf. ind. nom. propr. s.v. Μέτριος) ὅτι τίς (τῆς T) : εἰπὲ τίς P H **58** ὅτι om. P H Νεατοκομήτης : νεατωκωμήτης T : νεακομί^{τ} F_2 : νεατοκομίτης G : νεατοκωμί^{τ} F_1 **58–59** ὁ βασιλεὺς ἀποστείλας : ὁ βασιλεὺς F_2 G : ἀποστείλας ὁ βασιλεὺς P H **59** τὸ om. F_1 μοναδικὸν F_2 F_1 **60** δὲ om. F_1 **61** τὴν om. F_1 P H ὃς om. F_2 G **61–62** ἄρας – αὐτῆς : ταχρήματα αὐτῆς πάντα ἄρας F_1 **62** Νεατοκομήτην : νεατοκωμήτην T : νεακωμί^{τ} F_2 F_1 : νεατοκομίτην G : νεατοκωμίτην P **63** οἰκονόμων F_1 H **64** τῷ : το F_1 **64–65** ὑπῆρχον ὑπὸ τὴν χεῖρα αὐτοῦ L **65** post ὑπῆρχον add. fort. τῶν P post ἀναδεξαμένων add. μὲν P H αὐτοὺς : αὐτῶν X F_1 ἀξίοις F_1 **65–66** φιλοφρονησαμένου : φιλοφρονησαμένους T : φιλοφρονησάμενος G F_1 : φιλοτιμησαμένου P **66** τοὺς – ἀντιλήψεις om. F_2 G τοὺς – βασιλέως : τοῦ βασιλέως τοὺς ἑβραίους X : τοῦ βασιλέως πάντας τοὺς ἑβραίους m : τοὺς ἑβραίους ὁ βασιλεὺς F_1 : δὲ τὰ μέγιστα τούτους (hic aliquid non legibile add. P) τοῦ βασιλέως P H : non adhib. F_2 G

πολλὰ παρασχόντος αὐτοῖς. **11** τὸν δὲ προειρημένον Νικόλαον, τὸν Ἀνδροσαλίτην, τὸν καὶ προσμονάριον τοῦ ἁγίου Διομήδους, ᾧτινι ὁ μάρτυς ἐπεφάνη, ὡς προείρηται, περὶ τοῦ βασιλέως, ἐτίμησεν αὐτὸν οἰκονόμον καὶ σύγκελλον, τὸν δὲ ἕτερον αὐτοῦ ἀδελφὸν Ἰωάννην δρουγγάριον τῆς βίγλης, τὸν δὲ ἕτερον ἀδελφὸν αὐτοῦ Παῦλον τοῦ σακελλίου, τὸν δὲ ἕτερον Κωνσταντῖνον γενικὸν λογοθέτην. τελευτήσαντος δὲ Νικολάου τοῦ συγκέλλου θάπτουσιν αὐτὸν εἰς Ἀρκαδιανὰς εἰς τὸν ἑαυτοῦ οἶκον, ἔνθα ἐστὶν νῦν τοῦ ἁγίου Κωνσταντίνου τὸ μετόχιον. **12** ἤρξατο δὲ ὁ βασιλεὺς ἐκχοΐζειν πλησίον τοῦ παλατίου πρὸς τὸ κτίσαι τὴν Νέαν ἐκκλησίαν οἰκήματα πάμπολλα ἐξωνησάμενος. ἐμηνύθη δὲ τῷ βασιλεῖ, ὡς ἡ Συράκουσα παρὰ τῶν Ἀγαρηνῶν ἐκπορθεῖται. ἀσχολουμένων δὲ τῶν πλοΐμων ἐν τοῖς κτίσμασι καὶ ἐκχοϊσμοῖς τῆς Νέας ἐκκλησίας ἐγένετο βραδύτης τοῦ στόλου καὶ τοῦ λαοῦ, καὶ παρεδόθη ἡ αὐτὴ Συράκουσα πρὸ ὀλίγου πρὶν ἢ φθάσαι τὸν στόλον, τοῦ βασιλέως πολλὰ ἐν τούτῳ θρηνήσαντος καὶ ἀποδυραμένου. **13** Νικήτα δὲ τοῦ ἐπὶ τῆς τραπέζης, τοῦ Ξυλινίτου, κατηγορηθέντος ὡς φιλουμένου παρὰ τῆς αὐγούστης τοῦτον ὁ βασιλεὺς ἀποκείρας μοναχὸν ἐποίησεν (ὃς ἐπὶ Λέοντος βασιλέως γέγονεν οἰκονόμος ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ καὶ τελευτήσας τίθεται ἐν τῇ μονῇ, ἣν αὐτὸς κατεσκεύασε). καὶ ἀπέκειρε τὰς

---

§ 12: fort. ab autumno a. 877 **79–80** Syracusae expugnatae sunt 20./21.5.878

---

§ 12: cf. ps.-Sym. 691.15–16; ThCont. (Vit. Bas.) 68.15–69.31; 76.1–11; Genes. IV.41; 33
81–83 Νικήτα – ἐποίησεν: cf. ps.-Sym. 691.17–19

TL [F_2]G[X][m] F_1[E]PH

---

67 πολλὰ om. F_2 G παρασχῶν F_1 αὐτοὺς G δὲ erasit et s.l. exhib. καὶ P **68** ᾧτινι : ὧι τι (ὧι τινι L[ac]) ut vid. L **69** περὶ τοῦ βασιλέως om. F_2 G αὐτὸν om. L **70** ἀδελφὸν αὐτοῦ ἰωάννην P ἀδελφὸν Ἰωάννην : ἰωάννην F_2 : ἰωάννην ἀδελφὸν G **70–71** Ἰωάννην – αὐτοῦ om. F_1 **71** βίγλας G : non adhib. F_2 αὐτοῦ (αυ[τ] F_2) : αὐτὸν T G : αὐτοῦ τὸν L : αὐτοῦ/αὐτῶν m : αὐτῶν P, fort. recte (sic etiam Bekker Tafel) : non adhib. X F_1 Παῦλον τοῦ σακελλίου : τὸν παῦλον ἐποίησε σακελλάριον F_1 **72** ἕτερον Κωνσταντῖνον : τέταρτον (δ̄ G) F_2 G post ἕτερον (ἕταιρον T) add. τὸν καὶ T L γενικὸν : λογικὸν F_1 **72–74** τελευτήσαντος – μετόχιον om. L X **74** ἐστὶν νῦν : νῦν ἐστὶν P H : ἐστὶν F_2 G τὸ μετόχιον ante τοῦ exhib. F_2 G **74–76** ἤρξατο – ἐξωνησάμενος om. F_2 G **75** ἐκχοΐζειν : ἐκχωρίζειν F_1 **76** πολλὰ ἐξωνησάμενοι F_1 **77** ὡς ἡ (ἡ om. X) Συράκουσα : ὡσυράκουσα F_1 **78** ἐκχοϊσμοῖς : ἐγκλήμασι F_2 : ἐκχοΐμασι G : ἐκχοϊζῶντων X : ἐκχοΐσμασι m **78–79** ἐγένετο (ἐγένετο δὲ F_1) – καὶ alt. om. F_2 G (Νέας ἐκκλησίας : νεανίας F_2) **79** καὶ τοῦ λαοῦ om. X **80** πρὸ ὀλίγου om. F_2 G **80–81** ἐν τούτῳ πολλὰ P H **81** καὶ ἀποδυραμένου (-ομένου X : -ωμένου F_1) om. F_2 G **81–86** Νικήτα (νικήτας F_1) – ἀδελφάς om. L **81** post δὲ add. καὶ F_1 post τοῦ add. καὶ T P **81–82** τοῦ … τοῦ Ξυλινίτου, κατηγορηθέντος … φιλουμένου (φιλομένω X : φιλομένου H) : ὁ … ὁ ξυλινίτης· κατηγωρηθὴς … φιλούμενος F_1 **81** τῆς om. F_1 **82–83** τοῖς αὐγού[στ] F_1 **84** post Λέοντος add. τοῦ X H

αὐτοῦ ἀδελφάς. **14** πολλὰ δὲ χαλκουργήματα κατέαξεν ὁ βασιλεὺς λόγῳ τῆς Νέας ἐκκλησίας, ἀλλὰ καὶ μάρμαρα καὶ ψηφῖδας καὶ κίονας ἐκ πολλῶν ἐκκλησιῶν καὶ οἴκων ἀνέλαβεν εἰς κατασκευὴν αὐτῆς. ἐν οἷς στήλη ἵστατο χαλκῆ ἐν τῷ σενάτῳ, σχῆμα ἐπισκόπου φέρουσα. ἐκράτει δὲ ἡ αὐτὴ στήλη ἐν τῇ χειρὶ ῥάβδον ἔχουσαν ὄφιν ἐντετυλιγμένον. ταύτην καταγαγόντες ἀπέθηκαν ἐν τῷ βεστιαρίῳ. κατελθόντος δὲ τοῦ βασιλέως καὶ ἀπελθόντος, ἔνθα ἵστατο ἡ στήλη ὀρθή, ἐνέβαλε τὸν δάκτυλον αὐτοῦ ἐπὶ τὸ στόμα τοῦ ὄφεως. ὢν δὲ ἐκεῖ ζῶν ὄφις ἔδακε τοῦ βασιλέως τὸν δάκτυλον· ὃς μόλις δι᾽ ἀντιφαρμάκων ἰάθη, θαυμασάντων πάντων ἐπὶ τούτῳ. ἀλλὰ καὶ τὴν στήλην Σολομῶντος ἐν τῇ βασιλικῇ οὔσῃ μεγίστῃ κατεάξας προσέταξεν ἐπ᾽ ὀνόματι αὐτοῦ ἐκτυπωθῆναι καὶ τεθῆναι κάτωθεν ἐν τοῖς θεμελίοις τῆς αὐτῆς Νέας, ὥστε θυσίαν ἑαυτὸν τότε τῷ τοιούτῳ κτίσματι καὶ Θεῷ προσάγων. **15** ἐπεστράτευσε δὲ πάλιν ὁ βασιλεὺς κατὰ Μελιτηνῆς καὶ αἰχμαλωσίαν πολλὴν ποιησάμενος καὶ πολλοὺς πολέμους ὑπέστρεψεν. **16** τελευτᾷ δὲ ὁ ἐν ἁγίοις Ἰγνάτιος ὁ πατριάρχης, καὶ ἀντ᾽ αὐτοῦ πάλιν ἀναβιβάζει Φώτιον πατριάρχην τὸ δεύτερον αὐτοῦ ὁ βασιλεύς. μετὰ δὲ ταῦτα ἐν ἐξορίᾳ

---

§ 15: a. 879 (Jenkins 1965, p. 100) vel fort. a. 873 (Ostrogorsky 1957, p. 237) § 16: Ignatius patriarcha obiit 23.10.877, et Photius iterum patriarcha factus est: de facto 23.10.877, approbatione papae Romae mense Aug. a. 879, approbatione synodi mense Nov. 879 (sic Jenkins 1965, p. 97; 101) **102–03** Photius patriarca obiit post a. 893

---

§ 14: cf. ps.-Sym. 691.19–692.7; ThCont. (Vit. Bas.) 76.1–11; Genes. IV.41 § 15: cf. ps.-Sym. 692.8–10; ThCont. (Vit. Bas.) 40; Genes. IV.34; Vit. Ignat. 557B **100–02** τελευτᾷ – πατριάρχην: cf. ps.-Sym. 691.11–12; ThCont. (Vit. Bas.) 44

TL [F_2]G[X][m] F_1[E]PH

---

86 ἑαυτοῦ F_1 P δὲ : γὰρ H χαλκουργήματα κατέαξεν om. F_2 G **86–87** ὁ – ἐκκλησίας post ἀνέλαβεν (**l. 88**) transp. F_2 G **87** ἀλλὰ καὶ om. F_2 G **87–88** καὶ κίονας (καὶ κίονας om. G) – καὶ οἴκων (καὶ οἴκων om. G) om. F_2 **88** εἰς (εἰς τὴν L) κατασκευὴν αὐτῆς om. F_2 G **88–89** ἐν οἷς (οἷς : ᾗ X F_2) στήλη ἵστατο : ἐνοις ἵστατο στήλη F_1 : στήλη δὲ ἵστατο P H **89** ἐν τῷ σενάτῳ (σεννάτω T G : σερνάτον ut vid. F_2 : σινάτῳ P) : ἐντὸς ἐνάτου F_1 φέρουσαν vel φέρουσα L **90** ἐν τῇ χειρὶ om. H ἔχουσαν (ἔχουσα F_2 G m : ἔχουσαν bis exhib. H : ὡς X) post ἐντετυλιγμένον transp. L **91** ἀπέθηκαν : ἔθηκαν F_2 G : ἐπέθηκαν X : ἀπέθηκεν m : επέθηκεν F_1 **92** ἐνέβαλε : ἀνέβαλεν L : ἔβαλλε X : ἀνέβαλλε H **92–93** τὸν δάκτυλον αὐτοῦ (αὐτοῦ τὸν δάκτυλον L) ἐπὶ τὸ στόμα : τὸ στόμα αὐτοῦ (στόμα αὐτοῦ H^{ac}) δάκτυλον αὐτοῦ ἐν τῷ στόματι H **93** ὢν : ὃν F_1 post ζῶν add. ὁ F_1 H **95** τούτῳ (τού^{τ} F_1) : τοῦτο T L X m **96** οὔσῃ (οὗς ἡ T : οὖση αὐλῆ F_2) μεγίστῃ (sic F_2) : οὖσαν μεγίστην m F_1 P H, fort. recte : οὖση μεγίστην X (vide introd. III.2.7, p. 82*) προσέταξεν : καὶ X : om. H **97** post Νέας add. ἐκκλησίας F_1 ὥστε (sic F_2 X m) : ὡς ἅτε L : ὡς F_1 : ὥσπερ P H : fort. scrib. ὥς τε (vide introd. III.2.7, p. 82*) ἑαυτὸν : αὐτῶν F_1 **98** τότε om. F_2 G X m H τῷ (post τῷ add. τε L) τοιούτῳ κτίσματι : τὸ τοιοῦτον κτίσματι (τοιού^{τ} κτίσ^{μτ} F_2) F_2 G **100** post δὲ add. καὶ F_1 **101** ὁ om. F_1 ἀντ᾽ αὐτοῦ πάλιν om. H **101–02** ἀναβιβάζεται φώτιος ὁ πατριάρχης H **101** post Φώτιον add. τὸν F_2 X F_1 **102** τὸ – βασιλεύς om. F_2 G ἐν om. F_2 F_1

τελευτήσαντος Φωτίου πατριάρχου ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ μονῇ τῇ λεγομένῃ τὰ Ἐρημίας ἐν τῷ Μερδοσάγαρι, οὔσης πρότερον καθολικῆς ἐκκλησίας. αὐτὸς δὲ Φώτιος ἐποίησεν αὐτὴν μονὴν γυναικείαν. **17** πάλιν δὲ ἐκστρατεύει ὁ βασιλεὺς κατὰ Συρίας εἰς Γερμανίκειαν καὶ ταύτην ἐκπορθήσας καὶ αἰχμαλωτίσας ὑπέστρεψεν. **18** τελευτᾷ δὲ Κωνσταντῖνος, υἱὸς Μιχαὴλ βασιλέως ἐξ Εὐδοκίας, ὡς δὲ λόγος, υἱὸς Βασιλείου, ὃν πολλὰ ἐθρήνησε Βασίλειος πολλὰ στέργων αὐτόν, καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τοῖς τάφοις τῶν βασιλέων. **19** Μαΐῳ δὲ πρώτῃ ἐγκαινίζεται καὶ ἐνθρονίζεται ἡ ἐκκλησία, ἣν ἔκτισεν ὁ βασιλεὺς καὶ ἐκαλλώπισε κόσμῳ πολλῷ, παρὰ Φωτίου πατριάρχου, τοῦ βασιλέως ἐν τῷ αὐτῆς ἐγκαινισμῷ λῶρον φορέσαντος καὶ χρήματα πολλὰ δόντος καὶ Νέαν αὐτὴν ἐπονομάσαντος. **20** ἀπεστάλη δὲ παρὰ τοῦ βασιλέως Προκόπιος πρωτοβεστιάριος μετὰ πάντων τῶν δυτικῶν θεμάτων ὄντος Εὐπραξίου στρατηλάτου εἰς Σικελίαν, καὶ εἰς Κεφαλληνίαν τοῦ Μουσιλίκη, εἰς δὲ τὸ Δυρράχιον τοῦ Ῥαβδούχου, καὶ ἐν τῇ Πελοποννήσῳ τοῦ Οἰνιάτου καὶ τοῦ Ἀποστούπη. ὅστις Προκόπιος πολλὰς πράξεις κατεργασάμενος καὶ ἀνδραγαθίας ἐσχάτως πολέμου γεγονότος καὶ προδοθέν-

---

§ 17: a. 879 **107–08** Constantinus obiit 3.9.879 **110** 1.5.880 § 20: a. 882 (Jenkins 1965, p. 97) vel 880 (Ševčenko, ed. ThCont. (Vit. Bas.))

---

§ 17: cf. ps.-Sym. 692.13–14; ThCont. (Vit. Bas.) 48–49 § 18: cf. ps.-Sym. 692.14–17; ThCont. (Vit. Bas.) 98 § 19: cf. ps.-Sym. 692.18–19; ThCont. (Vit. Bas.) 83–86 § 20: cf. ThCont. (Vit. Bas.) 65.3–66.13; Genes. IV.32

TL [F_2]G[X][m] F_1[E]PH a § 19 TL [F_2]G[m] F_1[E]PH

---

103 Φωτίου πατριάρχου om. F_1 ἐν τῇ μονῇ om. F_1 **104–05** τῇ (τῇ om. T) λεγομένῃ – ἐκκλησίας : ἣν ἐρμίας μὲν καθολικὴν ἐκκλησίαν κατεσκεύασεν L **104** τὰ om. F_2 G X F_1 ἐν τῷ Μερδοσάγαρι (μερδωσάγαρι T : βαρ^{δ}σάγαροι F_2) om. F_1 **104–05** οὔσης – ἐκκλησίας : εἴτης το πρότερον ἐκκλησία μὲν ἦν καθοληκῆ F_1 **105** αὐτὸς δὲ : αὐτὸς δὲ ὁ F_2 F_1 : ὁ αὐτὸς δὲ P H K αὐτὴν om. F_1 H post γυναικείαν add. ἥτις τὰ ἐρημίας νῦν λέγεται L **106** ἐκστρατεύσας F_2 H Γερμανίκειαν : γερμάνικον X : τερβανικείαν F_1 (-ίαν F_2) καὶ bis exhib. P **108** post Κωνσταντῖνος add. ὁ F_2 X m F_1 (non vid. G) Μιχαὴλ om. F_1 βασιλέως : βασιλεύσας ut vid. P Εὐδοκίας : εὐδοξίας G P^{ac} **108–09** ὡς – Βασιλείου om. F_2 G X **108** υἱοῦ (alt.) F_1 **109** post Βασίλειος add. ὡς F_1 **109–10** πολλὰ alt. – βασιλέων om. F_2 G **111** ἐγκαινίζεται καὶ ἐνθρονίζεται : ἐνθρονίζεται καὶ ἐγκαινίζεται G : ἐγκαινίζεται F_1 H ὁ βασιλεὺς (βασι^{λ} F_2) : ὁ βασίλειος P H : om. F_1 **111–12** καὶ alt. – πολλῷ om. L **112** τοῦ βασιλέως post φορέσαντος (**l. 113**) transp. F_1 **113** ταύτης H καινισμῷ F_2 G **114** αὐτὴν ἐπονομάσαντος : ἐπωνομάσαντος ταύτην L παρὰ τοῦ βασιλέως om. P H **116** στρατηγοῦ P H ἐν σικελία T L **116–17** καὶ – Μουσιλίκη (μοσιλίκη T : μωσιλίκη G : μουσουλήκη F_2 : μουσουλά^{κ} F_1 : μωσηλίκου P) om. H **116** καὶ εἰς Κεφαλληνίαν (κεφαλανίαν F_1) om. F_2 G **117** Δυρράχιον : δωράχιον T : δουράχιον G : διράχιον H ῥαβδόχου L **118** ἡνιάτου καὶ τοῦ ἀποστί^{π} ut vid. F_1 (ἀποστίπου E) (ἀποστύπου in mg. F_1^2) **119** ἀνδραγαθίας : ἀνδρείας L πολέμω H **119–20** καὶ προδοθέντων (προδοθέντος L) πάντων om. H

των πάντων ὑπὸ τοῦ Ἀποστούπη ἐσφάγη. **21** Λέων δὲ ὁ Σαλιβαρᾶς συνοψίζει Φωτίῳ πατριάρχῃ Θεόδωρον μοναχόν, ἀρχιεπίσκοπον Εὐχαΐτων, ὡς εὐλαβῆ καὶ ποιοῦντα τεράστια καὶ προορατικόν. Φώτιος δὲ τοῦτον Βασιλείῳ βασιλεῖ μεσιτεύει καὶ συνοψίζει· εἰς ὃν ὁ βασιλεὺς ἀρεσθεὶς (πρὸς γὰρ τὰς ἐπιθυμίας αὐτοῦ διέκειτο) εἶχεν ἐν τιμῇ πολλῇ. ὃς ἀθυμοῦντα τὸν βασιλέα περὶ τοῦ τελευτήσαντος υἱοῦ αὐτοῦ Κωνσταντίνου διὰ τὸ φίλτρον, ὅπερ εἰς αὐτὸν εἶχεν, ἐπλάνα καὶ ἐπηγγέλλετο δεῖξαι ζῶντα, ὃ καὶ ἐποίησεν· ἐν γὰρ λόχμῃ τινὶ διερχομένῳ τῷ βασιλεῖ φάντασμα συνήντησε ἔφιππον, χρυσοΰφαντον ἐνδεδυμένον, ἐν εἴδει τοῦ Κωνσταντίνου· ὃ καὶ ὀφθαλμοῖς εἶδεν καὶ περιπλακεὶς κατεφίλησεν καὶ γεγονότος ἀφανοῦς αὐτὸν ἰδεῖν ὑπελάμβανε, καὶ ὡς οὐ πεπλάνηται. διὸ καὶ μονὴν ἐκεῖσε κτίσας ἐπωνόμασεν αὐτὴν τοῦ ἁγίου Κωνσταντίνου. τούτοις καὶ ἑτέροις πλείστοις ὡς ἐκ τῶν Ἀπολλωνίου ἀκριβῶς μεμυημένος ὁ λεγόμενος Σανταβαρηνὸς ἐποίησε τὸν βασιλέα πίστιν πολλὴν κεκτῆσθαι πρὸς αὐτόν. **22** ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς Λέοντι τῷ βασιλεῖ θυγατέρα Μαρτινακίου, ἣν καὶ ἔστεψε, ποιήσας τοὺς γάμους ἐν τῇ Μαναύρᾳ καὶ ἐν τοῖς δεκαεννέα Ἀκουβίτοις. **23** κατηγορήθη δὲ

---

§ 21: ca. a. 880 **131** fort. a. 882 § 22: fort. mense Sept. a. 882 (Jenkins 1965, p. 101) § 23–24: a. 883 vel 883–886

---

§ 21: cf. ps.-Sym. 692.20–693.14; Vit. Theoph. 7.11–18; Vit. Ignat. 568C–D **125–31** ὃς – Κωνσταντίνου: cf. Vit. Ignat. 573A–B § 22: cf. ps.-Sym. 694.14–16; Vit. Theoph. 6.25–7.10 § 23–24: cf. ps.-Sym. 697.2–698.4; ThCont. (Vit. Bas.) 100–101; Vit. Theoph. 7.18–11.5; 11.6–13.3; 13.4–14.2; Vit. Constant. Hebr. 648C–F

TL [F_2]G[m] F_1[E]PH a § 21 TL [F_2]G[X][m] F_1[E]PH

---

120 Ἀποστούπη : ἀστή$^{\pi}$ F_1 Λέων δὲ : λέων F_2 X : δὲ λέων F_1 **121** Θεόδωρον μοναχόν (μοναχῶν T) om. H ἀρχιεπίσκοπον : ἐπισκοπῶν H **122** ὡς om. F_2 G post καὶ alt. add. το F_1 **123** Βασιλείῳ βασιλεῖ (post βασιλεῖ add. καὶ F_1) : βασιλείω L : τὸν βασιλέα F_2 : τῷ βασιλεῖ m H (sim. exhib. X) : βασιλείῳ τῷ βασιλεῖ F_1 P μεσιτεύει καὶ συνοψίζει : συνοψίζει καὶ μεσιτεύει L : συνοψίζει H εἰς : εἰ G **124** ἀρεσθεὶς : ἀρθείς L διέκειτο : διέκειτο καὶ L : διέθητο· καὶ X post εἶχεν add. αὐτὸν F_1 **125** ὃς : ὡς T F_2 post αὐτοῦ add. τοῦ T F_1 **126** ἐπηγγέλλετο : επαγγείλετο F_2 : επηγγείλετο F_1 **127** δεῖξαι : αὐτῷ δεῖξαι X : δείξαι αὐτῷ (αὐτῷ non certe vid. P) P : δείξαι αὐτὸν H λόγχμη F_1 διερχομένῳ τῷ βασιλεῖ : διερχομένου τοῦ βασιλέως X F_1 post βασιλεῖ add. βασιλέως H **128** post χρυσοΰφαντον : add. ἱμάτιον F_1 : add. στολὴν P H τοῦ : τῷ T G P, fort. recte : om. H **129** ὃ καὶ : καὶ ἐν F_1 εἶδεν : οἶδεν G H **130** ὡς : ὃς F_2 F_1 : om. L **131** ἐκεῖσε κτίσας : κτίσας L : ἐκεῖ ποιήσας X : κτίσας ἐκεῖσε F_1 P : κτήσας ἐκεῖθεν H post Κωνσταντίνου add. ἐν F_1 **132–33** μεμυημένος (L? (-ος certe vid. L)) : μεμνημένων F_2 : μεμνημένος X H : μεμυημένων G **133** post Σανταβαρηνὸς add. ἀρχιεπίσκοπος εὐχαίτων F_1 **133–34** πολλὴν om. P H **134** ὁ βασιλεὺς γυναῖκα P H **135** post βασιλεῖ add. καὶ υἱῶ αυ$^{\tau}$· θεοφανῶ F_1 θυγατέραν H μαρτιναγίου F_2 G X (sic fort. X) **136** μαγναύρᾳ F_1 P H Ἀκουβίτοις (post Ἀκουβίτοις add. θεοφανὼ πρώτη γυνὴ λέοντος βασιλέως θυγάτηρ μαρτινικίου P) : κουβίτοις T H κατηγορηθεὶς P H

Λέων ὁ βασιλεὺς παρὰ Σανταβαρηνοῦ εἰς τὸν πατέρα αὐτοῦ, ὡς ὅτι μαχαίριον ἐπιφέρεται βουλόμενος ἀνελεῖν σε μετ᾿ αὐτοῦ· ὅπερ αὐτὸς μαχαίριον διὰ δολίας συμβουλῆς ἐποίησε Λέοντα κατασκευάσαι καὶ φορεῖν ἐν τῷ τουβίῳ, εἰπὼν αὐτῷ, ὅτι πολλάκις τοῦ πατρός σου ἐπιζητοῦντος μαχαίριον διὰ χρείαν τινά, ἵνα τί μὴ ἐπιδίδως αὐτῷ; καὶ τοῦτο κατασκευάσας Λέων ὁ βασιλεὺς καὶ διαβληθεὶς παρὰ τοῦ Σανταβαρηνοῦ καὶ φωραθεὶς ἐν τῷ τουβίῳ τοῦτο βαστάζων πολλὰ περὶ τούτου ἀπολογούμενος οὐκ ἠκούετο. ἐτύφθησαν οὖν Νικήτας ὁ Ἑλλαδικὸς ὁ πρωτοβεστιάριος αὐτοῦ, ὃς γέγονε παπίας ἐπὶ Ῥωμανοῦ βασιλέως, καὶ ἄλλοι μετ᾿ αὐτοῦ πολλὰ δεινὰ πεπονθότες ἐξωρίσθησαν. **24** ὁ δὲ βασιλεὺς Λέοντα καθείρξας ἐν τῷ τρικλίνῳ τῷ Μαργαρίτῃ ἐβούλετο ἐκτυφλῶσαι αὐτόν, εἰ μὴ Φώτιος ὁ πατριάρχης διὰ πολλῶν παρακλήσεων τοῦτο διεσκέδασεν ἅμα Ζαούτζᾳ Στυλιανῷ, μικρῷ ἑταιρειάρχῃ τότε ὄντι. ἐποίησε δὲ ἀπὸ ὄψεως μῆνας τρεῖς θρηνῶν καὶ ὀδυρόμενος καὶ δι᾿ ἐπιστολῶν πολλὰ δυσωπῶν τὸν βασιλέα. μεγάλην δὲ πίστιν τοῦ βασιλέως ἔχοντος εἰς τὸν ἅγιον Ἡλίαν ἀποσυνοψίζει Λέων ὁ βασιλεὺς ἐν τῇ τοῦ ἁγίου Ἡλιοῦ μνήμῃ. τῆς δὲ προελεύσεως γενομένης ἰδόντες αὐτὸν οἱ

153–56 τῆς – διελθεῖν: cf. ps.-Sym. 699.4–8

TL [F_2]G[X][m] F_1[E]PH

---

137 post παρὰ add. του F_1 post τὸν add. ἴδιον H **137–38** μαχαίριον : μάχαιραν P : μαχαίρι H **138–39** ἐπιφέρεται – μαχαίριον om. F_1 **138** ἀνελεῖν σε μετ᾿ αὐτοῦ (μετ᾿ αὐτοῦ om. F_2) : μεταυτοῦ ἀνελεῖν σε L : σε ἀνελεῖν H **138–39** μαχαίριον αὐτὸς L **139** ἐποίησε – καὶ : δέδωκέ τε καὶ πέπεικε L φορῶν H **140** τουβίῳ : τοῦβίου T : τοῦβίωι αὐτοῦ L : τοῦβίω αυ^{τ} F_2 εἰπὼν : εἰπόντος L τοῦ πατρός σου : ἐν κυνηγίωι ἐξερχομένου σου μετὰ τοῦ βασιλέως καὶ αὐτοῦ L post ἐπιζητοῦντος add. τὸ L **141** ἵνα : διὰ L ἐπιδίδως : ἐπιδῶς F_2 : ἐπιδῴσης X post αὐτῷ ((αυ^{τ} F_2 F_1) αὐτό G) add. ἄλλως τε δὲ καὶ εἰς περίστασιν ἐμπεσόντος σου ἄρκτον βουλόμενος ελεῖν ἢ καὶ χοίρον ἄγριον, κρεῖττόν ἐστι τοῦτο ὑπερ ὅλα τὰ ξίφη ἅτινα εἰς πλησιασμὸν θηρίου, ὀφελῆσαι ο … μυανται (? (δύνανται?)) L **141–42** καὶ – Σανταβαρηνοῦ : τούτω πεισθεὶς καὶ παρ᾿ αὐτοῦ διαβληθεὶς L **142** καὶ pr. om. F_2 G τοῦ om. P H post Σανταβαρηνοῦ add. ὡσείρηται F_1 **143** τουβίῳ : τοῦβίου T τοῦτο : αὐτοῦ L : τού^{τ} F_2 F_1 : τοῦτω X H post βαστάζων add. τὴν μάχαιραν L τούτου : ταύτης L **143–44** ἀπολογούμενος (G per comp.) : ἀπολογουμένους fort. F_2 : ἀπολογουμένου λέωντος X **144** Νικήτας om. F_1 ὁ Ἑλλαδικὸς om. F_2 G ὁ alt. : καὶ L : om. X **145–50** Ῥωμανοῦ – θρηνῶν : hic aliter L (vide introd. III.3.1.1) **145** ἄλλοι : άλλων F_2 : ἅλλη οἱ F_1 **146** πολλὰ δεινὰ : καὶ δεινα πολλὰ F_1 **147** Λέοντα : τὸν λέον F_1 καθείρξας (sic m) : καθείρξεν F_2 P H : καθήσας X : non adhib. L τῷ τρικλίνῳ τῷ Μαργαρίτῃ (τῷ Μαργαρίτῃ : τὸν μαργαριτῶν F_2 : τὸν μαργαρίτην G) : τρικλῆνω μαργαρίτην X post Μαργαρίτῃ add. καὶ P H ἐκτυφλοῦσαι T **148** ὁ πατριάρχης φώτιος F_1 ὁ om. T **149** τζαούτζα X F_2 στηλιανῶ τζαούτζα F_1 μικρῷ – τότε ὄντι (τότε ὄντι om. F_2 G) : μικρῶ· το τότε ἑτεριάρχη ὄντι F_1 : μικροῦ ἑτερϊάρχου τότε ὑπάρχοντος X **150** post δὲ add. ὁ βασιλεὺς λέων ὁ υἱὸς τοῦ βασιλέως F_1 post ὄψεως add. τοῦ πατρὸς αὐτοῦ F_1 μῆνας : χρόνους F_1 (vide introd. III.3.1.1) **151** πολλῶν F_1 P H **151–52** ἔχοντος τοῦ βασιλέως F_2 X F_1 **152** post ἅγιον add. προφήτην L εἰλίαν ut vid. T ὑποσυνοψείζει H **153** αὐτὸν om. X F_1

λαοὶ ἐπεφώνησαν τό· δόξα σοι, ὁ Θεός. ὁ δὲ βασιλεὺς ἀντιστραφεὶς ἀπελογήσατο αὐτοῖς· δοξάζετε περὶ τοῦ υἱοῦ μου τὸν Θεόν; πολλὰς θλίψεις ὑπ᾽ αὐτοῦ ἔχετε ὑπομεῖναι καὶ ἐπωδύνους ἡμέρας διελθεῖν. **25** κατηγορήθη δὲ Ἀνδρέας δομέστικος τῶν σχολῶν παρὰ Σανταβαρηνοῦ πρὸς τὸν βασιλέα ὡς τὰ Λέοντος φρονῶν· καὶ διεδέχθη παρὰ τοῦ βασιλέως. ἀντ᾽ αὐτοῦ δὲ προεβλήθη δομέστικος ὁ Στουπιώτης καὶ ἀπελθὼν μετὰ λαοῦ ἐν Ταρσῷ ἡττήθη καὶ πάντας ἀπώλεσε· καὶ πάλιν προχειρίζεται Ἀνδρέας παρὰ τοῦ βασιλέως δομέστικος. **26** ἐγένετο δὲ συσκευὴ κατὰ τοῦ βασιλέως παρὰ Ἰωάννου τοῦ Κροκόα, δομεστίκου ὄντος τῶν ἱκανάτων, χρηματισθέντος παρὰ τοῦ ὄντος ἐν Βλαχέρναις ἐγκλείστου. εὑρέθησαν δὲ μετ᾽ αὐτοῦ πολλοὶ τῶν συγκλητικῶν καὶ λοιπῶν ἀρχόντων μέχρι τῶν ἑξήκοντα ἕξ. ἦν γὰρ Μιχαὴλ ὁ ἑταιρειάρχης καὶ ὁ Κατουδάρης καὶ ὁ Μυξάρης καὶ ὁ Βαβούτζικος καὶ οἱ λοιποί. τῆς γοῦν τοιαύτης ἐπιβουλῆς μηνυθείσης τῷ βασιλεῖ παρὰ τοῦ πρωτοβεστιαρίου τοῦ Κροκόα κρατηθέντων τε πάντων ἐξελθὼν ὁ βασιλεὺς ἐν τῷ ἱπποδρόμῳ καὶ καθεσθεὶς ἐκεῖσε καὶ ἀνακρίνας τὰ κατ᾽ αὐτοὺς πάντας τύψας καὶ κουρεύσας τὰς ἔτι περιλειφθείσας τρίχας κατέκαυσε. μετὰ δὲ ταῦτα ἐξῆλθεν ἐν τῇ προελεύσει τοῦ Εὐαγγελισμοῦ, ὅτε καὶ τὴν ἐπιβουλὴν ἔμελλον ποιῆσαι. περιεπάτουν δὲ ὄπισθεν αὐτοῦ γυμνοὶ μέχρι τοῦ φόρου δεδεμένοι, καθὼς διωρίσατο. εἶθ᾽ οὕτως πάντας δημεύσας ἐξώρι-

---

160 pugna ad Chrysobullum ad Tarsum 14.9.883 (Jenkins 1965, p. 97) § 26: fort. a. 886
171 25.3, fort. a. 886

---

§ 25: cf. ThCont. (Vit. Bas.) 50.58–51.32 § 26: cf. ps.-Sym. 699.9–15; ThCont. (Vit. Bas.) 45

TL [F_2]G[X][m] F_1[E]PH

---

154 ἐπεφώνουν H **156** ὑπ᾽ αὐτοῦ ἔχετε ὑπομεῖναι (sic F_2 m) : ὑπ᾽ αὐτοῦ ἔχετε ὑπ᾽ αὐτοῦ ὑπομεῖναι G : ἔρχεται δι᾽ αὐτοῦ ὑπομεῖναι X : ἔχετε ὑπομεῖναι ὑπ᾽ αὐτοῦ P : ἔχεται ὑπομεῖναι δι᾽ αὐτοῦ H διελθεῖν om. F_2 G **156–57** κατηγορηθεὶς X P H **157** δὲ om. F_1 δομεστικὸς H post παρὰ add. του F_2 F_1 **158** ὡς – βασιλέως om. H τὰ : τα τοῦ F_2 F_1 : om. X φρονεῖν F_2 P καὶ om. P **159** δὲ : καὶ P Στουπιώτης (sic F_2) : στουπιότης T L : στυπ(π)ιώτης m : στυππιώτης F_1 P : στυπιῶτης H (ὁ Στυππιώτης : ὡς τυπητῶ X) **159** post μετὰ add. τοῦ L F_2 **160** ἡττήθη om. ut vid. F_1 (quod om. E) καὶ πάντας ἀπώλεσε om. F_2 G **162** Κροκόα (sic m) : κουρκούα F_2 X : κορκόα G P : κούρκου F_1 (κροκόα in mg. F_1^2) : κουρκόα H **163** χρηματισθέντες T παρὰ τοῦ (παρά του? in app. Tafel) – ἐγκλείστου : vide introd. III.3.1.1 **164** μετ᾽ αὐτοῦ πολλοὶ : πολλοὶ F_2 m : πολλοὶ μετ᾽ αὐτοῦ G **164–65** λοιπῶν ἀρχόντων : πολλοὶ ἄρχοντες X P H **165** μέχρι τῶν : μέχρι X : τῶν ἀριθμῶν H ἑξήκοντα ἕξ (ἑξηκονταέξ T) : ξ F_1 γὰρ : δὲ F_1 καὶ om. F_2 G **166** Κατουδάρης (sic ut vid. G) : κατουδιάρης F_2 F_1 τῆς : τοις F_1 γοῦν : γὰρ F_2 G **168** τοῦ om. P H Κροκόα (sic m) : κορκόα F_2 P H : κουρκούα X : κουρ^κ F_1 κρατηθέντων τε : κατελθόντων δὲ F_2 G : καὶ κρατηθέντων F_1 : κρατηθέντων P H **169** ἱπποδρόμῳ : ἱπποδρομίῳ m F_1 H : ἱππικῶ X **170** κουρεύσας : κουρέψας· καὶ F_1 ἔτι om. L **172** post ποιῆσαι add. καὶ F_1 δὲ om. X F_1 ὄπισθεν (non vid. P) : ὄπιθεν T : ἔμπροσθεν F_1 **173** καθὼς bis exhib. H **173–74** ἐξώρισεν : καὶ ἐξορίσας P

σεν. **27** τοῦ δὲ βασιλέως ἐξελθόντος πρὸς τὸ κυνηγῆσαι, ἔλαφός ποθεν ἀναφανεὶς παμμεγέθης, ὡς αὐτὸν ὁ βασιλεὺς κατεδίωκεν, ἐπιστραφεὶς ἦρε τὸν βασιλέα ἐκ τῆς ζώνης ἀπὸ τοῦ ἵππου μετὰ τοῦ κέρατος. φθάσας δέ τις καὶ τὴν σπάθην γυμνώσας καὶ τὴν ζώνην ἐκκόψας τὸν βασιλέα ἐρρύσατο. μετὰ δὲ τὸ ὑποστραφῆναι ἐκέλευσεν τοῦ τὴν ζώνην αὐτοῦ ἀποτεμόντος ἀποτμηθῆναι τὴν κεφαλὴν ὡς γυμνώσαντος τὸ ξίφος κατ᾽ αὐτοῦ, πολλὰ ἀπολογουμένου, ὡς ὑπὲρ σοῦ τοῦτο πεποίηκα· ἀλλ᾽ οὐδὲν ὠφέλησεν. ἐκ δὲ τοῦ σπαραγμοῦ τῆς ἐλάφου νοσηλευθεὶς Βασίλειος τελευτᾷ, καταλιπὼν Λέοντα αὐτοκράτορα καὶ Ἀλέξανδρον.

133 Λέων ὁ υἱὸς Βασιλείου

Λέων, υἱὸς Βασιλείου, ἐβασίλευσεν ἔτη κε', μῆνας η'. Στέφανος δὲ ὁ αὐτοῦ ἀδελφός, κληρικὸς ὢν καὶ σύγκελλος, ἦν μετὰ Φωτίου πατριάρχου ἀνατρεφόμενος παρ᾽ αὐτοῦ καὶ παιδευόμενος. **2** ὁ δὲ αὐτὸς Λέων μετὰ τὸ αὐτοκρατορῆσαι ἀπέστειλεν Ἀνδρέαν στρατηλάτην μετὰ κηρῶν πολ-

---

181–82 29.8.886 **cap. 133.2** Leo VI. regnavit 29(30).8.886–11.5.912

---

§ 27: cf. ps.-Sym. 699.16–22; 700.4–5; ThCont. (Vit. Bas.) 35.5–7; 102.1–9; 102.17–20; Genes. IV.42; Vit. Euth. 3–5.32; 7.3; Vit. Theoph. 14.3–17 cap. 133, § 1: cf. ps.-Sym. 700.6–9; ThCont. (Vit. Bas.) 102.17–20; Vit. Euth. 5.20–23 § 2: cf. ps.-Sym. 700.9–14

TL [F_2]G[X][m] F_1[E]PH

174–75 ἔλαφος – παμμεγέθης (πανμεγέθεις T) : ἐλάφου ποθὲν ἀναφανέντος παμμεγέθους F_2 G m F_1 P H : ἐλάφου ποθὲν ἀναφανήσεις παμμεγεθοὺς X **174** ποθεν : δὲ F_2 : om. F_1 **176** κέρατος : κέρατος· καὶ ἵετο τοῖς κέρασι τοῦτον ἐπιφερόμενος L : κέρατος αὐτοῦ G **177** καὶ alt. om. G κόψας L **178** τὸ : τοῦ F_2 F_1 ὑποστραφῆναι : ἀποστραφῆναι F_2 G : ὑποστρέψαι X αὐτοῦ om. F_2 G X **179** ἀποτεμόντος : τεμόντος L : ἐκτεμόντος H **179–80** ὡς γυμνώσαντος τὸ (τὸ om. T F_2) ξίφος κατ᾽ αὐτοῦ om. L **179–80** κατ᾽ αὐτοῦ (αὐτοῦ καὶ F_2 X) : κατὰ τοῦ βασιλέως F_1 **180** πολλὰ ἀπολογουμένου : πολλὰ δὲ ἀπολογούμενος F_1 : ὁ δὲ πολλὰ ἀπολογούμενος P σοῦ : σε H ἀλλ᾽ : δέσποτα F_1 : om. P **181** ὠφέλησαν G σπαραγμοῦ : σπαράγματος X : πράγματος F_1 τῆς : τοῦ F_1 νοσιλιθευθεὶς L Βασίλειος : ὁ βασιλεὺς F_2 X : ὁ βασιλεὺς βασίλειος F_1 **182** καταλιπὼν : καταλειπὼν F_2 X F_1 : καταλοιπὼν H λέων αὐτοκρά^{τρ} καὶ ἀλέξαν^{δρ} F_1 post Ἀλέξανδρον add. τὸν αὐτοῦ ἀδελφόν L **cap. 133.1** Λέων ὁ (ὁ om. P H) υἱὸς Βασιλείου : ἀρχὴ τῆς βασιλείας λέοντος υἱοῦ βασιλείου F_2 : λέων G : περὶ λέοντος υἱοῦ βασιλείου X : βασιλεία λέοντος τοῦ μακεδόνος F_1 (m: alia mss. alios titulos exhib.) **2** Λέων : έων L : λέων ὁ F_2 X m (δὲ ὁ m) F_1 **2–3** αὐτοῦ ἀδελφός : ἀδελφὸς αὐτοῦ· καὶ X : ἀδελφὸς αὐτοῦ F_1 **4** δὲ : δ᾽ X F_1 **5** στρατηλάτην : στρατηγὸν P H (sic et fort. F_1, sed στρατηλάτην E)

λῶν καὶ κληρικῶν καὶ συγκλητικῶν ἐν Χρυσοπόλει, καὶ ἐξήγαγον Μιχαὴλ ἐκ τοῦ τάφου καὶ ἔβαλον ἐν γλωσσοκόμῳ κυπαρισσίνῳ καὶ ἐπὶ κραββάτου θέντες καὶ σκεπάσαντες βασιλικῶς τε τιμήσαντες μεθ᾽ ὕμνων καὶ τιμῆς πολλῆς ἑπομένων ἐκεῖσε καὶ τῶν ἀδελφῶν αὐτοῦ ἤγαγον εἰς τοὺς ἁγίους Ἀποστόλους καὶ ἀπέθεντο ἐν λάρνακι. **3** μετὰ ταῦτα δὲ ὁ βασιλεὺς ἀπέστειλεν Ἀνδρέαν, δομέστικον τῶν σχολῶν, ἅμα Ἰωάννῃ Ἁγιοπολίτῃ, σοφωτάτῳ καὶ γεγονότι λογοθέτῃ τοῦ δρόμου, καὶ ἐν τῷ ἄμβωνι τῆς ἐκκλησίας ἀνελθόντες καὶ τὰς τοῦ πατριάρχου Φωτίου αἰτίας ἐπαναγνόντες τοῦτον τοῦ θρόνου κατήγαγον καὶ περιώρισαν αὐτὸν ἐν τῇ μονῇ τῶν Ἀρμονιανῶν, τῇ ἐπιλεγομένῃ τοῦ Βόρδωνος. προεβάλετο δὲ ὁ βασιλεὺς Στυλιανὸν Ζαούτζαν μάγιστρον καὶ λογοθέτην τοῦ δρόμου. ἀνήγαγε δὲ Στέφανον σύγκελλον καὶ ἀδελφὸν αὐτοῦ ἐν τῷ πατριαρχείῳ, καὶ πρὸ τῶν Χριστουγέννων χειροτονεῖται πατριάρχης ὑπὸ Θεοφάνους τοῦ πρωτοθρόνου καὶ λοιπῶν ἀρχιερέων, ποιήσας ἐν τῷ πατριαρχείῳ ἔτη ἓξ καὶ μῆνας πέντε· καὶ τελευτήσας θάπτεται ἐν τῇ μονῇ τῶν Συκέων. **4** ἐφ᾽ οὗ Λέοντος προεδόθη τὸ

---

§ 3: abdicatio Photii patriarchae 29./30.9.886 **16** ut vid. autumno a. 886 **17–21** Stephanus patriarcha factus est 18.12.886 (Grumel 1958, p. 436) vel 25.12 (Jenkins 1965, p. 103); obiit 17./18.5.893 § 4: a. 887

10–15 μετὰ – Βόρδωνος (abdicatio Photii patriarchae): cf. ps.-Sym. 700.14–16; Vit. Euth. 11.19–23 **16–17** προεβάλετο – δρόμου: cf. Vit. Euth. 7.4–5 (cf. 5.23–27) **17–21** ἀνήγαγε – Συκέων: cf. ps.-Sym. 700.16–19; ThCont. (Vit. Bas.) 35.7–9; Vit. Bas. iun. 653; Vit. Euth. 43.17–19

TL [F_2]G[X][m] F_1[E]PH

---

6 ἐξήγαγον (sic X m) : ἐξήγαγεν L F_2 G H **7** ἔβαλον (sic m) : ἔβαλλον T F_1 P : ἔβαλλεν G X : ἔβαλεν H **8** καὶ σκεπάσαντες : σκεπάσαντες F_2 G : om. H βασιλικοῖς F_1 post τε τιμήσαντες (καὶ τιμήσαντες F_2 G) add. καὶ ἐντίμως περικαλύψαντες H **9** πολλῆς τιμῆς F_1 post αὐτοῦ add. καὶ H ἤγαγεν L **10** ταῦτα δὲ : δὲ ταῦτα L F_2 m P H **10–11** ὁ βασιλεὺς ἀπέστειλεν : ἀπέστειλεν ὁ βασιλεὺς L : ἀπέστειλεν F_1 **11** σχολῶν : ἀνατολικῶν P post ἅμα add. καὶ L **12** καὶ pr. – δρόμου om. F_1 (quod add. in mg. $F_1{}^2$) **13** post τῆς add. μεγάλης F_1 ἐλθόντες X P H **14** post αἰτίας add. εἰς ἐπήκοον πάντων F_1 P H post ἐπαναγνόντες (ὑπαναγνόντες F_1) add. ὅτι (ὡς ὅτι P H) ἐπίβουλος ἐφωράθη F_1 P H (sim. ps.-Sym. 700.14: ἐπίβουλον φωραθέντα) περιώρισαν : ἀπήγαγον F_2 G **15** Ἀρμονιανῶν : ἀρμενϊατῶν X : ἀρμενιανῶν F_1 : ἀρμενιακῶν H τῇ : τοῦ L Βόρδωνος (sic F_2 X) : βόρδονος m F_1 : κόρδονος L : γόρδωνος P : γόρδονος H : fort. scrib. Γόρδ- **16** προεβάλετο : προεβάλλετο T L F_2 G X F_1 H : -λλ-/-λ- m Ζαούτζαν (sic m) : ἀντ᾽ αὐτοῦ F_2 : τζαοῦτζαν G : τζαούτζαν X : τζαούτζῃ F_1 **16–17** μάγιστρον – δρόμου : καὶ λογοθέτην τοῦ δρόμου ὁμοῦ τε καὶ μάγιστρον H **17** καὶ om. G **18** καὶ om. H post πρὸ add. τῆς ἑορτῆς P H post Χριστουγέννων add. καὶ H **19** τοῦ om. H post καὶ add. τῶν F_1 **20** ποιήσας (ποιήσας δὲ P H) – ἓξ : ἔζησε δὲ πατριαρχῶν ἔτη ἓξ L καὶ pr. om. T F_1 **21** Συκέων : σηκέων T : σημε^{λλ} F_2 : σικέλλων ut vid. G : σικέων m P ἐφ᾽ οὗ Λέοντος : ἐπὶ λέοντος F_2 G : ἐπιαυ^{τ} F_1 παρεδόθη P H

κάστρον ἡ λεγομένη Ὑψηλὴ καὶ ἐκρατήθη ὑπὸ τῶν Ἀγαρηνῶν, αἰχμαλωτισθέντων πάντων τῶν ὄντων ἐκεῖσε. **5** γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας πλησίον τῶν Σοφίων, ἐμπρησθείσης καὶ τῆς ἐκκλησίας τοῦ ἁγίου ἀποστόλου Θωμᾶ, ἣν ὁ αὐτὸς Λέων λαμπρῶς ἀνεκαίνισεν. **6** ἀπέστειλε δὲ ὁ βασιλεὺς εἰς Εὐχάιτα καὶ ἤγαγε Θεόδωρον τὸν Σανταβαρηνὸν ἐν τῇ πόλει. Ἀνδρέας δὲ ὁ δομέστικος καὶ Στέφανος ὁ μάγιστρος, ὁ τῆς Καλομαρίας, οἱ πολλὰ λοιδορηθέντες ἐπὶ Βασιλείου παρὰ Σανταβαρηνοῦ ὑπέθηκαν τῷ βασιλεῖ, συσκευὴν ποιησάμενοι, ὡς ὅτι Φώτιος ὁ πατριάρχης καὶ Θεόδωρος ὁ Σανταβαρηνὸς βουλὴν εἶχον ποιῆσαι βασιλέα ἐκ τῶν ἰδίων Φωτίου τοῦ πατριάρχου. προσέταξε δὲ ὁ βασιλεὺς ἀγαγεῖν Φώτιον πατριάρχην καὶ Θεόδωρον τὸν Σανταβαρηνὸν ἐν τοῖς παλατίοις τῶν Πηγῶν καὶ ἰδίως αὐτοὺς φρουρεῖσθαι διωρίσατο. **7** ἀπεστάλησαν δὲ παρὰ τοῦ βασιλέως Στέφανος μάγιστρος καὶ Ἀνδρέας δομέστικος καὶ ὁ Κρατερὸς καὶ ὁ Γοῦβερ, πατρίκιοι, καὶ Ἰωάννης ὁ Ἁγιοπολίτης ἐπὶ τὸ ἐξετάσαι τὰ κατ' αὐτῶν. καὶ ἀγαγόντες τὸν πατριάρχην καὶ καθίσαντες ἐπὶ θρόνου ἐν τιμῇ καὶ αὐτοὶ καθεσθέντες ἔφη πρὸς τὸν πατριάρχην Ἀνδρέας ὁ δομέστικος· *γνωρίζεις, ὦ δέσποτα, τὸν ἀββᾶν Θεόδωρον;* ὁ δέ· *ἀββᾶν Θεόδωρον οὐ γνωρίζω.* καὶ ὁ Ἀνδρέας· *τὸν ἀββᾶν Θεόδωρον τὸν Σανταβαρηνὸν οὐ γνωρίζεις;* καὶ ὁ πατριάρχης· *γινώσκω τὸν μοναχὸν Θεόδωρον, ἀρχιεπίσκοπον ὄντα Εὐχαΐτων.* **8** ἤγαγον δὲ καὶ τὸν

---

§ 5: a. 887 § 6–10: fort. a. 887

---

§ 5: cf. ps.-Sym. 700.19–22 § 6–10: cf. ps.-Sym. 700.22–701.9

TL [F_2]G[X][m] F_1[E]PH

---

22 post Ὑψηλὴ add. εν τῷ χαρσιανῷ F_1 **23** ὄντων om. F_2 G X F_1 καὶ om. F_2 X **24** μέγας om. F_1 post Σοφίων ((sic F_2) L per comp. (σοφίων vel σοφιῶν)) : σοφιῶν καὶ F_1 : σοφιῶν X P : σοφιῶν/σοφιανῶν m (σοφιανῶν recte (sic etiam Tafel)) **25** ἀποστόλου om. F_1 ὁ om. F_2 G H λαμπρὸς T F_1 ἀνεκαίνισεν : ᾠκοδόμησεν H **26** δὲ : λέων F_1 εὐχάϊταν F_2 G X **26–32** ἐν – Σανταβαρηνὸν om. P **27** δὲ om. F_1 (quod add. s.l. F_1^2) post δομέστικος add. τῶν σχολῶν F_1 ὁ alt. om. L F_1 H **27–28** Καλομαρίας : καλλ- F_2 : καλω- F_1^{ac} **28** πολλοὶ F_1 (quod corr. s.l. F_1^2) ἐπὶ Βασιλείου : ὑπὸ βασι^λ^ F_1 (ὑπὸ βασιλείου E : quod erasit F_1^2) : πρὸς βασίλειον H : om. F_2 G post Σανταβαρηνοῦ add. καὶ F_1 **31** ἰδίων : συγγενῶν F_1 τοῦ om. F_2 X m **32** post Φώτιον add. τὸν X F_1 **33** αὐτοὺς φρουρεῖσθαι (sic F_2 X m) : φρουρεῖσθαι αὐτοὺς L F_1 H : αὐτὸν φρουρεῖσθαι G : φρουρεῖσθαι αὐτὸν P διωρίσατο om. L **34** post δὲ add. διαγνώμονες τῶν κατ' αὐτῶν κινουμένων L post δομέστικος add. τῶν σχολῶν F_1 καὶ alt. om. F_2 G X **35** Κρατερὸς : καρτερὸς F_2 X F_1 post Γοῦβερ add. οἱ F_1 πατρίκιοι : πατρίκιος X m (καὶ ὁ πατρίκιος γούβερ m) : πατρικίου F_2 ἐπὶ τὸ (τὸ : τῷ P) om. L **36** αὐτῶν (αὐτὸν G) : αὐτούς X P H ἀγαγόντες : ἀναγαγόντες L **37** καθεσθέντες ἔφη : ἐκαθέσθησαν· ἔφη δὲ P H **38** γνωρίζεις : γνωρίζῃς X F_1 : γνωρίζει H τὸν om. F_1 ἀμβὰν T **39** ἀμβὰν (pr.) T γνωρίζω : γινώσκω L ἀμβὰν (alt.) T **40** γνωρίζεις : γνωρίζης L : γινώσκ ὦ δέσποτα F_1 post γινώσκω add. ἔφη L

Σανταβαρηνὸν πρὸς αὐτοὺς καὶ λέγει πρὸς αὐτὸν Ἀνδρέας ὁ δομέστικος· ὁ βασιλεύς σοι δηλοῖ· ποῦ εἰσι τὰ χρήματα καὶ πράγματα τῆς ἐμῆς βασιλείας; ὁ δὲ ἔφη· ὅπου δέδωκεν αὐτὰ ὁ βασιλεὺς ὁ κατὰ τὴν ἡμέραν, εἰσίν· νῦν δέ, ἐπεὶ κελεύει ὁ βασιλεὺς ἀναζητεῖν ταῦτα, ἐξουσίαν ἔχει ἀναλαβέσθαι αὐτά. καὶ ὁ Ἀνδρέας ἔφη πρὸς αὐτόν· εἰπέ, τίνα ἐβούλου ποιῆσαι βασιλέα, ὑποθέμενος τῷ ἐμῷ πατρὶ διὰ συσκευῆς σου τυφλῶσαί με· τοῦ πατριάρχου ἴδιον ἢ σόν; ὁ δὲ ἀποκριθεὶς εἶπεν· οὐ γινώσκω τὸ σύνολον περὶ ὧν λέγετε κατηγοροῦντές με. λέγει οὖν Στέφανος μάγιστρος πρὸς αὐτόν· καὶ πῶς ἐμήνυσας τῷ βασιλεῖ, ὅτι· ἵνα ἐλέγξω τὸν πατριάρχην περὶ τούτου; **9** ὁ δὲ Σανταβαρηνὸς παρευθὺ πεσὼν εἰς τοὺς πόδας τοῦ πατριάρχου εἶπεν· ὁρκίζω σε κατὰ τοῦ Θεοῦ, δέσποτά μου, ἵνα πρῶτον ποιήσῃς τὴν ἐμὴν καθαίρεσιν καὶ τότε γυμνὸν ὄντα με τῆς ἱερωσύνης κολαζέτωσαν ὡς κακοῦργον· οὐ γὰρ τοιαῦτα ἐδήλωσα τῷ βασιλεῖ. ὁ δὲ πατριάρχης ἐνώπιον πάντων ἔφη· μὰ τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς, κύρι Θεόδωρε, ἀρχιεπίσκοπος εἶ καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι. θυμωθεὶς οὖν Ἀνδρέας ἐπὶ τούτοις ἔφη· καὶ οὐκ ἐμήνυσας, ἀββᾶ, τῷ βασιλεῖ δι᾽ ἐμοῦ, ὅτι· ἵνα ἐλέγξω τὸν πατριάρχην ἐν τούτῳ; ὁ δὲ ἀπηρνήσατο μηδὲν εἰδέναι. **10** ὑποστραφέντες οὖν ἀνήγγειλαν τῷ βασιλεῖ τὰ λαληθέντα παρ᾽ αὐτῶν. ὁ δὲ βασιλεὺς θυμῷ τε καὶ ὀργῇ ἀκατασχέτῳ ληφθείς, ὡς μὴ εὑρὼν αἰτίαν κατὰ τοῦ πατριάρχου, ἀποστείλας ἔτυψε τὸν Σανταβαρηνὸν σφοδρῶς καὶ τοῦτον ἐξώρισεν ἐν Ἀθήναις. ὄπισθεν δὲ αὐτοῦ ἀποστείλας ἐτύφλωσεν αὐτὸν καὶ ἐξώρισεν εἰς ἀνατολήν. μετὰ πολλὰ δὲ ἔτη παρακληθεὶς ὁ βασιλεὺς τοῦτον

TL [F_2]G[X][m] F_1[E]PH

---

42 πρὸς αὐτοὺς (πρὸς αὐτοὺς om. F_2 G) – αὐτὸν : ἔφη τε πρὸς αὐτοὺς H **42–43** ὁ δομέστικος om. F_1 **43** καὶ (post καὶ add. τὰ P) πράγματα om. F_2 H **44** ἔφη : εἶπεν L : φησιν P ὁ βασιλεὺς – ἡμέραν : ὁ κατὰ τὴν ἡμέράν βασιλεύς, ἐκεῖ L : ὁ κατὰ τὴν ἡμέραν, ἐκεῖ X **45** ἐπεὶ κελεύει : ἐπικελεύει F_2 F_1 ὁ βασιλεὺς om. F_2 G ἀναζητεῖν ταῦτα om. H **46** ἔφη om. H ἐβούλου : ἠβούλου T : ἐβουλεύου L : ἠβούλου m **46–47** βασιλέα ποιῆσαι L **47** ὑποθέμενος – με : τῶ πατρὶ τοῦ βασιλέως ὑποθεὶς· τοὺς ὀφθαλμοὺς· τὸν ἴδιον υἱὸν ἀποστερῆσαι L σου : τοῦ H **49–51** περὶ ὧν (ὧν : οὗ L) – περὶ τούτου : περὶ τούτου G : περὶ τούτου· ὁ δὲ πατριάρχης παρευθὺς εἰς τοὺς πόδας αὐτῶν F_2 **49** λέγεται X F_1 H με (sic X m) : μου L P H (F_1 per comp.) : non adhib. F_2 G post Στέφανος add. ὁ H **50** ἐμήνυσες H ὅτι om. X m F_1 : non adhib. F_2 G ελέγξη F_1 **51** παρευθὺ (παρευθὺς T) πεσὼν : πεσὼν παρευθὺ P : παρευθὺ ἔπεσεν H **52** εἶπεν : λέγων H **53** ποιήσῃς : ποιήσεις T X : ποιήσει H **55** τὸν βασιλέα L ἔφη ἐνώπιον πάντων H **56** ἐμῆς ψυχῆς : ψυχῆς μου F_1 κύριος ut vid. H **57** οὖν : οὖν ὁ L : δὲ ὁ F_2 ἔφη· καὶ (καὶ om. G X m) om. F_2 **58** ἀμβᾶ T δι᾽ ἐμοῦ τῷ βασιλεῖ F_1 P H ἐλέγξης F_1 πατριάρχην ἐν τούτῳ : βασιλέα περὶ τούτου H **59** ἀπηρνήσατο : ἠρνήσατο F_2 et ut vid. G : ἀπηρνεῖτο X m εἰδέναι : εἰδὼς F_1 ἀποστραφέντες F_1 **60** παρ᾽ αὐτῶν : πρὸς αὐτοὺς F_1 θυμῷ τε : θυμου^{τ} F_2 : θυμοῦται X **60–61** ἀκατασχέτῳ ληφθείς : πλησθεὶς ἀκατασχέτῳ ληφθεὶς F_1 **61** post εὑρὼν add. καὶ H **62–63** ἐν – ἐξώρισεν om. F_1 (quod add. in mg. F_1^2) **63** ὄπισθεν : ὄπιθεν T : κατόπην L αὐτοῦ om. T post ἐξώρισεν add. αὐτὸν T

εἰσήγαγεν ἐν τῇ πόλει καὶ προσέταξεν λαμβάνειν αὐτὸν ἀνόνας ἐκ τῆς Νέας ἐκκλησίας. ἐτελεύτησε δὲ ὁ αὐτὸς Σανταβαρηνὸς ἐπὶ Κωνσταντίνου καὶ Ζωῆς, τῆς αὐτοῦ μητρός. **11** ἐπὶ τῆς βασιλείας οὖν Λέοντος καὶ Ἀγίων, ὁ Λαγοβαρδίας ἔξαρχος καὶ δούξ, γαμβρὸς δὲ γεγονὼς τοῦ ῥηγὸς Φραγγίας ἀντῆρε τῷ βασιλεῖ, πᾶσαν τὴν χώραν πρὸς ἑαυτὸν δουλωσάμενος. τοῦτο γνοὺς ὁ βασιλεὺς ἀπέστειλε Κωνσταντῖνον τὸν τῆς τραπέζης σὺν πᾶσι τοῖς θέμασι τῆς δύσεως πρὸς τὸ καταπολεμῆσαι Ἀγίωνα. καὶ συμβολῆς γενομένης ἡττήθησαν οἱ μετὰ Κωνσταντίνου καὶ κατεσφάγησαν, μόλις αὐτοῦ διασωθέντος. **12** γέγονε δὲ ἔκλειψις ἡλιακή, ὥστε νύκτα γενέσθαι ὥρᾳ ἕκτῃ καὶ τοὺς ἀστέρας φαίνεσθαι. ἀλλὰ καὶ βρονταὶ καὶ συνοχὴ ἀνέμων καὶ ἀστραπαὶ γεγόνασιν, ὥστε καῆναι ἐν τοῖς ἀναβαθμοῖς τοῦ φόρου ἀνθρώπους ἑπτά. καὶ ἐπολιορκήθη ὑπὸ τῶν Ἀγαρηνῶν ἡ Σάμος τὸ κάστρον, αἰχμαλωτισθέντος καὶ τοῦ στρατηγοῦ αὐτῶν τοῦ Πασπαλᾶ. **13** προεχειρίσατο δὲ Λέων ὁ βασιλεὺς Ζαούτζαν εἰς βασιλεοπάτορα, συμφιλιωθεὶς ἤδη Ζωῇ τῇ αὐτοῦ θυγατρί, φαρμάκῳ τινὶ τελευτήσαντος τοῦ ἀνδρὸς αὐτῆς Θεοδώρου τοῦ Γουζουνιάτου. **14** Στεφάνου δὲ πατριάρχου τῶν τῇδε μεταστάντος χειρο-

---

66–67 (ἐπὶ Κωνσταντίνου καὶ Ζωῆς) a. 914–919 § 11: mense Iun. a. 887 § 12: eclipsis solis 8.8.891 **76–78** fort. a. 891 § 13: Stylianus Zautza basileopator factus est fort. a. 891 (vel 892 vel 893) (Jenkins 1965, p. 106) § 14: Stephanus patriarcha obiit 17./18.5.893, et Antonius II. Cauleas patriarcha factus est mense Aug. a. 893

---

§ 11: cf. ps.-Sym. 701.10–13 § 12: cf. ps.-Sym. 701.13–20 **78–80** προεχειρίσατο – θυγατρί: cf. ps.-Sym. 701.18–21; Vit. Theoph. 14.17–19 **78–79** προεχειρίσατο – βασιλεοπάτορα: cf. Vit. Euth. 7.3–7 **80–81** φαρμάκῳ – Γουζουνιάτου: cf. Vit. Euth. 45.31–35 § 14: cf. ps.-Sym. 702.5–6

TL [F_2]G[X][m] F_1[E]PH

---

65 αὐτὸν λαμβάνειν F_2 G X ἀνόναν H **67** οὖν : δὲ X : om. F_2 F_1 **67–68** καὶ (καὶ om. (F_2) G m : non adhib. X) Ἀγίων (ἁγίον T : ἁγίων G) : σαγιὸς F_2 : σαγιῶς F_1 **68** post ὁ add. κύριος P H Λαγοβαρδίας (λαγοβαρ^{δ} G) : λογγιβαρδίας F_2 m F_1 P : non adhib. X ἔξαρχος om. F_2 G δὲ om. F_1 **69** ῥηγὸς (ῥηγὸς τῆς F_1) Φραγγίας : τῆς φραγγίας ῥηγός H αὐτὸν F_1 **70** post τοῦτο (τούτω H) add. δὲ P H βασιλεὺς : βασίλειος P τὸν (sic F_2) : τὸν ἐπὶ F_1 : ἐπὶ P H : om. T m : non adhib. X **71** σὺν : συμ F_1 τῆς : τοις F_1 πρὸς τὸ om. H **72** Ἀγίωνα : ἁγίωνα T G : σαγιῶνα F_2 F_1 **74** γενέσθαι νύκτα F_1 ὥρᾳ ἕκτῃ (G per comp.) : ὥρας ἕκτης F_2 : ὥραν ἕκτην X ὥρᾳ – φαίνεσθαι om. F_1 post ἕκτῃ : add. τῆς ἡμέρας ὥστε L : add. τῆς ἡμέρας X **75** συνοχαὶ X F_1 (F_2 per comp.) καυθῆναι F_1 **76** ἀνθρώπους : ἄνδρας H ἐπολιὀρκησ^{θ} F_1 **77** ἡ om. F_1 **78** στρατηγοῦ : στρατοῦ F_1 αὐτῶν τοῦ : αὐτῶν F_2 : αυ^{τ} F_1 Πασπαλᾶ : παν$^{πλ'}$ F_1 **79** Ζαούτζαν : τζαούτζαν F_2 X : τὸν τζαούτζην F_1 βασιλεοπάτορα : βασιλεοπάτωραν H : βασιλο(εο?)πάτορα αὐτὸς καινουργήσας τὸ ὄνομα L **80** τινὶ om. X F_1 post τελευτήσαντος add. δὲ F_1 **81** Γουζουνιάτου (sic m) : ζουγουνιάτου F_2 : γουζονιάτη X : γουζιανί^{τ} F_1 : γουτζινιάτου P : γοζηνιάτου H δὲ πατριάρχου : τοῦ πατριάρχου δὲ X : δὲ τοῦ πατριάρχου F_2 H τῶν : τὸν F_2 : τοῦ F_1

τονεῖται ἀντ᾽ αὐτοῦ Ἀντώνιος ὁ λεγόμενος Καυλέας. **15** ἦλθε δὲ καὶ ἀγγελία παρὰ τοῦ στρατηγοῦ Μακεδονίας, ὡς ὁ ἄρχων Βουλγαρίας Συμεὼν βούλεται ἐκστρατεῦσαι κατὰ Ῥωμανίας. ἡ δὲ αἰτία, δι᾽ ἣν ὠργίζετο Συμεών, ἦν αὕτη. Ζαούτζας ὁ βασιλεοπάτωρ εἶχεν εὐνοῦχον δοῦλον ὀνόματι Μουσικόν. οὗτος ἐφιλιώθη Σταυρακίῳ καὶ Κοσμᾷ Ἑλλαδικοῖς, φιλοχρύσοις καὶ πραγματευταῖς, οἵτινες πρὸς αἰσχροκέρδειαν ἀφορῶντες μεσιτείᾳ καὶ δυνάμει τοῦ Μουσικοῦ διέστησαν τὴν ἐν τῇ πόλει γενομένην πραγματείαν τῶν Βουλγάρων ἐν Θεσσαλονίκῃ, κακῶς τοὺς Βουλγάρους διοικοῦντες ἐν τῷ κουμερκεύειν. οἱ δὲ Βούλγαροι τῷ Συμεὼν ταῦτα ἀπήγγελλον. ὁ δὲ δῆλα πεποίηκε ταῦτα τῷ βασιλεῖ Λέοντι. ὁ δὲ βασιλεὺς ὑπὸ τοῦ βασιλεοπάτορος κωλυόμενος προσπαθοῦντος Μουσικῷ πάντα ὡς λῆρον ἤκουεν. **16** μανεὶς οὖν ὁ Βούλγαρος ἐκστρατεύει κατὰ Ῥωμαίων, καὶ μαθὼν ταῦτα ὁ βασιλεὺς ἀποστέλλει τὸν Κρηνίτην στρατηλάτην κατὰ Βουλγάρων μετὰ ὅπλων καὶ ἀρχόντων πολλῶν τῆς πόλεως κατὰ Συμεών. καὶ συμβολῆς γενομένης ἐν Μακεδονίᾳ τρέπονται οἱ Ῥωμαῖοι, σφαγέντος τοῦ τε Κρηνίτου καὶ τοῦ Ἀρμένη τοῦ Κουρτίκη καὶ τῶν λοιπῶν πάντων. ἐκ δὲ τῶν Χαζάρων, οἳ ἦσαν εἰς τὴν ἑταιρείαν Λέοντος, κρατηθέντες καὶ τὰς ῥῖνας αὐτῶν ἐκκοπέντες εἰς

---

§ 15–21 (bellum cum Bulgaris): ca. a. 894–896

---

§ 15–21 (de bello cum Bulgaris): cf. ps.-Sym. 701.22–702.5

TL [F_2]G[X][m] F_1[E]PH

---

82 post Καυλέας (καύλας F_1 : καυλαίας H) multa add. F_1 (vide introd. III.3.1.1) **84** στρατεῦσαι P Ῥωμανίας : ῥωμαίων L δι᾽ om. F_1 **85** post ὠργίζετο add. ὁ F_1 ἦν : καὶ T Ζαούτζας : τζαούτζας F_2 X : τζαούτζης F_1 **85–86** δοῦλον εὐνοῦχον L F_2 m F_1 **86** σταυρικίῳ F_1 post Κοσμᾷ add. τοῖς F_1 **86–87** ἐλαδικοῖς F_1 **87** φιλοχρύσοις : φιλοχρίστοις F_1 (quod corr. in mg. F_1^2) πραγματευταῖς : πραγματοῖς F_2 : πραγματεῖς G : πραγματευτῆς X **88–89** μεσιτείᾳ – πραγματείαν om. F_1 **88** μεσιτείᾳ – διέστησαν om. P **88–89** ἐν τῇ πόλει τὴν H **89** γενομένην : γινομένην L : om. F_2 G X τῶν Βουλγάρων om. F_2 H post Θεσσαλονίκῃ add. ἐκαινοτόμησε P **90** κουμερκεύειν : κομ- F_2 : κομ(μ)- m : κωμ- F_1 : κομμ- P τῷ alt. : τὸν F_2 G **91** ἀπήγγελλον : ἀπήγγειλον X : ἀπήγγειλαν F_2 m H ἐποίησε H ταῦτα (ταῦτα om. F_2 G) post Λέοντι transp. F_1 **92–93** προσπαθοῦντος (post προσπαθοῦντος add. τῷ X m F_1 H) : προσπαθοῦντες F_2 : προσπαθοῦντι H **94–95** τὸν Κρηνίτην στρατηλάτην (στρατηγὸν P H) : στρατηλάτην τὸν κρινήτην X : στρατηλάτην νικήταν· τον κεκρινή⸆ λεγόμενον F_1 **95** Κρηνίτην : κρινίτην G P : κρινήτην H : κρηνήτην ἐκεῖνον L κατὰ Βουλγάρων om. F_1 ὅπλων καὶ om. F_1 **96** post πολλῶν add. τῶν (τὸν X) T L X (non add. F_2 m) κατὰ Συμεών om. L F_2 G, fort. recte (quod exhib. X m) : κατὰ Συμεών. καὶ om. F_1 **97** τε om. F_2 X F_1 H Ἀρμένη (sic F_2 m : ἁρμένει T) : ἀρμενίου L X P H **97–98** τοῦ Κουρτίκη (κορτ- F_2 G) : κουρτάκη F_1 **98** οἳ ἦσαν : ἢ εἶσαν F_1 **99** Λέοντος : ἀνδρεῖοι P H : om. F_1 κρατηθέντες (κρατηθέντων L) : an scrib. κρατηθέντες ⟨τινὲς⟩? ἐκκοπέντες : ἐκκοπέντων L : κοπέντες F_2 G X m F_1

αἰσχύνην Ῥωμαίων ἐν τῇ πόλει παρὰ Συμεὼν ἀπεστάλησαν· **17** οὓς ἰδὼν ὁ βασιλεὺς καὶ θυμωθεὶς ἀπέστειλε Νικήταν τὸν ἐπιλεγόμενον Σκληρὸν μετὰ δρομώνων ἐν τῷ ποταμῷ Δανουβίῳ δοῦναι δῶρα τοῖς Τούρκοις καὶ πρὸς πόλεμον κινῆσαι κατὰ Συμεών. ὁ δὲ ἀπελθὼν καὶ συντυχὼν ταῖς κεφαλαῖς Ἀρπάδῃ καὶ Κουσάνῃ καὶ συνθεμένων πολεμῆσαι λαβὼν ὄψιδας ἦλθε πρὸς τὸν βασιλέα. ὁ δὲ βασιλεὺς πάλιν διὰ τῆς θαλάσσης ἀπέστειλεν Εὐστάθιον πατρίκιον καὶ δρουγγάριον τοῦ πλοΐμου, Νικηφόρον δὲ πατρίκιον τὸν Φωκᾶν, καὶ δομέστικον, μετὰ τῶν θεμάτων ἀπέστειλε διὰ γῆς, καὶ εἰσῆλθον μέχρι Βουλγαρίας. **18** ὁ δὲ βασιλεὺς τὴν εἰρήνην ἀσπαζόμενος μετὰ τοῦτο ἀπέστειλε καὶ Κωνσταντινάκην κοιαίστορα πρὸς Συμεῶνα τὰ περὶ εἰρήνης συμβουλεύοντα. Συμεὼν δὲ τὴν κατ᾽ αὐτοῦ κίνησιν διά τε γῆς καὶ θαλάσσης ἰδὼν ἐν φρουρᾷ κατακλείει τὸν κοιαίστορα ὡς ἐπὶ δόλῳ ἐλθόντα. περάσαντες οὖν οἱ Τοῦρκοι, τοῦ Συμεὼν ἐπὶ τὸ στράτευμα Φωκᾶ ἀσχολουμένου, ᾐχμαλώτευσαν πᾶσαν τὴν Βουλγαρίαν. ταῦτα μαθὼν Συμεὼν κινεῖται κατὰ τῶν Τούρκων. οἱ δὲ ἀντιπεράσαντες συμβάλλουσι πόλεμον μετὰ Βουλγάρων, καὶ τρέπεται Συμεὼν μόλις διασωθεὶς ἐν τῇ Δίστρᾳ. **19** οἱ δὲ Τοῦρκοι ᾐτήσαντο τὸν βασιλέα ἀποστεῖλαι καὶ ἀγοράσαι τὴν αἰχμαλωσίαν τῶν Βουλγάρων· ὃ δὴ καὶ πεποίηκεν ὁ βασιλεὺς τοὺς πολίτας ἀποστείλας ἐπαγοράσαι αὐτούς. ὁ δὲ Συμεὼν δι᾽ Εὐσταθίου δρουγγαρίου ἐδεήθη περὶ τῆς εἰρήνης, πρὸς ἣν ὑπεῖξεν ὁ βασιλεὺς καὶ ἀπέστειλε Λέοντα τὸν Χοιροσφάκτην πρὸς τὸ γενέσθαι εἰρήνην. ἐδέξατο

TL [F_2]G[X][m] F_1[E]PH

---

100 ἐν τῇ πόλει παρὰ Συμεὼν (παρὰ συμεὼν ἐν τῇ πόλει H) ἀπεστάλησαν : παρὰ συμεὼν ἀπεστάλη(σαν) ἐν τῇ πόλει L **101** καὶ θυμωθεὶς om. H Νικήταν om. F_2 G **102** Δανουβίῳ (sic m) : τῶ δανοβίω T : τοῦ δανουβίου F_2 : τοῦ δανουβίωι G : τῶ δουναβίῳ X : δανουβίῳ καὶ P (de H vide infra) ἐν τῷ ποταμῷ δανουβείῳ μετὰ δρομόνων H δῶρα δοῦναι P **103** Τούρκοις : κούρκοις T (fort. pc (e T-) T^1 vel T^2) πόλεμον : πό^λ F_1 κινῆσαι : νικῆσαι P κατὰ : μετὰ G **104** ταῖς (τοῖς F_2 : καὶ ταῖς G) κεφαλαῖς : τὰς κεφαλὰς F_1 ἁρπάδη P συνθεμένων : συνθέμενοι F_2 : συνθέμενον F_1 **105** λαβὼν ὄψιδας (ὄψιδας om. F_2 G) ἦλθε : ὑπέστρεψε X τῆς om. F_1 **106** ἀποστέλλει F_1 **106–07** τοῦ πλοΐμου (sic F_2 m) : τῶν πλοΐμων L X F_1 P H **107** Νικηφόρον δὲ : καὶ νικηφόρον F_1 τὸν – δομέστικον : καὶ δομέστικον τὸν φωκᾶν L F_1 P : καὶ φωκᾶν τὸν δομέστικον H **107–08** μετὰ τῶν θεμάτων post ἀπέστειλε transp. F_1 **108** διὰ γῆς om. F_1 εἰσῆλθον : ἦλθεν F_2 G X : εἰσῆλθε m P H : εισῆλ^θ F_1 μέχρι Βουλγαρίας : μιχαηλ βουλ$^{γρ'}$ F_1 (corr. s.l. F_1^2) **109** ἀπέστειλε μετὰ τοῦτο (τοῦτον F_1) L F_1 **109–10** κωνστανάκην L **110–12** πρὸς – κοιαίστορα om. P **110** Συμεῶνα : συμεών F_2 m F_1 H : non adhib. P **111–12** ἐν – κοιαίστορα om. H **112–13** ἐπὶ – Συμεὼν bis exhib. G **113** post Τοῦρκοι add. κατα F_1 post στράτευμα add. τοῦ F_1 **115** μετὰ : μετὰ τῶν T P : κατὰ H **116** Δίστρᾳ (δηστρα F_2 : δύστρᾳ X) : δρίστα P H **117–19** τὴν – ἐπαγοράσαι om. P **119** ἐπαγοράσαι : ἐπὶ τὸ ἀγοράσαι H : ἀγοράσαι L F_2 διὰ T L **120** δρογγαρίου T post ἐδεήθη add. τὰ F_2 G **121** ἀπέστειλε : ἀπέστειλεν τὸν G : ἀποστέλλει F_1 λέον T F_2

δὲ Νικηφόρος ὑποστρέψαι μετὰ τοῦ λαοῦ, καὶ ὁ δρουγγάριος Εὐστάθιος ὁμοίως. Λέοντα δὲ οὐδὲ λόγου ἠξίωσεν Συμεών, ἀλλ᾽ ἠσφαλίσατο ἐν εἱρκτῇ. ἐκστρατεύσας δὲ κατὰ τῶν Τούρκων ἐκείνων ὀχύρωμα βοηθείας μὴ ἐχόντων παρὰ Ῥωμαίων, ἀλλ᾽ ἀπρονοήτων ἐαθέντων, πάντας κατέσφαξεν, αὐξήσας τὴν μεγαλαυχίαν αὐτοῦ. **20** καὶ ὑποστρέψας εὗρε Λέοντα ἐν τῇ Μούνδραγᾳ καὶ εἶπε πρὸς αὐτόν· οὐ ποιῶ εἰρήνην, ἐὰν μὴ πᾶσαν τὴν αἰχμαλωσίαν λάβω. διωρίσατο οὖν ὁ βασιλεὺς ταύτην ἀποδοῦναι, καὶ ἦλθε μετὰ Λέοντος Θεόδωρος Βούλγαρος, οἰκεῖος τοῦ Συμεών, καὶ παρέλαβεν αὐτούς. Νικηφόρου δὲ τοῦ Φωκᾶ τελευτήσαντος ἀφορμὰς ἐζήτει Συμεὼν τὴν εἰρήνην διαλῦσαι. ἐπιζητῶν γὰρ καὶ ἄλλους αἰχμαλώτους ἐξέρχεται κατὰ Ῥωμαίων. **21** Λέων δὲ ὁ βασιλεὺς δομέστικον τῶν σχολῶν προβάλλεται Λέοντα τὸν Κατακαλόν, ἐν τῇ Ῥάβδῳ τὴν οἴκησιν ἔχοντα, καὶ μετ᾽ αὐτοῦ ἀποστέλλει Θεοδόσιον πατρίκιον καὶ πρωτοβεστιάριον. καὶ περῶσιν ὅλα τὰ θέματα καὶ τὰ τάγματα, καὶ γενομένης συμβολῆς μετὰ Συμεὼν εἰς τὸ Βουλγαρόφυγον ἐγένετο τροπὴ δημοσία, καὶ πάντες ἀπώλοντο, καὶ ὁ πρωτοβεστιάριος Θεοδόσιος, δι᾽ ὃν ὁ βασιλεὺς οὐ μετρίως ἠνιάθη. ἐπὶ τούτου ἔσφαξαν καὶ ἐν Χερσῶνι οἱ τοῦ κάστρου τὸν στρατηγὸν αὐτῶν Συμεῶνα, τὸν υἱὸν Ἰωνᾶ. καὶ παρελήφθη καὶ τὸ κάστρον τὸ Κόρον ἐν Καππαδοκίᾳ ὑπὸ τῶν

135–37 pugna ad Bulgarophygon (Bulgarogephyron) a. 896 **138–39** fort. a. 896 vel 897 **140** Coron captum est 5.8.897

TL [F_2]G[X][m] F_1[E]PH

---

122 δὲ om. F_2 G νικηφόρον (-ων F_1) X F_1 ὑποστρέψαι : ὑποστρέ F_2 : ὑπογράψαντα X : ὑποστρέψαι/ὑποστρέψας m : ὑποστρέψας F_1 : ὑπέστρεψαι H **123** ὁμοίως ante λαοῦ (**l. 122**) exhib. L λέοντι F_1 ἠξίωσεν : ἠξίου X : ἠξίωσεν ὁ H post ἠσφαλίσατο add. τοῦτον P H **124** τῶν om. H **124–25** βοηθείας μὴ ἐχόντων (ἔχον^{τ} F_1) παρὰ Ῥωμαίων (ρωμαίοις F_2 X) : παρὰ ῥωμαῖοις βοηθείας μὴ ἐχόντων H **125** ἐαθέτων H πάντων F_1 **125–26** κατέσφαξεν – ὑποστρέψας om. F_1 **126** αὐξήσας – αὐτοῦ : αὐχήσας ὑπὲρ τὸ πρότερον L μεγαλαυχίαν : μεγαλοψυχίαν F_2 G (sic ut vid. G) X post εὗρε add. τὸν P H **127** Μούνδραγᾳ : μουδρὰ F_2 : μουγδραγά fort. G (accentus non certe vid.) : μουνδάγρᾳ m : μουδρά^{γ} F_1 καὶ – αὐτόν om. F_1 εἰρήνη T **128** ἀποδοῦναι : ἀποδοθῆναι L **129** λέοντα F_1 Θεόδωρος : θεόδωρος ὁ F_2 X : om. m P οἰκεῖος : οἰκείως X : οἰκεῖοις F_1 **130** ἀφορμὴν P H **131** γὰρ : δὲ F_1 **132–33** δομέστικον – προβάλλεται : προβάλλεται δομέστικον τῶν σχολῶν L : δομέστικον προβάλλεται τῶν σχολῶν P (cf. F_1) **132–33** δομέστικον τῶν σχολῶν post Κατακαλόν transp. F_1 **133** Κατακαλόν : κατακαλὼν G : καλὸν F_1 : κατακαλῶν H **134** καὶ pr. – ἀποστέλλει : ἀποστέλλει δὲ μεταυ^{τ} F_1 Θεοδόσιον : F_1 per comp., fort. θεόδωρον καὶ alt. om. P **135** τὰ θέματα καὶ τὰ (τὰ om. F_1) τάγματα : τὰ τάγματα καὶ τὰ θέματα P H **137** post δημοσία add. τῶν ρωμαίων F_1 Θεοδόσιος om. F_1 **138** καὶ : καὶ οἱ F_2 : δὲ καὶ οἱ X : οἱ H **139** οἱ τοῦ κάστρου : ἐν τῶ κάστρω F_2 X αὐτῶν : αὐτὸν H Συμεῶνα (sic F_2) : συμεών X m F_1 P H post υἱὸν add. τοῦ L **139–40** καὶ παρελήφθη καὶ (παρελήφθη καὶ om. H) : ἐκρατήθη δὲ καὶ F_1

Ἀγαρηνῶν. **22** ὁ δὲ πρόκενσον ἐποίησεν εἰς τὰ Δαμιανοῦ, συνόντος καὶ Ζαούτζα καὶ παραδυναστεύοντος καὶ τῆς θυγατρὸς αὐτοῦ Ζωῆς ἅμα τῷ βασιλεῖ. Θεοφανὼ δὲ ἡ γαμετὴ αὐτοῦ οὐ παρῆν ἐκεῖσε, ἀλλ᾽ ἐν Βλαχέρναις ἐν τῇ ἁγίᾳ Σορῷ προσεκαρτέρει εὐχομένη. δόξαντος οὖν τοῦ βασιλέως μεῖναι ἐκεῖσε συμβούλιον ποιήσαντες οἱ τοῦ Ζαούτζα συγγενεῖς ὅ τε υἱὸς αὐτοῦ ὁ Τζάντζης καὶ οἱ λοιποὶ ἐβούλοντο τῇ νυκτὶ φονεῦσαι τὸν βασιλέα. ἡ Ζωὴ δὲ μετὰ τοῦ βασιλέως καθεύδουσα καὶ τὴν ταραχὴν ἀκούσασα διὰ τῆς θυρίδος προσβλεψαμένη αὐτοὺς κατεσίγαζεν. ὡς δὲ τὸ δεινὸν ἔγνω τῆς ἐπιβουλῆς, ἣν ἐμελέτησαν, ἐξύπνησε τὸν βασιλέα· ὃς παρευθὺ εἰσελθὼν εἰς πλοῖον διεπέρασεν εἰς Πηγάς, ἐάσας Ζαούτζαν καὶ πάντας ἐκεῖσε, καὶ πρωῒ τάχιον εἰσῆλθεν εἰς τὸ παλάτιον, ἐξεώσας Ἰωάννην δρουγγάριον τῆς βίγλης καὶ προβαλόμενος Πάρδον, υἱὸν Νικολάου ἑταιρειάρχου, ἀντ᾽ αὐτοῦ. ὁ γὰρ Νικόλαος οὗτος συμφιλιωθεὶς τῷ βασιλεῖ κατάδηλα ἐποίει αὐτῷ πάντα τὰ τοῦ Ζαούτζα· καὶ ἔκτοτε οὐκ εἰσήρχετο εἰς τὸ κελλίον ὁ βασιλεὺς τοῦ Ζαούτζα, ἕως ἂν Λέων μάγιστρος ὁ Θεοδοτάκης διήλλαξεν αὐτούς. **23** τελευτᾷ δὲ Θεο-

§ 22: coniuratio in Leonem ut vid. post Coron captum et ante obitum imperatricis Theophano (de quo vide § 23) **156–57** Theophano augusta obiit ut vid. 10.11 (vide autem Tougher 1997, p. 140, n. 38) a. 895 vel 896 (sic ODB e Karlin-Hayter, *BZ* 62 (1969), p. 13–19) vel a. 897 (sic Ostrogorsky 1957 et Jenkins 1965, p. 104)

§ 22: cf. ps.-Sym. 702.9–17; Vit. Theoph. 14.20–16.4 § 23: cf. ps.-Sym. 702.18–703.6; Vit. Theoph. 16.5–24 (16.25 et passim de miraculis eius); Vit. Euth. 45.29–31

TL [F_2]G[X][m] F_1[E]PH

141 post ὁ δὲ add. βασιλεὺς L X F_1 P H (non add. F_2 m) πρόκευσον H **142** τζαούτζα F_2 X F_1 καὶ pr. (sic X m) : τοῦ L : om. F_2 F_1 (vide introd. III.3.1.1) καὶ alt. om. F_1 αὐτοῦ θυγατρὸς L **142–43** ἅμα τῷ βασιλεῖ om. F_1 **143** ἡ γαμετὴ αὐτοῦ (αὐτοῦ γαμετὴ L) : αὐγούστα F_1 ἐκεῖ H **144** εὐχομένη : -η supra -ω P **144–45** δόξαντος οὖν τοῦ βασιλέως (βασιλέως : λέοντος P) : δόξαν οὖν τῶ βασιλεῖ F_1 **145** Ζαούτζα : τζαοῦτζα X : τζαούτζα F_2 F_1 **146** post τε add. ὁ F_2 H ἐβούλοντο (sic F_2 X) : ἠβούλοντο m : ἐβουλεύοντο F_1 P H, fort. recte (sed vide introd. III.2.7, p. 83*) **147** δὲ ζωὴ F_2 G X συγκαθεύδουσα F_1 τὴν om. F_2 X **148** post ἀκούσασα add. καὶ X F_1 προβλεψαμένη F_2 G X m F_1 P H (sic etiam Tafel) **148–49** κατεσίγαζεν : κατεσίγησεν F_2 G X : κατεσίγασεν m : κατησύχαζε F_1 **150** ἐλθὼν H **151** Ζαούτζαν (non vid. F_1 (τζαούτζαν E)) : τζαούτζαν X : τζαούτζα F_2 **152** ἐξώσας F_1 βίγλας F_2 G X F_1 προβαλόμενος (sic E : non vid. F_1) : προβαλλόμενος L F_2 G X P H **153** ἑταιρειάρχου : ἑταιρειάρχ F_2 G F_1 P : ἑταιρειάρχην H ἀντ᾽ om. F_2 G X γὰρ : δὲ P οὗτος om. F_2 X m **154** τζαούτζα F_2 F_1 **154–55** καὶ – Ζαούτζα om. X m F_1 (homoeotel.) **155** ὁ βασιλεὺς εἰς τὸ κελλίον L F_2 G P τοῦ om. P ἂν : οὗ F_1 **156** Λέων μάγιστρος : ὁ λέων ὁ F_2 : λέων ὁ μάγιστρος m : ὁ μάγιστρος λέων P : μάγιστρος λέων H Θεοδοτάκης : θεόδοτ F_2 : θεοτάκης P : θεοτόκης H διήλλαξεν : διήλεγξεν F_2 G m F_1 (X aliter (ἐξήλαξεν)) post αὐτούς add. τὰ δὲ συμβαίνοντα πάντα τῶ βασιλεῖ χαρμόσυνά τε καὶ ἀνιαρᾶ, προηγγέλλετο αὐτῶ ἐκ μακροῦ σαφέστατα, παρ᾽ εὐθυμίου μοναχοῦ τοῦ προδηλωθέντος· ἀλλ᾽ οὗτος κοῦρος ὢν κατημέλει τῶν λεγομένων· ὅθεν καὶ ἀπείροις συμφοραῖς πρὸσἐπάλαισε L

φανὼ αὐγούστα βασιλεύσασα ἔτη ιβ'· ἣν οὐ μετὰ πολλὰς ἡμέρας ἀνέδειξεν ὁ Θεὸς θαυματουργὸν διὰ τὸ ἀζηλότυπον αὐτῆς καὶ ἀμνησίκακον καὶ διὰ τὸ ἐν ἐλεημοσύναις καὶ προσευχαῖς ἀδιαλείπτως προσκαρτερεῖν τῷ Θεῷ καὶ ταῖς ἁγίαις ἐκκλησίαις. στέφει δὲ Λέων ὁ βασιλεὺς Ζωήν, τὴν θυγατέρα Ζαούτζα, καὶ εὐλογεῖται μετ᾽ αὐτῆς παρὰ κληρικοῦ τοῦ παλατίου, ᾧ ἐπίκλην Σινάπης· καὶ ὁ μὲν εὐλογήσας καθῃρέθη, ἡ δὲ ἐβασίλευσεν ἔτος ἕν, μῆνας η'. τελευτησάσης δὲ τῆς αὐτῆς Ζωῆς λάρνακα ἐφεῦρον εἰς τὸ ἀποτεθῆναι τὸ σῶμα αὐτῆς ἔχουσαν ἔνδοθεν γράμματα κεκολαμμένα γράφοντα οὕτως· θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος. **24** διεβλήθησαν δὲ τῷ βασιλεῖ Λέοντι ὅ τε Μουσικὸς καὶ ὁ Σταυράκιος ὡς παρὰ τῶν στρατηγῶν καὶ ὀφφικιαλίων λαμβάνοντες δῶρα καὶ μεσιτεύοντες πρὸς τὸν βασιλεοπάτορα. καί ποτε εἰσελθόντος τοῦ Σταυρακίου μετὰ γραμμάτων τινὸς τῶν στρατηγῶν πρὸς τὸν Ζαούτζαν, ὡς εἶδεν αὐτὸν ὁ βασιλεὺς ἑστὼς ἐν τῷ ἡλιακῷ, εἰσῆλθεν ὄπισθεν αὐτοῦ καὶ κρατήσας αὐτὸν ἐκ τοῦ τένοντος ἐξήγαγεν ἔξω, ὡς δῆθεν ἐρωτήσων περὶ τῶν στρατηγῶν, καὶ εἰς τὸ μονόθυρον ἀγαγὼν καὶ τὰ γράμματα ἄρας καὶ ἀποσφενδονήσας παραδέδωκε τοῖς ἐπιτυχοῦσιν ἐξαγαγεῖν τοῦ παλατίου, διορισάμενος ἀποκεῖραι αὐτόν. μαθὼν δὲ τοῦτο ὁ Μουσικὸς ἐν ἀπογνώσει γέγονεν. εἰσελθὼν δὲ ὁ βασιλεὺς ἔνθα ἵστα-

---

160–61 Leo VI. uxorem ducit Zoem Zaoutzinam fort. mense Mai. (Jenkins 1965, p. 104) vel mense Iul. (Karlin-Hayter, *BZ* 62 (1969), p. 13 (cf. Tougher 1997, p. 142)) a. 898 **163–64** Zoe augusta obiit fort. mense Dec. a. 899 vel mense Ian. vel Mart. a. 900 (cf. supra)

163–66 (de obitu Zoes): cf. Vit. Euth. 49.22–25 § 24–29: cf. ps.-Sym. 703.11–14

TL [F_2]G[X][m] F_1[E]PH a § 24 TL [F_2]G[m] F_1[E]PH

---

157 οὐ μετὰ : ου μετου F_2 : μετὰ X : μετ᾽ οὐ F_1 P H **158** θαυματουργὸν : θαυματουργεῖν X : θαυματουργείαν F_1 **161** θυγατέραν X H Ζαούτζα : τζαούτζα F_2 X F_1 : ζαουτζᾶ P post παρὰ add. τινος F_1 **162** τοῦ om. F_1 παλατίου : παλάτη X : παλα^{τ}′ F_1 post ἐπίκλην add. ὁ P Σινάπης (συν- H) : ἄπης F_1 **163** ἡ δὲ : δὲ ἡ μὲν T ἐβασίλευσεν : εὐλογηθεῖσα ἔζησεν F_1 post ἕν add. καὶ L X post η' (?) add. καὶ ut vid. P. δὲ alt. om. F_2 H **164** εὗρον λάρνακα F_1 ἐφεῦρον : ἐφεῦρεν F_2 G : ἐφευρὼν P (ἐφεύρων H) ἔχουσα F_2 G **165** γράμματα κεκολαμμένα : εγκεκολαμμένα γράμματα F_1 : γράμματα ἐγκεκολαμμένα H γράφοντα : γραφὲν ut vid. F_2 : γραφέντα G **166** δὲ : οὖν H (non vid. P) τοῦ βασιλέως λέων τε G τε om. F_2 G (de G vide autem supra) **167** post ὡς add. ὅτι F_2 G m ὀφικιαρίων F_1 λαμβάνοντες (λαμβάνον^{τ} G) : λαμβάνωντα F_2 **168** τότε F_1 **168–69** εἰσελθόντα τὸν Σταυράκιον H **169** γραμμάτων : γραμμα^{τ} G : γραμμάτου F_2 (m: sic singula mss.) **170** Ζαούτζαν : τζαούτζαν F_2 F_1 : ζαουτζᾶν P ὡς – ἡλιακῷ : ἑστὼς ἐν τῷ ἡλιακῷ ὁ βασιλεὺς καὶ θεασάμενος αὐτόν H **170–71** ὄπιθεν L **171–72** αὐτοῦ – στρατηγῶν om. P **172** ἐρωτήσων (post ἐρωτήσων add. αὐτὸν H) : ἐρώτησαν T : ἐρωτήσας F_2 : ἐρωτήσαι F_1 τὸν στρατηγὸν G **173** παρέδωκε F_2 G F_1 H (παραδέδωκε/παρέδωκε m) **174** ἐξαγαγεῖν τοῦ παλατίου (παλατίου : πλάτους ut vid. P) post διορισάμενος transp. F_1 καὶ ἀποκεῖραι F_1 **175** ὁ om. L ἐν om. P

το ὁ Μουσικὸς παρεστὼς τῷ Ζαούτζᾳ τοῦτον ἐπιτράχηλον ὠθήσας ἐξήγαγε παραδοὺς Χριστοφόρῳ κοιτωνίτῃ ἐν τοῖς Στουδίου ἀπαγαγεῖν καὶ μοναχὸν ποιῆσαι. **25** μετ᾿ ὀλίγον δὲ τελευτᾷ Ζαούτζας ἐν τῷ παλατίῳ, καὶ τοῦτον διὰ τοῦ Βουκολέοντος καταγαγόντες ἀπήγαγον ἐν τῇ μονῇ τοῦ Καυλέα ἐκεῖσε αὐτὸν θάψαντες. μετὰ δὲ τὴν τελευτὴν Ζαούτζα Βασίλειος Ἐπίκτης, ὁ υἱὸς Νικολάου ἑταιρειάρχου, συνεφιλιώθη Σαμωνᾷ κουβικουλαρίῳ, τῷ ἐξ Ἀγαρηνῶν, ὀρεγόμενος τῷ τῆς βασιλείας ἀξιώματι. ἐθάρρησε δὲ τῷ Σαμωνᾷ, ὅτι τῆς θείας ἡμῶν Ζωῆς τελευτησάσης ὁ βασιλεὺς λαβεῖν ἔχει ἑτέραν γυναῖκα καὶ ἡμᾶς πάντας ἔχει ἀφανίσαι. ἀλλὰ δός μοι λόγον καὶ ἵνα σοι θαρρήσω πάντα τὰ βουλευόμενα. καὶ δόντος αὐτοῦ λόγον τῷ Βασιλείῳ ἐθάρρησεν αὐτῷ πάντα. **26** ὁ δὲ Σαμωνᾶς εἰσελθὼν εἰς τὸν βασιλέα εἶπεν αὐτῷ, ὅτι δέσποτά μου, θέλω σοι εἰπεῖν τι ἰδίως, ὅπερ ἐὰν μὲν εἴπω, ἀποθνῄσκω, εἰ δὲ μὴ εἴπω, ἀποθνῄσκεις σύ· καὶ διεξῆλθε πρὸς τὸν βασιλέα πᾶσαν τὴν τοῦ Βασιλείου ἐπιβουλήν. ἀπιστήσαντος δὲ τοῦ βασιλέως τοῖς λαληθεῖσι παρ᾿ αὐτοῦ καὶ εἰρηκότος μή τίς σοι ὑπέβαλε ταῦτα εἰπεῖν μοι καὶ ἐκ δωροδοκίας τοῦτο ἐποίησας, ὁ δὲ εἶπεν· ἀπόστειλον πιστοὺς οὓς κελεύεις ἐν

---

178 Stylianus Zautza obiit fort. mense Iun./Iul. sive mense Aug./Sept. a. 899 § 25–27: coniuratio Basilii Epictis ca. a. 900

---

178 (de obitu Zautzae): cf. Vit. Euth. 49.22–25 § 25–27: cf. Vit. Euth. 49.25–51.7

TL [F_2]G[m] F_1[E]PH a § 25 TL [F_2]G[X][m] F_1[E]PH **180** a μετὰ TL [F_2]G[m] F_1[E]PH

---

176 ὁ om. T τῷ Ζαούτζᾳ : τῶ τζαούτζα F_2 : τὸ τζαούτ^{ζ} F_1 : ζαουτζᾶ P τοῦτον ἐπιτράχηλον : του^{τ} ἐπιτραχή^{λ} F_2 F_1 **177** ἐξήγαγε : ἐξέβαλεν καὶ F_1 : ἐξέβαλεν (ἐξέβαλλεν H) P H τοῖς Στουδίου (στουδίοις T) : τῆ μονῇ τῶν στουδίων F_1 **177–78** ἀπαγαγεῖν (ἀγαγεῖν H) καὶ om. F_1 **178** ποιῆσαι μοναχὸν F_1 ὀλίγων T F_2 Ζαούτζας : τζαούτζας F_2 X F_1 : ζαουτζᾶς P **179** Βουκολέοντος (βουκ- ut vid. G, sed fort. βοκ-): βοκολέοντος H καταγαγόντες (aliquid add. s.l. T) : καταγαγοῦσαι F_2 : ἀγαγόντες P **180** Καυλέα (sic m : F_1 per comp.) : καυλέου L H : καυλαία F_2 X : καυλέως ut vid. P ἐκεῖσε αὐτὸν θάψαντες (aliquid add. s.l. T) : καὶ ἐκεῖ αὐτὸν ἔθαψαν X : καὶ ἔθαψαν ἐκεῖσαι F_1 **181** Ζαούτζα : τζαούτζα F_2 F_1 : ζαουτζᾶ P Ἐπίκτης om. F_1 (quod add. F_1^2): fort. titulus, non nomen (cf. Tougher 1997, p. 106) ὁ om. H ἑταιρειάρχου (G per comp.) : ἑταιρειάρχης (-ης fort. alia manu F_2) F_2 H **182–83** τοῦ τῆς βασιλείας ἀξιώματος L m F_1 P H **183** δὲ : οὖν F_1 τῷ : τὸ H **184** γυναῖκαν F_2 G H **184–85** ἔχει (θέλει G : θέλη F_2) ἀφανίσαι : ἀφανίσει F_1 **185** καὶ : ἀπαθείας H σοι : σὺ F_1 **185–86** βουλευόμενα : βουλόμενα F_1 : βουλευόμενα μοι H **186** δόντος αὐτοῦ (αυ^{τ} F_2 F_1) : δοὺς αὐτῷ H λόγον (non certe vid. G (λόγον Bekker)) : λόγω T τῷ Βασιλείῳ (Βασιλείῳ F_1 per comp.) : τῷ βασιλεῖ m P : om. H **187** ἐλθὼν L εἰς : πρὸς H εἶπεν αὐτῷ (post αὐτῷ add. et expunxit πάντα P) : πάντα· ἔφη γὰρ οὕτως L **188** ἰδίος T ἐὰν : εἰ G : ἡ F_2 μὲν : μὴ H εἰ : ἐὰν L **189** ἀποθνῄσκεις : ἀποθνήσκοις L σύ : σοί H διεξῆλθε – πᾶσαν : διεξεῖπεν τὸν βασιλέα πᾶσαν F_2 G : δῆ ἐξεῖπεν πάν^{τ} F_1 **189–90** τοῦ Βασιλείου ἐπιβουλήν : ἐπιβουλὴν βασιλείου H **190** post βασιλέως add. πᾶσι T παρ᾿ : περὶ L **191** τίς σοι : τισοι F_1 (alt. σ add. s.l. F_1^2) : τι σοι H : τησσε F_2 ὑπέβαλλεν H μοι : με F_2 F_1 **192** ὁ δὲ : οὗτος P H κελεύης F_2 F_1

τῷ ἐμῷ κελλίῳ, δέσποτά μου, καὶ ἵνα εἰσὶν ἐγκεκρυμμένοι, καὶ εἴ τι ἂν ἀκούωσι παρὰ Βασιλείου καὶ παρ᾿ ἐμοῦ, γράφωσι ταῦτα. **27** παρευθὺ δὲ ὁ βασιλεὺς ἀποστέλλει Χριστοφόρον πρωτοβεστιάριον ἅμα Καλοκυρῷ κοιτωνίτῃ, καὶ ἀνελθόντες ἐκρύβησαν ἐν τῷ κελλίῳ αὐτοῦ. Βασίλειος οὖν δελεασθεὶς καὶ λαβὼν λόγον ἔνορκον παρὰ Σαμωνᾶ εἰς τὸ προσευχάδιον αὐτοῦ ἐξεῖπεν αὐτῷ πάντα τὰ τῆς βουλῆς καὶ τοὺς συμβουλευομένους. ἀριστώντων δὲ αὐτῶν κατελθόντες Χριστοφόρος καὶ Καλοκύρις διὰ γραφῆς ἀνέγνωσαν πάντα τῷ βασιλεῖ. καὶ παρευθὺ μὲν Βασίλειον προσκαλεσάμενος δέδωκε μιλιαρίσια χιλιάδας κδ' ὡς δῆθεν ψυχικὰ τῆς αὐτοῦ θείας Ζωῆς, ὡς ὁρισθέντα παρ᾿ αὐτῆς οὕτως, καὶ ἀπέστειλεν ἐν Μακεδονίᾳ. καὶ τὸν μὲν Βασίλειον οὕτω τῆς πόλεως ὑπεξήγαγε, τοὺς δὲ λοιποὺς τοὺς τῆς αὐτοῦ βουλῆς μετεσχηκότας καὶ κοινωνήσαντας, Πάρδον μὲν δρουγγάριον τῆς βίγλης ἀποστέλλει πρὸς τὸν Στυπιώτην δῆθεν ἀγαγεῖν αὐτόν, προμηνυθέντος ἐκείνου διὰ βασιλικοῦ πιττακίου τοῦτον δεσμῆσαι· προφασισάμενος δὲ ὁ βασιλεὺς ἀπελθεῖν καὶ δειπνῆσαι εἰς τὸν ἅγιον Λάζαρον, εἰς τὸ καταβάσιον τοῦ τζυγκανιστηρίου, ἔστησεν Ἰωάννην Γαριδᾶν μετὰ καὶ τῶν λοιπῶν τῆς ἑταιρείας ἐν τῷ κουβουκλείῳ, καὶ ἐν τῷ κατέρχεσθαι τὸν βασιλέα κρατήσαντες οἱ μετὰ Ἰωάννου Νικόλαον ἑταιρειάρχην ἐξήγαγον τῆς

TL [F_2]G[m] F_1[E]PH **211** a κρατήσαντες TL [F_2]G[m] F_1[E]PH[K]

---

193 ἐμῷ om. F_2 G καὶ pr. om. F_1 H εἰσὶν : ὦσιν F_1 P H εἴ τι : ὅ τι F_1 ἂν om. H **194** ἀκούσωσι T F_2 F_1 παρὰ Βασιλείου καὶ παρ᾿ (παρ᾿ om. H) ἐμοῦ : παρ᾿ ἐμοῦ καὶ τοῦ (τοῦ : παρὰ F_2 : om. F_1) βασιλείου L F_2 F_1 γράφωσοι T F_1 **194–95** παρευθὺ δὲ : καὶ παρευθὺ P H **195** ἀποστέλλει : ἀποστείλας F_2 : ἀπέστειλεν H **195–96** πρωτοβεστιάριον – κοιτωνίτῃ : καὶ τον κυαίστορα λαρδὰν F_1 (quod corr. in mg. F_1^2) **197** οὖν : δὲ H λόγον om. F_1 **198** πάντα τὰ (τὰ om. F_2) τῆς βουλῆς : τὰ τῆς ἐπιβουλῆς πάντα L **198–99** συμβουλευσαμένους P H **199** ἀριστώντων : ἀριστούντων F_1 P H **199–200** κατελθόντες (κατελθόντος T) – Καλοκύρις : κατελθόντως τοῦ κιαΐστορος (hic add. καὶ τὸν in mg. F_1^2) καλωκυροῦ· καὶ τοῦ χριστοφόρου F_1 **200** διὰ γραφῆς om. F_2 G ἀνέγνωσαν (sic F_2 m) : ἀνέγνω T : ἀνέγνων L P πάντα : ταῦτα F_1 **200–01** μὲν Βασίλειον (βασίλειον μὲν L) προσκαλεσάμενος : μὲν προσκαλεσάμενος βασίλειον G : προσκαλεσάμενος βασίλειον F_2 F_1 **201** post δέδωκε add. αὐτῷ P H (quod exhib. F_2 sub linea) μιλιαρίσια (μιλλιαρίσια F_1 P) : ἀργυρὰ L : νομίσματα χ F_2 (F_1^2 ν(ομίσματα) in mg.) κδ' : κ F_2 G **202** ψυχικὰ : ψυχικῶς F_1 (quod corr. F_1^2 s.l.) : om. F_2 θείας om. F_2 F_1 (quod add. in mg. F_1^2) ὡς (ὡς om. F_2 G) ὁρισθέντα παρ᾿ αὐτῆς οὕτως post Μακεδονίᾳ (**l. 203**) transp. L ὁρισθέντα (F_1 per comp.) : ὁρισθέντος P H παρ᾿ αὐτῆς οὕτως om. F_2 G **203** Μακεδονίᾳ : μακεδώσι F_1 (quod corr. F_1^2) οὕτω (ουᵀ́ F_2) : οὕτως m H **204** ἐξήγαγεν F_2 G m **204–05** τοὺς pr. – καὶ κοινωνήσαντας (καὶ κοινωνήσαντας om. F_2 G) : vide introd. III.3.1.1 **204** αὐτοῦ (αὐτῆς T m) βουλῆς : βουλῆς αυᵀ F_1 (quod corr. F_1^2) βουλῆς μετεσχηκότας : ἐπιβουλῆς μετεσχηκότας P : μετασχηκότας βουλῆς H μετεσχηκότας καὶ om. F_1 **205** Πάρδον : βάρδον L μὲν : δὲ H βίγλας F_2 G F_1 **206** Στυπιώτην (-ππ-/-π- m : -ππ- P) : στουπιώτην ὡς L : στυπιώτην ὡς H **208** ἀπελθεῖν καὶ : ἀπῆλθε τοῦ P **209** τζυγκανιστηρίου : τζουκανιστηρίου T (sic ut vid. T) L : τζηκανηστηρίου F_2 : στυκανιστηρίου G : τζυκανιστηρίου m P : τζουκανιστηρίου F_1 (τζου- corr. in τζυ-) λοιπὸν F_2 F_1 **211** οἱ om. F_2 G ἐξήγαγεν F_2 G

πόλεως. ἀγαγὼν δὲ ἐκ Μακεδονίας Βασίλειον καὶ ἀνακρίνας καὶ τύψας καὶ τὰς τρίχας αὐτοῦ καταφλέξας καὶ ἐν τῇ Μέσῃ θριαμβεύσας ἐξώρισεν ἐν Ἀθήναις, καὶ κακῶς ἐκεῖ τετελεύτηκεν. ὡσαύτως καὶ Νικόλαον ἑταιρειάρχην καὶ Στυλιανὸν καὶ Ἰωάννην καὶ τὴν συγγένειαν πᾶσαν Ζαούτζα τοὺς μὲν ἀπέκειρε, τοὺς δὲ ἐξώρισε, δημεύσας τὴν αὐτῶν οὐσίαν πᾶσαν. οὕτω πᾶσα ἡ συγγένεια Ζαούτζα ἐξωλοθρεύθη διὰ Σαμωνᾶ. **28** πάντας δὲ τοὺς μαγίστρους καὶ τοὺς ἐν τέλει προσκαλεσάμενος ὁ βασιλεὺς ἀνέγνω κατενώπιον αὐτῶν τὰ μηνυθέντα παρὰ Σαμωνᾶ. οἱ δὲ τοῦτον ὑπερεπῄνεσαν ὡς τῆς ζωῆς τοῦ βασιλέως προνοούμενον καὶ εἰρήκασιν ἄξιον εἶναι τιμῆς μεγίστης. ὁ δὲ παρευθὺ τοῦτον τῇ τοῦ πρωτοσπαθαρίου ἀξίᾳ τετίμηκε καὶ προσῳκειώσατο αὐτῷ. **29** ἐτελεύτησε δὲ Ἀντώνιος ὁ πατριάρχης, καὶ ἀντ᾽ αὐτοῦ ἐχειροτονήθη Νικόλαος πατριάρχης, μυστικὸς ὢν τοῦ βασιλέως. **30** παρελήφθη δὲ τὸ κάστρον ἡ Δημητριὰς ἐν τῷ θέματι τῆς Ἑλλάδος ὑπὸ Δαμιανοῦ τοῦ Ἀγαρηνοῦ. **31** Λέων δὲ ὁ βασιλεὺς στέφει Ἄνναν, θυγατέρα Ζωῆς τῆς ἀπὸ τοῦ Ζαούτζα, διὰ τὸ μὴ δύνασθαι ποιεῖν τὰ ἐκ τύπου

§ 29: Antonius II. Cauleas patriarcha obiit 12.2.901, et Nicolaus Mysticus patriarcha factus est 1.3.901 § 30: Demetrias capta est fort. mens. Mart./April. a. 901 (Jenkins 1965, p. 107) vel a. 902 (Ostrogorsky 1957, p. 257) vel a. 897 (Grumel, *EO* 35 (1936), p. 34–36) § 31: fort. ineunte a. 900 (post obitum Zoes et ante nuptias Eudociae Baianes)

§ 29: cf. ps.-Sym. 703.15–16; Vit. Euth. 65.27–32 § 30: cf. ps.-Sym. 703.16–17 § 31: cf. ps.-Sym. 703.18–20

TL [F_2]G[m] F_1[E]PH[K] **222** a τῇ TL [F_2]G[X][m] F_1[E]PH[K] **226** a Λέων TL [F_2]G[X][m] F_1[E]H[K]

212 ἀναγαγῶν T ἐκ Μακεδονίας : ἐν μακεδονίᾳ F_2 H : ἐν μακεδονίας ut vid. K καὶ τύψας καὶ ἀνακρίνας P **213** καταφλέξας : κατακαύσας F_2 G **214** post ἐκεῖ (ἐκεῖσε F_2 G) add. οὗτος P H ἐτελεύτησεν L H **216** Ζαούτζα (sic m) : ζαοῦτζαν T : τζαούτζα F_2 : τζα[… F_1 (τζαούτζα E) : τοῦ ζαουτζᾶ ut vid. P : τοῦ ζαούτζα H : τοῦ τζαούτζαν K ἀπέκειρε : ἀπέκτεινεν F_1 **216–17** τὴν αὐτῶν οὐσίαν : τὴν οὐσίαν αὐτῶν L K : τὰς οὐσίας αὐτῶν F_2 G m : τη[…] αυτ῀ F_1 (τὴν οὐσίαν αὐτῶν E) **217–18** πᾶσαν (ἅπασαν H) – Σαμωνᾶ om. F_2 G **217** οὕτως P συγγένεια (sic in mg. T[3]) : non vid. T[1] : σωτηρία T[2] supra T[1] **217–18** Ζαούτζα (τζαούτζα F_1 K : ζαουτζᾶ P) ἐξωλοθρεύθη (ἐξολοθρεύ ut vid. H) διὰ Σαμωνᾶ : ἐξωλοθρεύθη διὰ σαμωνᾶ τοῦ ζαούτζα· τὸκὸν ὅ, φασιν, ὑπὸ τοῦ κακοῦ L **218–19** συγκαλεσάμενος H **219–20** παρὰ σαμωνᾶ μηνυθέντα L **220** τοῦτον : τὸν τοιοῦτον H **220–21** προνοούμενον : -μένου H : -μενος K **221** μεγίστης τιμῆς L μεγάλης F_1 K post δὲ add. βασιλεὺς F_1 **221–22** τοῦτον παρευθὺ L **222** τῇ τοῦ om. F_1 K **222–23** καὶ προσῳκειώσατο (πρὸςοἰκειώσατο X : προσεἰκειώσατω H) αὐτῷ om. F_2 G **223** αὐτῷ : αὐτὸν X P[pc] (P[2]) : ἑαυ[τ] F_1 Ἀντώνιος : στέφανος T[2] (non vid. T[1]) F_2 G X : ἀντώνιος/στέφανος m (vide introd. III.3.1.1) **223–24** χειροτονεῖται X m F_1 P H K **224** πατριάρχης νικόλαος F_1 **224–25** παρελήφθη : κατεσχέθη F_1 **225** post δὲ add. καὶ F_1 K (m: sic singularia mss.) **225–26** Δαμιανοῦ τοῦ Ἀγαρηνοῦ (ἀγαρηανοῦ L) : ἀγαρϊνοῦ δαμϊανοῦ X **226** θυγατέραν H **227** τοῦ Ζαούτζα (τζαούτζης F_2 : τζαούτζη G : τζαούτζα F_1 K) : τζαούτζαν X ἐκ τύπου : ἐξ ἔθους H

κλητόρια μὴ οὔσης αὐγούστης. **32** ἠγάγετο δὲ ὁ βασιλεὺς κόρην ἐκ τοῦ θέματος Ὀψικίου ὡραιοτάτην πάνυ ὀνόματι Εὐδοκίαν, στέψας καὶ ἀναγορεύσας καὶ γήμας αὐτήν, ἐξ ἧς παιδοποιήσας ἄρρενα παῖδα· ἐφ᾽ ᾧ τετελεύτηκεν καὶ αὐτὴ καὶ τὸ γεννηθέν. **33** ἐξωνήσατο δὲ οἰκήματα Λέων ὁ βασιλεὺς πλησίον τῶν ἁγίων Ἀποστόλων καὶ ἔκτισεν ἐκεῖσε ἐκκλησίαν περικαλλῆ ἐπ᾽ ὀνόματι τῆς προτέρας αὐτοῦ γυναικός, τῆς ἁγίας Θεοφανοῦς. ὡσαύτως ἔκτισεν ἐκκλησίαν εἰς τοὺς λεγομένους Τόπους, τὸν ἅγιον Λάζαρον, κατασκευάσας αὐτὴν μονὴν ἀνδρείαν εὐνούχων, ἔνθα καὶ τὸ τοῦ ἁγίου Λαζάρου σῶμα καὶ Μαρίας τῆς Μαγδαληνῆς ἀνακομίσας ἀπέθετο, ποιήσας καὶ τὰ ἐγκαίνια τῆς αὐτῆς ἐκκλησίας. **34** ἀσχολουμένου δὲ τοῦ στόλου εἰς τὰ κτίσματα τῶν τοιούτων ἐκκλησιῶν παρελήφθη ἐν Σικελίᾳ τὸ Ταυρομένιν ὑπὸ τῶν Ἄφρων τῇ ἀμελείᾳ, μᾶλλον δὲ προδοσίᾳ Εὐσταθίου, δρουγγαρίου τῶν πλοΐμων, καὶ Καραμάλου ἐκεῖσε ὄντος, καὶ Μιχαὴλ τοῦ Χαράκτου, γενομένης πολλῆς σφαγῆς τῶν Ῥωμαίων. ἀνελθόντων δὲ αὐτῶν ἐν τῇ πόλει παρά τε τοῦ βασιλέως καὶ τοῦ πατριάρχου ἐλεγχθέντων παρὰ Μιχαὴλ τοῦ Χαράκτου ὡς προδότων κατεκρίθησαν θανάτῳ. παρα-

---

§ 32: fort. mense Iun. vel Iul. a. 900 **231** Eudocia Baiane obiit 12.4.901 **237–38** ecclesia S. Lazari inaugurata est fort. 4.5.902 (Mango, *BZ* 47 (1954), p. 8) § 34: Tauromenium captum est 1.8.902

---

§ 32: cf. ps.-Sym. 703.21–704.2; Vit. Euth. 63.11–16 § 33: cf. ps.-Sym. 703.7–10 (cf. Vit. Euth. 62.19) § 34: cf. ps.-Sym. 704.6–7

TL [F_2]G[X][m] F_1[E]H[K] **231** a τε]τελεύτηκεν TL [F_2]G[X][m] EH[K] **240** ab Εὐσταθίου TL [F_2]G[X][m] EH

---

228 κλητόρια (sic F_2 K) : κλητώρια G X m : κλειτόρια F_1 : κλητούρια H **229** post θέματος add. τοῦ F_1 H K ὀψικίου T **230** παιδοποιήσας (sic F_2 m) : παίδα ποίησας L : ἐπαιδοποίησεν X F_1 P H K (vide introd. III.2.7, p. 82*) ἄρρενα : ἆρεν ut vid. F_1 παῖδα om. L (sed vide supra) ἐφ᾽ ᾧ : ἐπὶ τῷ τόκῳ δὲ H K : ἀλλὰ X : om. L **231** post γεννηθέν add. παραχρῆμα L δὲ om. E οἰκήματα post βασιλεὺς (**l. 232**) transp. F_2 G **232** Λέων om. F_2 G K καὶ om. F_2 G ἐκεῖσε : ἐκεῖ m H K : om. F_2 G : non adhib. X **234** θεοφανῶ X m H ἐκκλησίαν (sic m) : καὶ X E : ναὸν K : om. F_2 G **235** Τόπους : ἕτερον ναὸν E (signo indicatur aliquid deesse) : τόπους περικαλῆ H αὐτὴν om. F_2 G X ἀνδρῶαν E H K **236** τὸ om. F_2 G τῆς om. E **236–37** post Μαγδαληνῆς add. τῆς ἀδελφῆς αὐτοῦ E **237** post τὰ add. τοιοῦτα H **239** τοιούτων : αὐτῶν E : ἁγίων X : om. L Σικελίᾳ : σιττελία E τὸ Ταυρομένιν (ταυρομένην T : ταυρομένιον L F_2 m H K : μαυρομέριον E) post Ἄφρων (**l. 240**) transp. E : τῶν ταυρομενΐων X **240** post δὲ add. τῇ E δρούγγαρος E **241** post καὶ pr. add. τοῦ E **242** ἀνελθόντων δὲ αὐτῶν : ἀνελθόντες δὲ H **243** post πόλει add. καὶ ἀνακρινομένων E παρά τε (sic m (non adhib. X) : παρὰ F_2 : καὶ ἐνώπιον H) τοῦ βασιλέως καὶ τοῦ πατριάρχου : om. L ἐλεγχθέντες H **244** ὡς προδότων (ὡς προδόται H : om. E : non adhib. X) ante ἐλεγχθέντων (**l. 243**) exhib. L **244** θανάτω κατεκρίθησαν L **244–45** παρακληθέντος δὲ (καὶ παρακληθέντος H) τοῦ βασιλέως : παρακληθεὶς δὲ ὁ βασιλεὺς E : παρὰ τοῦ βασιλέως· παρακληθέντος δὲ L

κληθέντος δὲ τοῦ βασιλέως παρὰ Νικολάου πατριάρχου τὸν θάνατον συνεχωρήθησαν, τυφθέντες μόνον καὶ δημευθέντες καὶ ἀποκαρέντες μοναχοί, ὁ μὲν Καράμαλος εἰς τὰ Πικριδίου, ὁ δὲ Εὐστάθιος εἰς τὴν μονὴν τῶν Στουδίου. **35** παρελήφθη δὲ καὶ ἡ Λῆμνος ἡ νῆσος ὑπὸ τῶν Ἀγαρηνῶν αἰχμαλωσίαν πολλὴν πεποιηκότων. **36** ἐν τῇ προελεύσει δὲ τῆς Μεσοπεντηκοστῆς τοῦ βασιλέως Λέοντος ἀπελθόντος εἰς τὸν ἅγιον Μώκιον καὶ εἰσοδεύοντος, ὅτε ἦλθε πλησίον τῆς σολέας, ἐξελθών τις ἐκ τοῦ ἄμβωνος δέδωκεν αὐτὸν κατὰ κεφαλῆς μετὰ ῥάβδου ἰσχυρᾶς καὶ παχείας, καὶ εἰ μὴ ἡ φορὰ τῆς ῥάβδου εἰς πολυκάνδηλον ἐμποδισθεῖσα διεχαυνώθη, παρευθὺ ἂν τοῦ ζῆν τοῦτον ἀπήλλαξεν. τοῦ δὲ αἵματος σφοδρῶς καταρρέοντος ἐκ τῆς τοῦ βασιλέως κεφαλῆς ταραχή τε καὶ φυγὴ τῶν ἀρχόντων γέγονε, καὶ πολλοὶ ἐν ταύτῃ ἀπώλοντο. **37** ὁ δὲ ἀδελφὸς αὐτοῦ Ἀλέξανδρος προεφασίσατο νοσηλεύεσθαι καὶ οὐ κατῆλθεν ἐν τῇ εἰσόδῳ, ὡς ἐκ τούτου ὕποπτον αὐτὸν γενέσθαι τὴν τοιαύτην ἐπιβουλὴν αὐτὸν κατασκευάσαι. οὔτε ὁ Σαμωνᾶς παρῆν ἐκεῖ, ἀλλ᾽ ἦν ἀπελθὼν ἀγαγεῖν Ζωὴν ἐν τῷ παλατίῳ πρὸς τὸ συνεῖναι τῷ βασιλεῖ. κρατηθέντος δὲ τοῦ δόντος τὸν βασιλέα καὶ ἐξετασθέντος καὶ πολλὰς βασάνους καὶ τιμωρίας ὑπομεμενηκότος ἐπὶ πολλὰς ἡμέρας, ἐπεὶ μηδένα καθωμολόγει, τέλος ἐκκοπεὶς αὐτοῦ χεῖρας καὶ πόδας ἐκάη ἐν τῇ τοῦ ἱππικοῦ Σφενδόνῃ· καὶ ἔκτοτε ἐξεκόπη ἡ τοιαύτη προέλευσις. **38** μετὰ δέ τινα καιρὸν ἀνῆλθε Μάρκος ὁ σοφώτατος οἰκονόμος τῆς αὐτῆς ἐκ-

§ 35: Lemnus insula capta est a. 902 **250** 11.5.903

§ 35: cf. ps.-Sym. 704.8–9 § 36–38: cf. ps.-Sym. 704.10–705.10; Vit. Euth. 67.1–30

TL [F_2]G[X][m] EH

245 Νικολάου : τοῦ H **246** συνεχώρησε E τυφθέντες : τυφθέντες δὲ G : τυφλωθέντες E δημευθέντες : κουρευθέντες H **246–47** μοναχῶς E **247–48** ὁ δὲ Εὐστάθιος εἰς τὴν μονὴν τῶν (τοῦ L F_2 : τῶν/τὰ m : non adhib. X) Στουδίου om. H (τῶν Στουδίων E) **248** παρελήφθη : κατεσχέθη E post δὲ add. τότε H ἡ pr. om. E **250** πεντηκοστῆς F_2 H Λέοντος om. E H **251** ἦλθε – σολέας : πλησίον τῆς σολαίας ἔφθασεν X **252** δέδωκεν : ἔπληξεν H αὐτὸν : αὐτῷ E post κατὰ add. τῆς E H **253** post εἰς add. τὸ F_2 X E **254** διεχαυνώθη, παρευθὺ : καὶ χαυνωθεῖσα παρ᾽αὐτίκα E ἂν : οὖν F_2 G τοῦ ζῆν (τοῦ ζῆν om. F_2 G) τοῦτον ἀπήλλαξεν : ἀπηλάγη οὗτος τοῦ ζεῖν E **255** τε : δὲ F_2 G : om. X **256** γέγωνε τῶν ἀρχόντων H ἐν ταύτῃ : ἐνταῦθα E **257–58** καὶ οὐ κατῆλθεν om. H **258** τούτου : τοῦτο E αὐτὸν om. H **259** αὐτὸν : αὐτῶν T **259–60** οὔτε (οὔτε δὲ E : οὔτε γὰρ H) ὁ Σαμωνᾶς (σαρμονᾶς T) – τῷ βασιλεῖ (τὸν βασιλέα H) om. L **260** post Ζωὴν add. τὴν καρβονοψίαν E πρὸς – βασιλεῖ om. F_2 G post συνεῖναι add. αὐτὴν E **261** κρατηθέντος – δόντος : κρατηθεὶς δὲ ὁ πλήξας H καὶ ἐξετασθέντος om. H **262** ὑπομεμενηκὼς H πολλαῖς ἡμέραις L **263** αὐτοῦ om. E H ἐκάη : ἐκαύθη E (quod transp. post Σφενδόνῃ (**l. 264**)) **265** φιλοσοφώτατος F_2 G **265–66** post ἐκκλησίας add. ὢν G

κλησίας, ὃς ἦν ἀναπληρώσας τοῦ Μεγάλου Σαββάτου τὸ τετραῴδην τοῦ κυροῦ Κοσμᾶ, καὶ ἐν τῇ τραπέζῃ τῷ βασιλεῖ συνεστιώμενος ἐξελιπάρει τὸν βασιλέα μὴ ἐκκοπῆναι τὴν ἑορτήν. τοῦ δὲ βασιλέως ἀπαναινομένου ἔφη ὁ Μάρκος, ὅτι προγεγραμμένον ἦν παρὰ τοῦ προφήτου Δαυὶδ τοῦ παθεῖν σε τοῦτο, ὦ δέσποτα. προεφήτευσε γὰρ εἰπών· ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου. καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου. καὶ δεῖ σε, ὦ δέσποτα, ἀπὸ τοῦ νῦν κρατῆσαι τὴν βασιλείαν ἔτη δέκα· ὃ δὴ καὶ γέγονε· τῇ γὰρ αὐτῇ ἡμέρᾳ, ἐν ᾗ καὶ ἔλαβε, τῇ αὐτῇ καὶ τελευτᾷ. **39** ἦν δὲ Ζωὴ ἡ τετάρτη γυνὴ τοῦ βασιλέως ἐν τῷ παλατίῳ μετὰ τοῦ βασιλέως ἄστεπτος. **40** τοῦ δὲ βασιλέως πρόκενσον ποιησαμένου εἰς τὸ ἐμπόριον τῶν Βουτίου πρὸς τὸ ἐγκαινίσαι τὴν μονὴν Χριστοφόρου πρωτοβεστιαρίου αὐτοῦ ἦλθεν ἀγγελία, ὡς ὅτι ὁ στόλος τῶν Ἀγαρηνῶν ἅμα τῷ Τριπολίτῃ ἀνέρχονται κατὰ Κωνσταντινουπόλεως. ἀποστέλλει οὖν ὁ βασιλεὺς Εὐστάθιον δρουγγάριον τῶν πλοΐμων μετὰ παντὸς τοῦ στόλου καὶ τῶν στρατηγῶν κατὰ τοῦ Τριπολίτου, οἱ μὴ δυνηθέντες ἀντιπαρατάξασθαι ἀπεστράφησαν κενῶς. ἦλθεν δὲ ὄπισθεν αὐτῶν ὁ Τριπολίτης καὶ εἰσῆλ-

---

§ 40: a. 904

270–71 ὅσα – σου: Ps. 73(74).3–4 (ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν εἰς τέλος, ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου. καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου, ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα καὶ οὐκ ἔγνωσαν.) § 39: cf. ps.-Sym. 705.11–12 **278–79** ὁ – Κωνσταντινουπόλεως: cf. ps.-Sym. 705.13–14 **279** ἀποστέλλει – § 41: cf. ps.-Sym. 707.11–708.3

TL [F_2]G[X][m] EH

---

266 τοῦ (τῶι ut vid. G[ac]) – τὸ (τῶ T) τετραῴδην : τὸ τετραδίω τοῦ μεγάλου σαββάτου E τετραῴδην : τετράδιον H : fort. scrib. τετραῴδιν (sic in app. Tafel) **267** τοῦ βασιλέως E συνεσθιώμενος F_2 X **269** ὅτι : ὡς E προγεγραμμένον (-ον supra -ω E) : προεγγεγραμμένον (-α F_2) F_2 G **270** γὰρ : δὲ E : om. F_2 G **271** post ἐχθρὸς add. σου H σου om. G **272** δεῖ : δῆ T H (δεῖ σε : δῆ σαι H) ὦ δέσποτα post νῦν transp. F_2 G : post κρατῆσαι transp. X **273** τῆς βασιλείας X H τῇ (sic X, sed aliter) : ἐν L F_2 G m E καὶ alt. om. E **274** τῇ : ἐν G E post τελευτᾷ add. μετὰ δέκα χρόνους L ἡ om. E **274–75** τοῦ βασιλέως γυνὴ H **274–75** post βασιλέως add. ἡ καρβωνοψὶς ἄστεπτος E **275** μετὰ om. E ἄστεπτος : ἀστεφής L : om. E (sed vide supra) **275–76** πρόκενσον δὲ τοῦ βασιλέως E **276** πρόκευσον H ποιήσαντος H ἐμπορεῖον T τῶν : τοῦ E Βουτίου : βουτίων F_2 : βωτίου G : non adhib. X **277** ἀνακαινίσαι E Χριστοφόρου (χριστοφόρου τοῦ L) – αὐτοῦ : τοῦ πρωτοβεστιαρίου αὐτοῦ χριστοφόρου E post αὐτοῦ add. ἥτις ἐπὸνόματι τῆς θεομήτορος παρ᾽ αὐτοῦ καθιδρύσθη L **278** ὁ om. E H **278–79** ἀνέρχονται (quod post Κωνσταντινουπόλεως (**l. 279**) transp. F_2 : ἀνέρχωνται T) : ἀνέρχεται m E H : ἀπέρχεται X **279** post κατὰ add. τῆς E **280** τῶν πλοΐμων (sic F_2 X) : τοῦ πλοΐμου T m H **281** οἳ : εἰ E ἀντιπαρατάξασθαι : ἀντὶ τοῦ παρατάξασθαι T **281–82** ἀντεστράφησαν E **282** κενοί m E H δὲ om. E ὄπισθεν : κατόπιν L : ἔμπροσθεν F_2 G : non adhib. X m ὁ Τριπολίτης om. F_2 G **282–83** εἰσῆλθεν : ἦλθεν H

θεν ἔνδοθεν τῆς Ἀβύδου μέχρι Παραίου. τοῦτο μαθὼν ὁ βασιλεὺς ἐν μεγάλῃ ἀθυμίᾳ καὶ περιστάσει γέγονε καὶ ἀποστέλλει Ἱμέριον πρωτασηκρῆτιν κεφαλὴν τοῦ στόλου κατὰ τοῦ Τριπολίτου, μὴ τολμώντων μηδόλως πλησιάσαι τῷ στόλῳ τῶν Ἀγαρηνῶν. τοῖς δὲ τοῦ Θεοῦ κρίμασιν ἀντεστράφη ὁ αὐτὸς Λέων ὁ Τριπολίτης καὶ ἀπῆλθεν ἐν Θεσσαλονίκῃ καὶ ταύτην ἐπολιόρκησε καὶ παρέλαβεν ἅμα τῷ στρατηγῷ αὐτῶν Λέοντι τῷ Χατζιλακίῳ, ποιήσας πολλὴν σφαγὴν καὶ αἰχμαλωσίαν. **41** Ῥοδοφύλλης δέ τις κουβικουλάριος ἦν ἀποσταλεὶς ἐν Σικελίᾳ διὰ χρείαν τινὰ ἔχων μεθ' ἑαυτοῦ χρυσίον λίτρας ρ'. νοσήσας δὲ κατὰ τύχην ἐν τῇ ὁδῷ εἰσῆλθεν ἐν Θεσσαλονίκῃ πρὸς τὸ λούσασθαι καὶ ἀνακτήσασθαι ἑαυτὸν καὶ ἐκρατήθη παρὰ Λέοντος. διερχόμενος δὲ Συμεὼν ἀσηκρῆτις, ὁ μετὰ ταῦτα γεγονὼς πατρίκιος καὶ πρωτασηκρῆτις, ἀνελάβετο τό τε χρυσίον καὶ τὰ δῶρα, ἅπερ εἴασε Ῥοδοφύλλης ἐν τῇ ὁδῷ, δι' ἃ πολλὰ βασανισθεὶς ἐτελεύτησεν. τοῦ δὲ Τριπολίτου βουλομένου τὴν πόλιν καταστρέψαι μαθὼν Συμεὼν δηλοῖ αὐτῷ λαβεῖν χρυσίον καὶ ταύτην ἐᾶσαι· ὃν καὶ πείσας καὶ λαβὼν λόγον συνεφώνησε δοῦναι τὸ χρυσίον τῷ Τριπολίτῃ τοῦ τὴν πόλιν ἐᾶσαι· ὃ δὴ καὶ γέγονε. **42** Σαμωνᾶς δὲ προφασισάμενος ἐπὶ τὴν μονὴν αὐτοῦ τὰ Σπεῖρα

---

288 Thessalonica capta est 31.7.904 § 42: fuga Samonae fort. mense April. a. 904 vel mense April. a. 905

---

§ 42–44: cf. ps.-Sym. 708.4–18

TL [F_2]G[X][m] EH

---

283 ἔνδοθεν τῆς Ἀβύδου om. F_2 G τῆς Ἀβύδου μέχρι : μέχρι τῆς ἀβύδου καὶ τοῦ H Παραίου (sic X) : τοῦ παλαίου F_2 : παρείου m H : καὶ τοῦ παρίος E **284** καὶ περιστάσει om. F_2 G ἡμέριον T E **284–85** πρωτασηκρῆτιν : πρωτασικρίτην T G (ἇσικρίτην G) : ἀσυγκρίτην F_2 : πρωτασεγκρΐτην X : πρωτασυγκρίτην E H **285** τολμώντων (sic m) : τολμώντω T : τολμώντες δὲ F_2 : τολμῶντος δὲ X : τολμῶντες E : τολμόντα H **286** μηδόλως om. E τοῦ στόλου E **287** ἀντεστράφη (sic m) : ἀπεστράφη F_2 G X H Λέων ὁ om. E **288** ταύτην : ταῦτα E ἐπολιόρκησε : ἐπιόρκισε T **289** αὐτῶν : αὐτοῦ G : om. F_2 X E Χατζιλακίῳ (-ηλα- H) : χατζηλικίῳ F_2 G X (-ιλι- G) : χαζατζηλάκη E καὶ ποιήσας F_2 G **290** Ῥοδοφύλλης : ῥοδοφύλης T H : ῥοδοφύλις G : ῥωδοφύλλος E κουβουκουλάριος E **290–91** ἐν Σικελίᾳ om. E H **291** τινα χρείαν E μετ' αὐτοῦ E ρ' : χιλιάδας ρ ut vid. H **293** ἑαυτὸν : αὐτὸν F_2 H post Λέοντος add. τοῦ τριπολίτου· μαθὼν ὅτι χρυσίον ὁ ῥωδοφύλλης ἐπιφέρεται· πολλὰ βασανίσας ἀπέκτεινε, μὴδὲν ἔχειν διατι(?)νόμενον· ἔτυχε γὰρ τοῦτο ἐν τῇ ὁδῷ, ἀπολιπών L δὲ om. F_2 G **294** ἀσηκρῆτις : ἀσικρίτης T : ἀσυγκρίτης F_2 E H : ἇσικρη^{τ} G (fort. pro πρωτασικρήτις) : ἀσηκρίτης/ἀσηκρήτης m : non adhib. X ὁ – πρωτασηκρῆτις om. T L πρωτασηκρῆτις (πρωτασηκρῆτις/πρωτασηκρήτης m) : ασυκρίτης F_2 : ἇσικρη^{τ} G (fort. pro πρωτασικρήτις) : πρωτοἀσυγκρίτης E : πρωτασυγκρίτης H : non adhib. T L X **295** ἀνελάβετο τό : ἀνέλαβε τὲ τὸ E Ῥοδοφύλλης : ῥοδοφύλλος E : ῥοδοφύλης T G H **296** δι' ἃ : καὶ F_2 G m : διὰ τοῦτο H : non adhib. X πολλῆς E **297** post μαθὼν add. δὲ E αὐτῷ : αὐτὸν G E : αὐτὸ H **298** ταύτην : ταῦτα E **298–99** ὃν – ἐᾶσαι om. X m E (homoeotel.) (vide introd. III.3.1.1) **299** τὸ om. F_2 G τῷ : τὸ H

ἐξελθεῖν, τὴν ἐν τῷ Δαματρὺ οὖσαν, φυγῇ ἐχρήσατο ἅμα χρήμασι καὶ ἵπποις αὐτοῦ, τοὺς ἵππους τοὺς δημοσίους κατ᾽ ἀλλαγὴν ἀγκυλοκοπῶν. τοῦτο μαθὼν ὁ βασιλεὺς ἀποστέλλει ὄπισθεν αὐτοῦ Βασίλειον ἑταιρειάρχην, τὸν Καματερόν, καὶ Γεώργιον τὸν Κρηνίτην τοῦ καταλαβεῖν αὐτόν. τοῦ δὲ Σαμωνᾶ τὸν Ἅλυν βουλομένου διαπερᾶσαι κατέλαβεν αὐτὸν Νικηφόρος δρουγγάριος, ὁ λεγόμενος Καμινᾶς, οὐκ ἐῶν αὐτὸν διαπερᾶσαι. ἐπεὶ δὲ πολλὰ ὁ Σαμωνᾶς ὑπισχνεῖτο καὶ οὐκ ἔπειθεν, προσέφυγεν εἰς τὸ Σιριχᾶ εἰς τὸν τίμιον σταυρὸν προφασισάμενος, ὡς διὰ πίστιν τοῦ σταυροῦ ἐληλύθει. **43** καταλαβὼν οὖν Κωνσταντῖνος ὁ τοῦ Δουκὸς καὶ τοῦτον ἀναλαβόμενος ὑπέστρεψεν ἐν τῇ πόλει. προσέταξε δὲ ὁ βασιλεὺς αὐτὸν μὲν φυλάττεσθαι ἐν τῇ οἰκίᾳ Βάρδα τοῦ καίσαρος. ἠρώτησε δὲ Κωνσταντῖνον τοῦ Δουκὸς περὶ αὐτοῦ καὶ μαθών, ὡς ἀληθῶς ἐν Συρίᾳ ἔφευγε, παρηγγύησε τῷ Δουκὶ μὴ εἰπεῖν τοῦτο ἐνώπιον τῆς συγκλήτου, ὅτε παρ᾽ αὐτοῦ ἐρωτηθῇ, ἀλλ᾽ ὅτι δι᾽ εὐχὴν ἀπῆλθεν ἐν τῷ Σιριχᾷ· ἤθελε γὰρ ὁ βασιλεὺς ἀποσυνοψισθῆναι αὐτῷ. **44** προσκαλεσάμενος οὖν Κωνσταντῖνον τοῦ Δουκὸς ἔμπροσθεν τῶν ἐν τέλει ἔφη· οὕτως ἔχεις Θεὸν καὶ τὴν κεφαλήν μου· ἔφευγεν ὁ Σαμωνᾶς ἢ οὐχί; ὁ δὲ ὡς εἰπὼν πρότερον τῷ βασιλεῖ μὴ ὁρκισθῆναι καὶ τὸ κελευόμενον εἰπεῖν, ἀκούσας τοὺς ὅρκους ἐξεῖπεν ἐνώπιον πάντων, ὅτι εἰς Συρίαν ἔφευγε. μετ᾽ ὀργῆς δὲ τοῦ βασιλέως τοῦτον ἀποπεμψαμένου ἐποίησε Σαμωνᾶς μῆνας τέσσαρας ἐν τῷ οἴκῳ τοῦ Βάρδα. ἀποσυνόψισε δὲ ἐν τῇ αὐτοκρατορίᾳ τοῦ βασιλέως. **45** ἐφάνη δὲ τότε καὶ κομήτης ἀστὴρ

---

§ 45: cometes visus est fort. a 16.5.905

---

§ 45: cf. ps.-Sym. 708.19–21

TL [F_2]G[X][m] EH

---

301 διελθεῖν E Δαματρὺ : δαματρὶ E : δαματρύη H **302** κατ᾽ : εἰς L **302–03** ἀγκυλοκοπῶν : ἀγκυλοκόπτων F_2 : ἀγκυλοκόπων G : ἀγκυλοκοποῦσιν X **303** τοῦτο μαθὼν : του^{τ} F_2 : τοῦτον μαθὼν G ὄπιθεν T **304** Καματερόν : καματηρόν L F_2 X m E H Κρηνίτην : κρηνήτην L X : κρινήτην F_2 E H : κρινίτην G : κρηνήτην/κρηνίτην/κρινήτην m **305** τὸν Ἅλυν (τὸν Ἅλυν : ἄλλην E) βουλομένου : βουλομένου τὸν ἄλην H **306** οὐκ ἐῶν : καὶ οὐκ ἐᾷ E **307** δὲ πολλὰ ὁ Σαμωνᾶς (sic m) : δὲ ὁ σαμωνᾶς πολλὰ F_2 G E H : πολλὰ δὲ ὁ σαμωνὰς X post ὑπισχνεῖτο add. αὐτῶ L **308** τὸ Σιριχᾶ : τὸν σιριχᾶ T : τὸν σιριχὰ L : τ(…) συριχὰ F_2 : τὸ σιριχὰ G : τὸ συραχᾶ X : τὸ σιριχᾶ/συραχᾶ/σύριχα m : τὰ συριχὰ E : τὸν ῥιχᾶν H **309** οὖν om. E **310** δοκὼς H **311** δὲ bis exhib. E **311–12** οἰκίᾳ Βάρδα (βάρδου E) τοῦ καίσαρος : τοῦ βάρδα καίσαρος οἰκεία H **312** post δὲ add. τὸν T E δοκὸς H **313** ἔφυγεν F_2 X E παρηγγύησε : παρεγγύησε F_2 E : παρεγγείλατο X τοῦτο : αὐτῷ H **314** ἠρωτήθη E ἀλλ᾽ ὅτι : ἀλλὰ E **315** Σιριχᾷ : συραχά X : ῥιχᾷ H ἤθελε (ἦλθε F_2 X) γὰρ : ἦλθεν δὲ E αὐτὸν E **316** τοῦ Δουκὸς : τὸν τοῦ δουκὸς L X : τὸν δοῦκαν E H **317** ἔχεις : ἔχης τὸν F_2 : ἔχεις τὸν E : ἔχει τὸν H μου : σου L ἔφυγε L F_2 X οὔ E **318** εἶπεν F_2 G **320** ἔφυγε L F_2 X **321** μῆνας τέσσαρας (τέσσαρα E) post Βάρδα (βάρδου E) transp. E ἀποσυνόψισε (ἀπω- L) : ἀπεσυνόψισεν F_2 G X m E : ἀποσυνώψειζε H **321–22** ἀποσυνόψισε – βασιλέως : καὶ πολλὰ ἀπεσυνόψισεν E **322** post καὶ (καὶ om. E) add. ὁ (ὠ F_2) F_2 G

τὰς ἀκτῖνας ἐπὶ ἀνατολὴν πέμπων καὶ φαινόμενος ἐν ἡμέραις καὶ νυξὶ τεσσαράκοντα. **46** γέγονε δὲ Σαμωνᾶς πατρίκιος ἀπὸ τῆς αὐτοῦ φυγῆς. **47** ἐγέννησε δὲ Λέων υἱὸν Κωνσταντῖνον ἀπὸ Ζωῆς, τῆς τετάρτης αὐτοῦ γυναικός. ἐβαπτίσθη δὲ τὰ ἅγια Φῶτα ὑπὸ Νικολάου πατριάρχου ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ, δεξαμένων αὐτὸν Ἀλεξάνδρου βασιλέως καὶ Σαμωνᾶ πατρικίου καὶ τῶν ἐν τέλει πάντων. **48** γέγονε δὲ καὶ ἡ Κύφη γηροκομεῖον τότε διωχθεισῶν τῶν ἑταιρίδων. **49** εὐλογήθη δὲ Λέων ὁ βασιλεὺς καὶ Ζωὴ μετὰ τὴν ἑορτὴν παρὰ Θωμᾶ πρεσβυτέρου, ὃς καὶ καθῃρέθη. ἀνηγόρευσε δὲ τὴν αὐτὴν Ζωὴν εἰς αὐγούσταν, καὶ διὰ τοῦτο τὸν βασιλέα ὁ πατριάρχης ἐκώλυσεν εἰς τὴν ἐκκλησίαν εἰσέρχεσθαι· ὅθεν διήρχετο ἀπὸ τοῦ δεξιοῦ μέρους μέχρι τοῦ μητατορικίου, μηδόλως εἰς τὰ κατὰ συνήθειαν διερχόμενος. **50** προεβλήθη δὲ Σαμωνᾶς παρακοιμώμενος διὰ τὸ εἶναι τῷ βασιλεῖ συνεργὸς πρὸς πᾶσαν παρανομίαν καὶ κακίαν, καὶ κατὰ τῆς ἐκκλησίας ἤρξατο μελετᾶν· προσκαλεσάμενοι γὰρ Νικόλαον πατριάρχην Φεβρουαρίου μηνὸς πρώτῃ καὶ πολλὰ

---

§ 47: Constantinus VII. Porphyrogenitus natus est fort. 17./18.5.905 vel fort. mense Sept. eiusdem anni (sic Jenkins, *DOP* 19 (1965), p. 109) et baptizatus est 6.1.906 § 49: Leo VI. Zoem Carbonopsinam uxorem duxit fort. mense April. exeunte vel ca. mensem Iun. a. 906 **336–42** Nicolaus patriarcha abdicavit 1.2.907, et Euthymius patriarcha factus est fort. exeunte mense Feb. a. 907

---

§ 46–47: cf. ps.-Sym. 708.22–709.2; Vit. Euth. 71.8–26 (§ 47) § 49: cf. ps.-Sym. 709.3–8; Vit. Euth. 109.32–111.1; 113.14–27; cf. etiam 75.15–25; 71.27sqq.; 75.25sqq. § 50: cf. ps.-Sym. 709.9–21; Vit. Euth. 83.22–104.11

TL [F_2]G[X][m] EH

---

323 ἀνατολὴν (ἀνα^{τλ} F_2) : ἀνατολὰς X : ἀνατολῆς H φαινόμενος : φαινόμενον L : φαινομένας F_2 : φερόμενος X **324–25** γέγονε – φυγῆς om. F_2 G **325** δὲ om. G υἱὸν (υἱῶν T) – Ζωῆς : ἀπὸ τῆς ζωῆς τῆς καρβωνοψίδος E **326** post γυναικός (γαμετῆς G) add. παίδα E ἐβαπτίσθη δὲ : καὶ ἐβαπτίσθη E τοῖς ἁγίοις φώτοις H **327** post ἐκκλησίᾳ add. ὀνομασθεὶς κωνσταντίνος E δεξαμένων αὐτὸν (αὐτῶν T F_2) : δεξαμένου αὐτὸν X H ἀλέξανδρος ὁ βασιλεὺς E (Ἀλεξάνδρου βασιλέως per comp. F_2 G) **328** σαμωνᾶς F_2 G E **328–29** πατρικίου (πατρίκιος G E) – ἑταιρίδων om. F_2 **328–29** γέγονε – ἑταιρίδων om. L G (cf. supra F_2 : quod exhib. X m) **328** ἡ Κύφη : ἡ κύφει T : οἱ κύφοι E **329** διωχθεὶς E **329–30** εὐλογήθη – βασιλεὺς : γέγονεν δὲ τὸν βασιλέα εὐλογηθῆναι G : ἐγένετο δὲ τὸν βασιλέα εὐλογηθῆναι F_2 **329** δὲ om. T L **330** καὶ Ζωὴ (sic X) : μετὰ ζωῆς F_2 G m : om. spatio relicto L post μετὰ add. δὲ E καὶ alt. om. F_2 G H **331** εἰς om. L E **332** τὸν – ἐκώλυσεν : τὸν βασίλειον ἐκώλυσεν ὁ πατριάρχης E : ἐκόλλησεν ὁ πατριάρχης τὸν βασιλέα H ἐκώλυσεν post ἐκκλησίαν transp. F_2 G εἰσέρχεσθαι εἰς τὴν ἐκκλησίαν H post ἐκκλησίαν add. μὴ E **333** ἀπὸ (sic F_2 X m) : ἐπὶ T L μέχρι τοῦ μητατορικίου (μηταρικίου T : μιτατωρικῖου L : μιτατορίου F_2 : μιτατορικίου G : μητατωρικίου m : μιτατωρίου E) om. X τὰ : τὴν E **334** post δὲ add. ὁ L **335** συνεργὸς : συνεργῶς T : συνεργὸν F_2 **336** καὶ alt. – ἐκκλησίας hic om. E (vide infra) ἤρξατο (sic F_2 X m) : ἤρξαντο (εἴρξαντο T) T H post ἤρξατο add. δὲ κατὰ τῆς ἐκκλησίας E (cf. supra) προσκαλεσάμενοι ((F_2 per comp.) sic X m) : προσκαλεσάμενος T H **337** γὰρ : δὲ E Φεβρουαρίου (H per comp. : φευρουαρίω F_2) μηνὸς πρώτῃ : φευρουαρίω μηνὶ α' X : μηνὶ φευρουαρίω, πρώτη m E πρώτῃ : πρῶτην T : τῇ α L

λιπαρήσαντες δεχθῆναι, ἐπεὶ πεῖσαι οὐκ ἠδυνήθησαν, ἀπὸ τοῦ κλητορίου διὰ τοῦ Βουκολέοντος ἐν πλοίῳ μικρῷ ἐμβιβάσαντες διεπέρασαν ἐν τῇ Ἡρίᾳ, ἀφ᾽ ἧς πεζῇ μέχρι Γαλακρινῶν μόλις ἀπήει, χιόνος ἐπικειμένης πολλῆς. χειροτονεῖται δὲ ἀντ᾽ αὐτοῦ Εὐθύμιος σύγκελλος εἰς πατριάρχην, ἀνὴρ ἱεροπρεπὴς ἐγκρατής τε καὶ εὐλαβὴς πάνυ· ὅν φασιν καταδέξασθαι τοῦτο ἐξ ἀποκαλύψεως θείας, ὡς τοῦ βασιλέως βουλευομένου αἵρεσιν καὶ νόμον ἐκθεῖναι τοῦ ἔχειν ἄνδρα τρεῖς γυναῖκας καὶ τέσσαρας, πολλῶν εἰς τοῦτο λογιωτάτων ἀνδρῶν συνεργούντων αὐτῷ. **51** Ἰουνίῳ δὲ μηνὶ προσεκλήθη Λέων ὁ βασιλεὺς παρὰ Κωνσταντίνου τοῦ Λιβὸς ἐν τῇ μονῇ αὐτοῦ τῇ οὔσῃ ἐν τῷ Μερδοσάγαρι τοῦ ποιῆσαι τὰ ἐγκαίνια καὶ ἀριστῆσαι. καὶ γέγονεν ἄνεμος ὁ λεγόμενος Λίψ, ἕως τρίτου σφοδρῶς φυσήσας συσσείσας τε καὶ δονήσας οἰκήματα καὶ ἐκκλησίας, ὥστε πάντας φεύγειν ἐν ὑπαίθροις τόποις λέγοντας συντέλειαν κοσμικὴν εἶναι, εἰ μὴ ἡ τοῦ Θεοῦ φιλανθρωπία δι᾽ ὄμβρων ἔπαυσε τὴν τοιαύτην θραῦσιν. **52** προεβάλετο δὲ ὁ βασιλεὺς Ἱμέριον, λογοθέτην τοῦ δρόμου, κεφαλὴν πάντων τῶν πλοΐμων ἐξελθόντος τοῦ στόλου τῶν Ἀγαρηνῶν κατὰ Ῥωμαίων. ἐδέξατο δὲ καὶ Ἀνδρόνικος ὁ Δοὺξ διὰ κελεύσεως συνεισελθεῖν Ἱμερίῳ λογοθέτῃ ἐν τοῖς πλοίοις καὶ καταπολεμῆ-

---

§ 51: mense Iun. a. 907 § 52: expeditio Himerii logothetae a. 905 (Jenkins, *DOP* 19 (1965), p. 110–111) vel 906 (Tougher 1997, p. 209, n. 99)

---

§ 51: cf. ps.-Sym. 709.22–710.3 § 52–53: cf. ps.-Sym. 710.4–17; Vit. Theoctistae 225D–E; De Cerim. II.44

TL [F_2]G[X][m] EH

---

339 ἐν : ἐμ T (sic ut vid. T) G ἐπιβάσαντες H **340** δϊεπέρασεν E Ἡρίᾳ scripsi : ἱρίᾳ T G : ἠρίᾳ L m H : ὀρεία F_2 : ἰρίᾳ X : ἱερεῖα E πεζῇ : πεζοὶ E Γαλακρινῶν : γαλακρηνῶν L : γαλακρίνων G : γαλαγγρινῶν H μόλις : σὺν μόχθῳ H ἀπήει : ἀπίει F_2 : ἀπείη X E H : ἀπίη m **341** δὲ om. F_2 H **342** εἰς πατριάρχην : πατριάρχης E : om. F_2 G post πατριάρχην add. ὃς καὶ τὸν πορφυρογένητον στέφει κωνσταντῖνον ἐν τῇ τῆς πεντηκοστῆς ἡμέρᾳ H ἐγκρατής τε (τε : δὲ G : om. F_2) om. X εὐλαβὴς : εὐσεβὴς H **343** τοῦτο : τοῦτον X E H ἐξ om. F_2 G X θείας – βασιλέως om. F_2 H (homoeotel.) **343–44** βουλομένου E H **344** νόμῳ E ἐκθεῖναι : θῆναι L ἄνδρα : ἄνδρας F_2 X : τὸν ἄνδρα E **344–45** τρεῖς γυναῖκας (γυναῖκας τρεῖς X m) καὶ (ἢ καὶ H : ἢ F_2 G X m) τέσσαρας : τρεῖς καὶ τέσσαρας γυναῖκας L **345** εἰς τοῦτο : ἐν τούτωι L λογιωτάτων : λογϊκοτάτων E : ἁγίων H αὐτῷ : αὐτὸν F_2 G **346** Ἰουνίῳ (-ου fort. H) δὲ μηνὶ : ἰουνίου δὲ μηνὸς F_2 E προεβλήθη E **347** λιμὸς H τῷ : τῇ E Μερδοσάγαρι (-η H) : μερδωσάγαρι T : μερδησάγαρϊ E τοῦ alt. (sic F_2) : τοῦτο G : ταύτης X : τοῦ τε m **348–49** Λίψ, ἕως τρίτου (τρίτου του H) : λίψεως· τρίτον E **349–50** οἰκήματα καὶ ἐκκλησίας : τὰ θεμέλια τῶν οἰκημάτων καὶ τῶν ἐκκλησιῶν H **350** πάντας : πᾶντα T : πάν πάντας H **351** ἡ om. E **352** θραῦσιν : καταιγίδα L προεβάλλετο F_2 G X m H Ἱμέριον : ἡμέριον T H : ἡμέρην L **353** post δρόμου add. καὶ L κεφαλὴ E πλοίων E ἐξελθόντος τοῦ (τοῦ (sic X m) : δὲ τοῦ F_2 : δὲ G: om. T, fort. recte) στόλου : ἐξελθόντων τῶν στόλων E : διὰ τὸ ἐξελθεῖν στόλον H **354** post κατὰ add. τῶν T δὲ καὶ : δὲ H : om. E ὁ om. E **355** συνεισελθεῖν : συνελθεῖν F_2 G m E H, fort. recte : ἐλθεῖν X ἡμερίω T καὶ om. E

σαι τοὺς Ἀγαρηνούς. ὁ δὲ Σαμωνᾶς ἦν ἀδιάλλακτος ἐχθρὸς Ἀνδρονίκου καὶ πολλὰ κατ᾽ αὐτοῦ διηνεκῶς συνεσκεύαζε καὶ ἐμηχανᾶτο κακῶσαι τὸν Ἀνδρόνικον παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ διαμηχανώμενος ἀπὸ τῆς αὐτοῦ φυγῆς. ὑπέβαλε δέ τινι γράψαι τῷ Ἀνδρονίκῳ κρύφα· μὴ εἰσέλθῃς εἰς τὰ καράβια καὶ κρατηθῇς παρὰ Ἱμερίου. ὁ γὰρ Σαμωνᾶς ὑπέθηκε τῷ βασιλεῖ τοῦ κρατηθῆναί σε καὶ τυφλωθῆναι παρ᾽ αὐτοῦ. **53** πολλὰ δὲ προτρεπομένου Ἱμερίου Ἀνδρόνικον εἰσελθεῖν ἐν τοῖς πλοίοις κατὰ τῶν Ἀγαρηνῶν ἀπεσκίρτησε, τῶν Ἀγαρηνῶν ἐπικειμένων. Ἱμέριος δὲ μόνος ἐν ἡμέρᾳ τοῦ ἁγίου Θωμᾶ συμβαλὼν πόλεμον μετὰ τῶν Ἀγαρηνῶν μεγάλην νίκην εἰργάσατο. τοῦτο μαθὼν Ἀνδρόνικος ἀπογνοὺς ἅμα συγγενέσι καὶ ἀνθρώποις αὐτοῦ ἀπελθὼν ἐκράτησε κάστρον τὴν Καβάλαν, εἰς τελείαν ἀποστασίαν ἐλθών, ὡς εἰπεῖν καὶ Σαμωνᾶν πρὸς τὸν βασιλέα· οὐκ ἔλεγον, ὦ δέσποτα, ἀντάρτην εἶναί σου τὸν Δοῦκαν; **54** παρευθὺ δὲ ἀπέστειλεν ὁ βασιλεὺς Γρηγορᾶν δομέστικον τῶν σχολῶν, τὸν ἐπιλεγόμενον Ἰβηρίτζην, συμπενθερὸν ὄντα Ἀνδρονίκου, καταπολεμῆσαι αὐτόν. μαθὼν δὲ τοῦτο Ἀνδρόνικος, καὶ ὡς ὁ πατριάρχης Νικόλαος τῆς ἐκκλησίας ἐξεώθη, προσέφυγε τοῖς Ἀγαρηνοῖς ἅμα τοῖς συγγενέσι καὶ τέκνοις καὶ φίλοις ἐξεληλυθόσι τότε κατὰ

364 6.10 (de anno vide supra) **371–72** fuga Andronici Ducae fort. vere a. 907 (post abdicationem Nicolai patriarchae mense Feb. 907)

365 sqq. (de rebellione Andronici Ducae): cf. Vit. Euth. 69.4–71.6 (et sqq.: de aliis fontibus vide etiam Karlin-Hayter, p. 190) § 54–57: cf. ps.-Sym. 710.18–711.14

TL [F_2]G[X][m] EH

356 ἀδιάλλακτος : δϊάλεκτος E **357–58** καὶ pr. – Ἀνδρόνικον (ἄνδρα H) om. E **357** συνεσκεύαζε καὶ : συσκευάζων L : κατεσκεύαζεν καὶ X H **358** πάντα τρόπω καὶ πᾶσαν σπουδὴν E μηχανώ[… L **359** ὑπέβαλε (sic F_2 m) : ὑπέβαλλε G H : ὑπέρβαλλε X τινι : τϊνα X E **360** εἰσέλθῃς (-εις T) : εἰσελθεῖν X H καράβια : πλοῖα E κρατηθῇς (-ῆις G) : κρατηθεῖς T L H : κρατηθεὶς F_2 E : κρατηθῆ X : κρατηθῇς/κρατηθεῖς m παρὰ Ἱμερίου (ἡμερίου T) : περὶ σοῦ τοῦ ἡμερίου συσκευὴν κατεργαζομένου H **361** σε καὶ τυφλωθῆναι om. H **362** δὲ om. E ἡμερίου T τοῖς om. H **363** τῶν pr. om. E ἀπεσκίρτησε (ἀπεσκίρτησε, τῶν Ἀγαρηνῶν om. G (homoeotel.)) – ἐπικειμένων : αὐτὸς δὲ οὐκ ἠθέλησεν εἰσελθεῖν X : om. E **363–64** Ἱμέριος (ἡμέριος T) δὲ μόνος : ἡμερίου δὲ μόνου E **364** ἡμέραις H μετὰ : κατὰ H **366** καὶ ἀνθρώποις om. G ἐκράτησε : ἐκράτει τὸ E **367** Καβάλαν : καββάλαν G : καβάλλαν X m **367** Σαμωνᾶν : σαμωνὰ L : σαμωνὰς E **368** σου om. L X **368–69** δοῦκα T L **369** δὲ om. G ἀποστέλει E γρηγόρϊον E **370** Ἰβηρίτζην : ἡκηρίτζη E συμπενθερὸν (sic F_2) : συμπεθερὸν T L : συμπεθερῶ X : συμπενθερὸν/συμπεθερὸν m : συνπενθερὸν H ὄντα Ἀνδρονίκου : αὐτοῦ H **371** post τοῦτο add. ὁ E **372** ἐξεώθη (sic m) : ἐξώσθη F_2 G (G non certe vid.: ἐξεώσθη Bekker) E H : ἐξωρΐσθη X τοῖς om. L H **373** συγγενεῦσι X H τέκνοις καὶ φίλοις : φίλοις καὶ τέκνοις X : φίλοις καὶ τέκνοις πανοικεῖ H ἐξεληλυθάσι ut vid. L

῾Ρωμαίων, καὶ ἀπεδέχθη παρὰ τῷ ἀμερμουμνῇ μεγάλως. **55** ἐλυπεῖτο δὲ Λέων ὁ βασιλεὺς διὰ τὸν ᾿Ανδρόνικον καὶ πολλάκις ἐβουλεύετο ἀποστεῖλαι αὐτῷ λόγον ἐνυπόγραφον, ὃ καὶ Θεόφιλος διὰ τὸν Μανουὴλ ἐποίησε. συνεβουλεύσαντο δέ τινες τῷ βασιλεῖ φιλοφρονηθῆναί τινα τῶν τοῦ πραιτωρίου Σαρακηνῶν καὶ ἀποσταλῆναι ἐν Συρίᾳ μετὰ λόγου ἐνυπογράφου. τοῦτο δὴ καὶ πεποίηκεν ὁ βασιλεύς, γράψας διὰ κινναβάρεως καὶ ἀποστείλας μετὰ χρυσοβουλίου ἔνδοθεν φατλίου βραχέος τράκτου. **56** ἐξελθόντος δὲ τοῦ Σαρακηνοῦ ἀπὸ τοῦ βασιλέως προσκαλεσάμενος Σαμωνᾶς εἶπεν αὐτῷ· οἶδας, τί κρατεῖς; τοῦτο εἰπὼν διὰ τὸν κηρόν· τὴν ἀπώλειαν τῆς Συρίας. καὶ δοὺς αὐτῷ χρήματα καὶ δῶρα παρήγγειλε τοῦτο βαλεῖν εἰς τὰς χεῖρας τοῦ οὐζῆρ. ὁ δὲ ἀπελθὼν τοῦτο πεποίηκεν. ἐκρατήθη δὲ ᾿Ανδρόνικος καὶ ἐδεσμεύθη μετὰ πάντων τῶν συγγενῶν αὐτοῦ, καὶ μαθών, ὡς διὰ δόλου τοῦ Σαμωνᾶ ταῦτα αὐτῷ γέγονεν, ἀναγκασθεὶς ἐμαγάρισεν αὐτός τε καὶ οἱ σὺν αὐτῷ. **57** ἔκτοτε δὲ Κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ καὶ οἱ λοιποὶ εἰδότες, ὡς ἀδύνατόν ἐστιν ᾿Ανδρόνικον ἐξελθεῖν, βουλῇ αὐτοῦ μετ᾿ οὐ πολὺ μόνοι φυγῇ χρησάμενοι, θαυμαστὸν ὄντως, ἐκ μέσης Συρίας πρὸς ῾Ρωμανίαν ἐξῆλθον καὶ καταπολεμούμενοι κατὰ χώρας μόλις ὀλίγοι διεσώθησαν μετὰ Κωνσταντίνου υἱοῦ αὐτοῦ. **58** ἐκ δὲ Ταρσοῦ εἰσῆλθον ἐν τῇ πόλει περὶ ἀλλαγίου ὅ τε ᾿Αβαλβάκης ὁ γέρων καὶ ὁ τοῦ Σαμωνᾶ πατήρ, καὶ τούτους ἐθεάσατο ὁ βασιλεὺς μετὰ κοσμήσεως καὶ τιμῆς καὶ δόξης ἐν τῇ

---

§ 58: fort. vere a. 908

376–77 ὃ – ἐποίησε: cf. cap. 130, § 18 § 58: cf. ps.-Sym. 711.15–22

TL [F_2]G[X][m] EH

---

374 τῷ ἀμερμουμνῇ (ἀμερυμνῆι G : ἀμερούμνῃ m H) : τοῦ ἀμερκουμνῆ X : τὸ ἀμερ F_2 : τοῦ ἀμερμοῦ E μϊγάλεως E **375** ἐβουλεύετο : ἐβούλετο X E **376** ἀποστεῖλαι αὐτῷ (αὐτὸν G) : αὐτῶ ἀποστείλαι E τὸν : τοῦ E **378** ἀποστεῖλαι X H μετὰ om. E **380** χρυσοβουλίου (F_2 per comp.) : χρυσοβούλλου m : χρυσοβούλου E X **380–81** βραχέως φατλίου L **381** τράκτου : E per comp., fort. τρακτοῦ, fort. recte ἐξελθόντα δὲ τὸν σαρακηνὸν H **382** post προσκαλεσάμενος add. ὁ H **383** τὸν κηρόν om. E post Συρίας add. ὅλης H **384** post παρήγγειλε add. αὐτῶ L **384–85** τοῦτο … τοῦτο : τοῦτωι … τοῦτωι G **384** οὐζῆρ (-ήρ G) : οὑζείρ T : οὐζείρ E **385** πάντων om. L **386** τῶν – αὐτοῦ : αὐτοῦ συγγενῶν E δόλου : δούλου (vel δόλου G) G X **387** σὺν αὐτῷ : μετ᾿ αὐτοῦ E H **388** ὁ om. T L εἰδότες : ἰδόντες F_2 X m E H **389** ᾿Ανδρόνικον ἐξελθεῖν : ἀνδρόνικος ἐξελθεῖν E (sed signo indicatur ἐξελθεῖν ἀνδρόνικος scrib. esse) βουλῇ αὐτοῦ μετ᾿ οὐ πολὺ : βουλὴς αὐτοῦ μετὰ πολλῆς E **390** ὄντως : ὄντος E μέσης : μὲν F_2 G X : μέσου E ῥωμαίους E ἐξελθεῖν E **391** καὶ καταπολεμούμενοι : κατὰπολεμούμενος δὲ E ὀλίγα E **392** post Κωνσταντίνου add. τοῦ E H Ταρσοῦ : παρσοῦ E εἰσῆλθον (sic X m) : ἦλθον L H : ἦλθεν F_2 : εἰσῆλθεν G E **393** ἀλλαγίου : ἄλλα τί E ᾿Αβαλβάκης (ἁ- T) (sic m) : ὁ βαμβάκης F_2 : βαλβάκιος X : ὁ βαλβάκης E : ἀββάκης H

Μαναύρᾳ. ἐκαλλώπισαν δὲ καὶ τὴν Μεγάλην ἐκκλησίαν ἐν κόσμῳ πολυτελεῖ καὶ ὑπέδειξαν ἅπαντα τὰ τίμια σκεύη τοῖς Ἀγαρηνοῖς, ὅπερ ἀνάξιον ἦν βασιλείας καὶ χριστιανικῆς καταστάσεως, τοῦ θεαθῆναι παρὰ τῶν ἐθνῶν τὰ ἱερὰ σκεύη τοῦ Θεοῦ. ὁ δὲ τοῦ Σαμωνᾶ πατὴρ ἤθελε συνεῖναι τῷ υἱῷ αὐτοῦ καὶ μεῖναι εἰς Ῥωμανίαν. ὁ δὲ Σαμωνᾶς παρῄνεσεν αὐτῷ λέγων· κράτει τὴν πίστιν, ἣν ἔχεις, κἀγώ, εἰ δυνηθῶ, ἐλεύσομαι πρὸς σὲ μᾶλλον. **59** τῇ δὲ ἡμέρᾳ τῆς Πεντηκοστῆς στέφει Λέων ὁ βασιλεὺς τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον διὰ Εὐθυμίου πατριάρχου. **60** δέδωκε δὲ Σαμωνᾶς Κωνσταντῖνον, ἄνθρωπον αὐτοῦ, τὸν δουλεύσαντα πρότερον Βασιλείῳ μαγίστρῳ καὶ κανικλείῳ, δουλεύειν Ζωῇ αὐγούστῃ· ὃς ἠγαπήθη παρὰ τοῦ βασιλέως Λέοντος καὶ τῆς αὐγούστης, καὶ διὰ τοῦτο πολλὰ διεφθόνει Σαμωνᾶς αὐτὸν καὶ ἐλοιδόρει ὡς συνόντα τῇ αὐγούστῃ· ὅπερ ὁ βασιλεὺς ὑπονοήσας ἀληθὲς εἶναι ἀπέστειλε καὶ ἀπέκειρεν αὐτὸν μοναχὸν ἐν τῇ μονῇ τοῦ ἁγίου Ταρασίου διὰ τοῦ Σαμωνᾶ. μετ᾽ ὀλίγον δὲ ὥρισε Σαμωνᾷ ἀναλαβέσθαι αὐτὸν ἐν τῇ αὐτοῦ μονῇ τὰ Σπεῖρα βουλόμενος πάλιν ἀναλαβέσθαι αὐτόν. ἀπελθὼν οὖν εἰς πρόκενσον ἐν τῷ Δαματρὺ καὶ ἐν τῇ μονῇ τοῦ Σαμωνᾶ ἀριστήσας εἶδεν Κωνσταντῖνον καὶ παρευθὺ ὥρισε Σαμωνᾷ, καὶ ἐνέδυσεν αὐτὸν κοσμικά, καὶ ἐκέρασεν τὸν βασιλέα εἰς τὸ κλητόριον καὶ ὑπέστρεψε μετ᾽ αὐτοῦ ἐν τῷ παλατίῳ. ὁρῶν δὲ Σαμωνᾶς αὐξανομένην τὴν ἀγάπην τοῦ βασιλέως

---

§ 59: 15.5.908 (Grierson/Jenkins, *Byzantion* 32 (1962), p. 133–138)

---

§ 59: cf. ps.-Sym. 711.23–712.2 § 60–61: cf. ps.-Sym. 712.22

TL [F_2]G[X][m] EH

---

395 post Μαναύρᾳ (μαγναύρα E H) add. ὑπεδέξατο G ἐκαλλώπισεν G ἐν κόσμῳ : ἐνκόσμϊον E **396** ὑπέδειξεν G **397** ἦν om. H post τοῦ add. δὲ H **398** τοῦ Θεοῦ : τῆς ἐκκλησίας H post συνεῖναι add. τῷ βασιλεῖ καὶ G **399** ὁ δὲ : καὶ E αὐτῷ : αὐτὸν X E H **400** λέγων : λέγοντος· ὅτι E κράτει τὴν om. E εἰ : ἡ L : om. E ἐλεύσωμαι H **402** διὰ : δι᾽ X m E post δὲ add. ὁ H **403** πρῶτον E **404** κανικλείῳ : κανίκλη T : ἐπϊτοῦ κανικλείου E Ζωῇ αὐγούστῃ : ζωὴ αὐγούστα X : ζωὴν αὐγούσταν E H post ὃς add. καὶ E **405** post παρὰ add. τε E αὐγούστας E καὶ alt. om. F_2 G X m **406** διεφθόνει : ἐφθόνει X m E αὐτὸν : αὐτοῦ E : αὐτῶ H συνόντα : συνόντος X : συνόντι E **407** αὐγούστα E ἀληθὲς : ἀθῶος E ἀπέστειλε καὶ om. G **408** μοναχὸν om. H τοῦ alt. om. L **409–10** ὥρισε – μονῇ (μονῇ αὐτοῦ L X) τὰ σπεῖρα (σπῆρα T) : ὤρισε σαμωνὰ ἀναλαβέσθαι αὐτῶ E : ἐν τῇ μονῇ τὰ σπεῖρα ἀνέλαβεν αὐτὸν ὁ σαμωνᾶς, κελεύοντος βασιλέως, ὡς δῆθεν H **410** βουλόμενος – αὐτόν om. E οὖν : δὲ, ὁ βασϊλεὺς E εἰς om. G m **411** πρόκευσον H τῷ Δαματρὺ (δαματρῦ G : δαματρύη H) : τῇ δαμαντρὴ E post μονῇ add. τῶν σατήρων, ἤτοι E post ἀριστήσας add. δὲ E **412** κωνσταντίνος E post ὥρισε add. τῶ H Σαμωνᾷ : σαμωνὰς X : σαμωνάν E **413** βασιλέαν E κλητόριον : κλητώριον T m : κλητόρην E **413–14** εἰς τὸ παλάτϊον E **414** δὲ : καὶ ὁ E τοῦ βασιλέως τὴν ἀγάπην G

ἐπ᾽ αὐτὸν βουλεύεται μετὰ μεγίστου κοιτωνίτου καὶ Μιχαὴλ Τζηρίθωνος, καὶ ποιοῦσιν χάρτην πολυλοίδορον κατὰ τοῦ βασιλέως, γράψαντος καὶ συντάξαντος αὐτὸν τοῦ Ῥοδίου, νοταρίου ὄντος τοῦ Σαμωνᾶ. ἐλθὼν δὲ ὁ βασιλεὺς ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ εὗρεν αὐτὸν ἐν ᾧ ηὔχετο τόπῳ εἰς τὸ μιτατώριον καὶ ἦρεν αὐτὸν καὶ ἀναγνοὺς ἐν μεγάλῃ θλίψει ἦν ζητῶν τὸν τοῦτο ποιήσαντα. **61** γέγονε δὲ καὶ ἔκλειψις σελήνης καὶ διωρίσατο ὁ βασιλεὺς τοῖς οὖσι τότε ἀστρονόμοις εἰπεῖν τὸ ἀποτέλεσμα. εἰσερχομένου δὲ πρὸς τὸν βασιλέα φίλου ὄντος τοῦ Σαμωνᾶ Παντολέοντος μητροπολίτου ἠρώτησεν αὐτὸν Σαμωνᾶς· εἰς τίνα ἐστὶν ἡ κάκωσις; ἔφη αὐτῷ· εἰς σέ, καὶ ἐὰν διέλθῃς Ἰουνίου τὰς δεκατρεῖς, ἔκτοτε οὐδὲν πείσει κακόν. τὸν δὲ βασιλέα εἶπον εἰς τὸν δεύτερον ἔχειν κάκωσιν τὴν σελήνην. ὁ δὲ βασιλεὺς ὑπέλαβε τοῦτο εἰς Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφόν. μετὰ τοῦτο δὲ ἰδίως Τζηρίθων τῷ βασιλεῖ ἐξεῖπεν, ὡς ὁ Σαμωνᾶς τὸ πιττάκιον ἐποίησε, καὶ παρευθὺ καταβιβάζει Σαμωνᾶν εἰς τὸν οἶκον αὐτοῦ καὶ ἀποκείρει μοναχὸν καὶ ἀπάγει εἰς τὴν μονὴν Εὐθυμίου πατριάρχου. καὶ μετὰ ταῦτα πάλιν λοιδορηθέντα ἀπήγαγον εἰς τὴν τοῦ Μαρτινάκη μονήν. ἐποίησε δὲ Κωνσταντῖνον παρακοιμώμενον καὶ ἔκτισεν αὐτῷ μονὴν ἐν Ὁσίαις, καὶ ἀπῆλθεν ἅμα Εὐθυμίῳ πατριάρχῃ καὶ ἐνεκαίνισε ταύτην. **62** Ὀκτωβρίῳ δὲ μηνὶ γέγονε πόλεμος ναυμαχικὸς Ἱμερίου λο-

---

420 20.3.908 (Jenkins, *Speculum* 23 (1948), p. 234, n. 99) **424** 13.6.908 § 62: mense Oct. a. 911

---

§ 61: cf. ps.-Sym. 712.22–713.13 § 62: cf. ps.-Sym. 715.7–11

TL [F_2]G[X][m] EH

---

415 αὐτὸν : αὐτῷ E H βουλεύεται : βούλεται X E μετὰ om. E μεγίστου (sic F_2 X m) : μαγίστρου T L post Μιχαὴλ add. τοῦ L **415–16** Τζηρίθωνος : στηρήδονος ut vid. G : τζιρΐδωνος X : τζηρίθωνι E **416** ποιῶσϊ E H χάρτην om. H πολυλοίδορον : πολλυλύδερον E : πολοίδωρον H γράψαντος : fort. -ες ex -ος E **417** αὐτὸν καὶ συντάξαντος L συντάξαντες E **418** αὐτὸν : αὐτῶ T **419** μιτατώριον (μη- T) : κητατόρϊον E ἦρεν : ηὗρεν E ἦν : γέγονεν· καὶ E **420** τοῦτο : τοῦτον H **421** τότε om. H **422–23** φίλου – μητροπολίτου : παντολέοντος τοῦ (τοῦ om. m) μητροπολίτου· φίλου ὄντως τοῦ σαμωνᾶ L m : πάντες. λέγοντες μητροπολίτης. φίλος ὢν τοῦ σαμωνά E **423** post Σαμωνᾶς (σαμῶνας T) add. ὁ H post κάκωσις : add. ὁ δὲ E : add. καὶ H **424** ἂν E διέλθεις T Ἰουνίου τὰς : ἰουνίω εἰς τὰς F_2 : ἰουνίω X : ἰουνίω τὰς E : ἰουνίου μηνὸς τὰς H πείσει : πειήσει T : πείσῃ L G m : ποί^{σ} F_2 : ποιήσει E **425** τὸ δὲ βασιλεῖ E H εἶπεν F_2 (sic fort. F_2) X E H τὸ δεύτερον E post ἔχειν add. τὴν T L **426–27** μετὰ δὲ τοῦτο (-ν E) E H **427** post ἰδίως add. ὁ E Τζηρίθων : τζηρί^{δ} F_2 : τζιρήδων G : τζιρίδων X : τζηρίθος H ἐξεῖπε τῶ βασιλεῖ E ὡς ὁ : ὡ T : ὁ F_2 G X m **429** ἀπαγάγει G **430** λοιδωρηθέντι E **430–31** τοῦ Μαρτινάκη (μαρτινακίου L (E)) μονήν : μονὴν τοῦ μαρτηνακίου E **431** αὐτῷ : αὐτὸν E **432** ἐνοσσιαῖς T : ἐννοσ(σ)ιαῖς L ἀπῆλθον T G, fort. recte ἐνεκαίνισε : ἀνεκαίνισαν F_2 G : ἀνεκαίνισεν X E H : ἐγκαινίασε m (vide introd. III.2.7, p. 82*) **433** ταύτην : αὐτῶ ut vid. E : αὐτήν H ὠκτομβρίω E **433–34** Ἱμερίου (ἡμε- T L) λογοθέτου (sic X m) : ἱμερίῳ λογοθέτῃ (ἡμε- F_2 E) F_2 G E H

γοθέτου μετὰ Δαμιανοῦ καὶ Λέοντος τῶν Ἀγαρηνῶν, στρατηγοῦ ὄντος ἐν Σάμῳ Ῥωμανοῦ τοῦ μετὰ ταῦτα βασιλεύσαντος. ἡττήθη δὲ Ἱμέριος καὶ μόλις διεσώθη, σχεδὸν πάντων ἐκεῖ κινδυνευσάντων. **63** ἤρξατο δὲ νοσηλεύεσθαι Λέων ὁ βασιλεὺς κοιλιακῷ νοσήματι, ὥστε μὴ δυνηθῆναι ἐξελθεῖν ἐν τῇ Μαναύρᾳ τὴν δημηγορίαν διαλαλῆσαι ἐν τῇ ἀρχῇ τῶν Νηστειῶν. γέγονε δὲ καὶ ἐμπρησμὸς εἰς τὰ κηρουλάρια τῆς Μεγάλης ἐκκλησίας, καέντων τῶν χαρτοθεσίων πάντων καὶ τῆς σακέλλης. Μαΐῳ δὲ ἑνδεκάτῃ τελευτᾷ Λέων ὁ βασιλεὺς προχειρισάμενος Ἀλέξανδρον τὸν αὐτοῦ ἀδελφόν· ὃν ἰδών, ὥς φασιν, εἰσερχόμενον πρὸς αὐτὸν ἔφη· ἴδε, ὁ κακὸς καιρὸς μετὰ τοὺς δεκατρεῖς μῆνας, πολλὰ ἐκλιπαρήσας καὶ δεηθεὶς αὐτοῦ φυλάττειν τὸν υἱὸν αὐτοῦ Κωνσταντῖνον.

134 Ἀλέξανδρος, υἱὸς Βασιλείου

Ἀλέξανδρος ἐβασίλευσεν ἔτος ἕν, ἡμέρας κθ', σὺν Κωνσταντίνῳ, υἱῷ Λέοντος. **2** ἀποστείλας δὲ ἤγαγε Νικόλαον ἐκ Γαλακρηνῶν, καταγαγὼν Εὐθύμιον πατριάρχην, καὶ ἐνεθρόνισε τὸ δεύτερον αὐτοῦ Νικόλαον. ἐποίησε δὲ σελέντιον καὶ σύνοδον Ἀλέξανδρος ἐν τῇ Μαναύρᾳ, ἀγα-

438–39 4.3.912 **440–41** 11.5.912 cap. 134, § 1: Alexander regnavit 11./12.5.912–6.6.913 § 2: mense Mai./Iun. a. 912 (vide Wahlgren, *ClassMed* 52 (2001), p. 217–222)

436–37 ἤρξατο – νοσήματι: cf. ps.-Sym. 715.11–12 **439–44** γέγονε – Κωνσταντῖνον: cf. ps.-Sym. 715.12–18 cap. 134, § 1: cf. ps.-Sym. 715.19–21 § 2: cf. ps.-Sym. 715.21–716.8; Vit. Euth. 113.30–125.31 (cf. etiam 127.1sqq., 129.10–21 et passim)

TL [F_2]G[X][m] EH

434 λέων E **435** ἐν om. F_2 G μετὰ ταῦτα : μετ᾽ αὐτοῦ E βασιλεύοντος E post δὲ add. ὁ H Ἱμέριος (sic F_2 X m) : ἡμέριος T L E **436** ἐκεῖσαι F_2 E **437** νοσηλεύεσθαι post βασιλεὺς transp. E κοιλιακῷ : κοιλιακὸν T (-κὸν ut vid. T[pc]) **438** ἐξελθεῖν : ἐξελθεῖναι L μαγναύρᾳ E H τοῦ τὴν H διαλαλῆσαι : ἀναλύσαι E : λαλῆσαι H **439** κηρουλάρια : κηρουλαρία T L H : κηρουλάρια/κηρουλαρία m **440** καέντων (καυθέντων E) τῶν (τῶν om. E) χαρτοθεσίων πάντων καὶ (καὶ om. E) : καὶ ἐκάη τὰ χαρτοθέσια πάντα H **441** δὲ om. E πρώτη καὶ δεκάτη E post ὁ add. σοφώτατος καὶ μέγας H **442** φησὶν E **cap. 134.1** Ἀλέξανδρος, υἱὸς Βασιλείου (quae exhib. in mg. L) : περὶ τῆς βασιλείας ἀλεξάνδρου F_2 : ἀλέξανδρος ὁ ἀδελφὸς λέοντος in mg. G : περὶ ἀλεξάνδρου, ἀδελφοῦ υἱοῦ λέοντος X : βασιλεία ἀλεξάνδρου ἀδελφοῦ λέοντος E (m: alia mss. exhib. alios titulos) **2** Ἀλέξανδρος (λέξανδρος L) : ἀλέξανδρος δὲ F_2 : ἀλέξανδρος ὁ ἀδελφὸς αὐτοῦ E : ἀλέξανδρος υἱὸς βασιλείου H κθ' : an scrib. κε'? (vide introd. III.3.1.1) post Κωνσταντίνῳ add. πορφυρογεννήτῳ (-γενήτη E) E H **3** post δὲ add. ἀλέξανδρος E post Νικόλαον add. πατριάρχην E Γαλακρηνῶν (-κρινῶν/-κρηνῶν m) : γαλακρινῶν T G E : γαλαγκρηνῶν H **4** ἐνεθρόνισε : ἐνεθρονίασε F_2 E : ἐνηθρόνισε H αὐτοῦ : αυτὸν F_2 : τὸν αὐτὸν E **5** ἐποίησε etc. : vide introd. III.3.1.1 post δὲ add. καὶ X E μαγναύρα E H **5–6** post ἀγαγὼν add. καὶ H

γὼν Εὐθύμιον ἐκ τοῦ Στενοῦ ἀπὸ τοῦ Ἀγαθοῦ καὶ συγκαθίσας ἅμα Νικολάῳ πατριάρχῃ ἐποιήσαντο τὴν κατ᾿ αὐτοῦ καθαίρεσιν, ἀτίμως ἀποτίλλοντες τοῦ ἱεροπρεποῦς καὶ ἀξιαγάστου ἀνδρὸς τὴν τιμίαν γενειάδα καὶ ἄλλας τινὰς ὕβρεις καὶ ποινὰς αὐτῷ ἐπιφέροντες, ἃς ἡσύχως καὶ πράως ὑπέμεινεν ὁ τίμιος καὶ ἱερὸς ἀνήρ. καὶ ὑπερωρίσθη πάλιν εἰς τὰ Ἀγαθοῦ, ἔνθα τελευτήσας κατατίθεται ἐν τῇ αὐτοῦ μονῇ, ἐν τῇ πόλει, τῶν Ψαμαθίου. **3** οὗτος Ἀλέξανδρος διὰ τὰς ὑπονοίας, ἃς ὁ ἀδελφὸς αὐτοῦ Λέων ἔτι ζῶν εἶχε κατ᾿ αὐτοῦ, ἀεὶ τοῖς κυνηγεσίοις καὶ τοῖς ἔξω παλατίοις ἐσχόλαζε, μηδὲν βασιλέως ἔργον διαπραττόμενος, ἀλλὰ διάγων ἐν τρυφαῖς καὶ ἀσελγείαις καὶ μέθαις καὶ περὶ ταῦτα ἀεὶ διακείμενος. ὅθεν ἄρξας αὐτὸς οὐδὲν γενναῖον εἰργάσατο, ἀλλὰ παρευθὺ Ἰωάννην παπᾶν, τὸ ἐπίκλην Λαζάρην, ῥαίκτορα πεποίηκεν, ὃς καὶ κακῶς τὸ ζῆν ἀπέρρηξε μετὰ θάνατον Ἀλεξάνδρου ἐν τῷ Ἑβδόμῳ σφαιρίζων. **4** ὡσαύτως οὖν, φασί, καὶ Γαβριλόπουλον καὶ Βασιλίτζην, τὸν ἀπὸ Σκλαβίνων ἔθνους, σφοδρῶς κατεπλούτισεν ἐκ τῶν τοῦ παλατίου χρημάτων. ὥς φασι δέ, τὸν αὐτὸν Βασίλειον καὶ βασιλέα ἠβούλετο προχειρίσασθαι, ὡς ἄπαις αὐτὸς ὤν, καὶ Κωνσταντῖνον, υἱὸν Λέοντος, εὐνοῦχον ποιῆσαι· ὃ καὶ πολλάκις βουληθεὶς διεσκεδάσθη παρὰ τῶν ὑπὸ τοῦ Λέοντος εὐεργετηθέντων, ποτὲ μὲν ὡς νήπιον ὑποβαλλόντων,

---

12–16 οὗτος – εἰργάσατο: cf. ps.-Sym. 716.14–16; Vit. Euth. 55.21–24 **22–25** καὶ – ἀσθενοῦντα: cf. ps.-Sym. 716.16–19

TL [F_2]G[X][m] EH

---

6 ἐκ τοῦ Στενοῦ om. F_2 G τοῦ alt. : τῆς μονῆς αὐτοῦ τοῦ L : fort. scrib. τῶν (sic Bekker; vide etiam introd. III.3.1.1) **7** ἐποιήσαντο (-ντο non certe vid. in F_2) : ἐποιήσατο X : ἐποίησαν E **7–8** ἀποτίλλοντες ἀτίμως L **8–9** γενειάδαν X H **9** ὕβρεις τινὰς H **10** ὑπέμεινεν (sic F_2 X m) : ὑπέμενεν T L καὶ ἱερὸς : ἱερὸς X : om. E H καὶ ὑπερωρίσθη πάλιν (post πάλιν add. ὁ τιμιώτατος H) om. F_2 G **10–11** εἰς (εἰς bis exhib. E) τὰ Ἀγαθοῦ (τ᾿ ἀγαθοῦ L X : τοῦ ἀγαθοῦ E), ἔνθα (ἔνθα καὶ E H (cf. F_2 G)) : ἔνθα καὶ εἰς τὰ ἀγαθοῦ F_2 G **11** ἐν pr. – μονῇ post πόλει transp. E **12** ψαμαθείου T οὗτος (sic X m) : οὗτος ὁ L E H : οὕτως F_2 G **14** παλατίοις : τοῦ παλατΐου, οἷς E βασιλέως ἔργον (ἔργων T : ἔργω E) : ἔργον βασιλέως H **15** post διάγων add. ἀεὶ E ἀσελγείαις καὶ : ἀσωτίαις καὶ F_2 G : ἀσώταις X **15–16** καὶ ter. – διακείμενος (διακειμένου G) om. F_2 **16** ἄρξας – ἀλλὰ om. F_2 G **17** ἰαννὴν G m πάπαν H τὸ : τὸν F_2 X Λαζάρην (sic m) : λαξάρην T G : λοξάραν F_2 E : λάζαρον H πραίκτορα E **18** τὸ : τοῦ F_2 (sic vel τον F_2) H ἀλέξανδρος E **18–19** ἐν τῷ Ἑβδόμῳ (ἑβδό H) σφαιρίζων om. F_2 G **19** οὖν, φασί : φησὶν F_2 : δὲ E Γαβριλόπουλον : γαβριηλόπουλον F_2 m : γαυριηλόπουλος E Βασιλίτζην : βασίτζην L : βασίτζης E **19–20** τὸν (τὸν om. F_2 G X m) ἀπὸ (post ἀπὸ add. τοῦ H) : τοὺς ἀπὸ τῶν E **20** τοῦ om. E **21** post χρημάτων add. συνεργοὺς ὄντας τῶν αὐτοῦ ἀκαθαρσιῶν καὶ ἐπαινέτας ἀνελευθέρους L δέ : ὅτι E τὸν om. F_2 G X Βασίλειον καὶ : βασίτζην E **21** ἐβούλετο X E H **22** προχειρίσασθαι : ποιῆσαι F_2 G : ποιῆσαι· καὶ προχειρίσασθαι E ἄπαις αὐτὸς ὢν : αὔτως οἰόμενος διὰ τὸ ἄπαις εἶναι H καὶ Κωνσταντῖνον : κωνσταντῖνον δὲ τὸν L **23** εὐνοῦχον ποιῆσαι : εὐνοχί(ῆ)σαι m E ὃ : ὧ F_2 : ὦ E διεσκεδάσθη : οὐ συνὲχωρήθη E **24** post νήπιον add. τοῦτον H ὑποβαλλόντων : ὑποβαλόντων G m : ἀποβαλόντων F_2

ποτὲ δὲ ὡς ἀσθενοῦντα. **5** ἐπὶ τούτου ἐφάνη ἀστὴρ κομήτης ἐκ δύσεως ἐπὶ ἡμέρας ιε', ὃν ἔλεγον Ξιφίαν καλεῖσθαι καὶ αἱματεκχυσίαν ἐν τῇ πόλει ἐργάσασθαι. **6** οὗτος πλάνοις καὶ γόησιν ἑαυτὸν ἐξέδοτο, οἳ καὶ πεπείκασιν αὐτόν, ὡς τὸ τοῦ συάγρου στοιχεῖον, τὸ ἐν τῷ ἱππικῷ, σοὶ καὶ τῇ σῇ ζωῇ προσανάκειται, χοιρόβιον τὸν ἀνόητον ὑπεμφαίνοντες. ὁ δὲ τούτοις ἀπατηθεὶς αἰδοῖα καὶ ὀδόντας τῷ χοίρῳ προσανενέωσεν, ὡς λειπομένους αὐτῷ, καὶ τῇ αὐτῇ πλάνῃ πεποιθώς, ἱππικὸν ποιήσας, τὰς τῶν ἐκκλησιῶν ἐνδυτὰς καὶ πολυκάνδηλα ἄρας τὸ ἱππικὸν ἐστόλισε καὶ τοῖς ζῴδοις φωταψίαν ἐποίησε. διὰ τοῦτο ἤρθη ἀπ᾽ αὐτοῦ ἡ τοῦ Θεοῦ χείρ, ὡς τὴν τοῦ Θεοῦ τιμὴν τοῖς εἰδώλοις προσάψαντος. **7** Ἱμερίου δὲ λογοθέτου ἐκ τῆς τῶν Ἀγαρηνῶν ἥττης ὑποστρέψαντος ἀποστείλας Ἀλέξανδρος περιώρισεν ἐν τῇ μονῇ τοῦ Παλατίνου, τῇ λεγομένῃ Καλυπά, ἀπειλήσας ὡς ἐχθρὸν αὐτοῦ ὄντα ἐπὶ τοῦ ἀδελφοῦ αὐτοῦ Λέοντος. ὁ δὲ ἐκ θλίψεως πολλῆς ἀρρωστήσας, περιωρισμένος ὢν ἐπὶ μῆνας ἓξ ἐτελεύτησεν. **8** ἀπέστειλε δὲ Συμεὼν ὁ ἄρχων Βουλγαρίας μηνύων Ἀλεξάνδρῳ τὰ πρὸς εἰρήνην καὶ τοῦ φιλοφρονεῖσθαι αὐτὸν καὶ τιμᾶσθαι, καθώς περ ἐπὶ Λέοντος βασιλέως. ὁ δὲ ἀνοίᾳ καὶ ἀφροσύνῃ κρατηθεὶς τοὺς πρέσβεις ἀτίμως ἐξέπεμψεν ἀπειλαῖς τὸν Συμεὼν κα-

---

§ 5: cometes Xiphias visus 19.7–3.8.912 § 7: Himerius logotheta ut vid. reversus est C/polim exeunte mense Mai. a. 912 et obiit mense Nov. a. 912 § 8: fort. inter mens. Nov. a. 912 et mens. Iun. a. 913 (sic Jenkins 1965, p. 111–112)

---

§ 5: cf. ps.-Sym. 716.19–21 § 6: cf. ps.-Sym. 716.21–717.7; Vit. Euth. 129.22sqq. § 7: cf. ps.-Sym. 717.8–12 § 8: cf. ps.-Sym. 717.13–18

TL [F_2]G[X][m] EH

---

25 ὡς om. H τούτου : τοῦτο X E : τούτου vel τούτοις m **26** ἔλεγαν fort. G post αἱματεκχυσίαν (αἱματεχυσίαν F_2 : αἱματωχυσίαν X E) add. καλεῖσθαι ὑπὸ πάντων σημαίνειν ἀναφανδῶν H ἐν om. L **27** ἐργάσασθαι om. H πλάνας E **27–28** πεπείκασιν : πεποίκασιν F_2 E : πεποιήκασιν X H **28** αὐτόν om. E τὸ pr. om. E τὸ alt. : τῶ L **28–29** σοὶ (σὴ E) καὶ τῇ σῇ : σὺ καὶ τῆ σὺ X : σῆ καὶ (καὶ s.l.) τῆ σφῶν H **29** ἀνάκειται E H **30** προσανενέωσεν : προσανενέωσαν F_2 G : πρὸςἀνανεώσας X : πρὸςἀνενόησε E **31** λειπομένους : λοιπομένω X : λοιπομενης F_2 : ληπομένων H αὐτῇ : αὐτοῦ E **32** post καὶ pr. add. τὰ L **33** ζῴδοις : ζόφοις X : ζωδίοις E : ζώοις H φωταγωγίαν H post ἐποίησε add. καὶ L **34** Ἱμερίου (sic F_2 X) : ἡμερίου T L m (ἡμέριον δὲ λογοθέτην E) δὲ om. H **35** ἀγαρινῶν T ὑποστρέψαντα E **36** ἀλέξανδρον E περιώρισεν : περιώρισεν εἶναι αυτὸν F_2 : περιὤρισεν αὐτὸν H τοῦ Παλατίνου (παλατίου F_2 G X m : παλαιστίνου H) om. E **36–37** καλυπᾶ T **37** ἀπειλήσας : ἀπειλάσας H αὐτοῦ pr. om. H **38** πολλῆς om. L F_2 **38** περιωρισάμενος F_2 G **39** ἀποστέλει E **39–40** μηνύων Ἀλεξάνδρῳ (ἀλέξανδρον X E) τὰ πρὸς εἰρήνην (περὶ εἰρήνης G) : μοινύων ταπερι ἀλεξαν[δρ] περι εἰρήνης F_2 : περὶ εἰρήνης μηνύων ἀλεξάνδρῳ H **40–43** καὶ pr. – εἰρήνης om. F_2 G (homoeotel.) **41** post Λέοντος add. τοῦ L X m : non adhib. F_2 G ἀνοί H ἀφροσύνῃ : φρονήσει E **42–43** ἀπειλαῖς τὸν Συμεὼν (Συμεὼν : συμεῶνα ὡς ἐδόκει L : συμεῶνα X) καταπλήξας om. T

ταπλήξας. λυθείσης οὖν ἔκτοτε τῆς εἰρήνης Συμεὼν παρεσκευάζετο κινῆσαι κατὰ τῶν Χριστιανῶν ὅπλα. **9** Ἀλέξανδρος δὲ ἀριστήσας καὶ οἰνωθεὶς ἐν τοῖς ὑπὸ Κύνα καύμασι κατῆλθε σφαιρίσας καὶ ῥομφαίᾳ θεηλάτῳ πληγεὶς καὶ ἀνελθών, αἵματος πολλοῦ ἐκ τῶν ῥινῶν καὶ τῶν αἰδοίων ἐκφερομένου, μετὰ δύο ἡμέρας ἐτελεύτησεν καταλιπὼν ἐπίτροπον Νικόλαον πατριάρχην καὶ Στέφανον μάγιστρον καὶ Ἰωάννην μάγιστρον, τὸν Ἑλλαδᾶν, καὶ Ἰωάννην ῥαίκτορα καὶ Εὐθύμιον καὶ τὸν Βασιλίτζην καὶ τὸν Γαβριλόπουλον, ἐάσας τὴν βασιλείαν Κωνσταντίνῳ, υἱῷ Λέοντος. ἀπέθεντο δὲ Ἀλέξανδρον ἐν τοῖς τάφοις μετὰ Βασιλείου, τοῦ πατρὸς αὐτοῦ.

135 Κωνσταντῖνος ὁ υἱὸς Λέοντος

Κωνσταντῖνος δὲ τοῦ πατρὸς αὐτοῦ τελευτήσαντος Λέοντος παῖς ἔτι τυγχάνων (ἕβδομον γὰρ εἶχεν τῆς ἡλικίας ἔτος) ὑπὸ Ἀλεξάνδρου, θείου αὐτοῦ, ἐν τῇ βασιλείᾳ καταλέλειπτο ὑπὸ ἐπιτρόπους τελῶν. ἐβασίλευσεν οὖν ἐπὶ τῶν αὐτοῦ ἐπιτρόπων καὶ σὺν τῇ μητρὶ ἕτερα ἔτη ἑπτά,

---

§ 9: Alexander obiit 6.6.913 **cap. 135.5** a. 913–920

---

§ 9: cf. ps.-Sym. 717.19–718.2; Vit. Euth. 129.27(22)–131.15; 131.4–9 cap. 135, § 1: cf. ps.-Sym. 718.3–9

TL [F_2]G[X][m] EH **4–5** ab ἐβασίλευσεν TL [F_2]G[m] EH

---

43 οὖν : γὰρ E εἰρήνης : ἀγάπης E παρεσκευάζετο : κατεσκευάζετο F_2 : κατεσκεύαζετὸ E **44** τῶν om. H post δὲ add. ὁ βασιλεὺς F_2 G ἀριστήσας : ἀρωστήσας F_2 E **45** τοῖς : τῆς E ὑπὸ Κύνα καύμασι : κυνοκαύμασι L : κυνακέμασι F_2 : ὑπὸ κρϊνοκαύμασιν X σφαιρίσας : σφαιρίσαι L : σφαιρήσασθαι X : σφαιρίσων H **46** καὶ pr. om. X m E H πολλοῦ om. F_2 G **47** ἐκφερόμενος ut vid. H post ἡμέρας add. κακῶς L καταλιπὼν : καταλοιπὸν F_2 : καταλειπὼν E : καταλοιπὼν H **47–48** ἐπιτρόπους L m E H **48–49** καὶ Ἰωάννην μάγιστρον (καὶ Ἰωάννην μάγιστρον om. X : μάγιστρον om. m), τὸν Ἑλλαδᾶν om. E H **50** Γαβριλόπουλον : γαυριηλόπουλον T E : γαβριηλόπουλον F_2 m H : γαυρϊλόπουλον X **50–51** Κωνσταντίνῳ, υἱῷ : κων^(σττν΄) υἱὸν F_2 : κωνσταντίνων υἱὸν E **51** ἀπέθεντο : ἀπέθετο G X : ἀπετέθη F_2 : κατέθετο E ἀλέξανδρος E an scrib. τάφοις ⟨βασιλικοῖς⟩? (μετὰ – αὐτοῦ : τῶν βασιλέων μετὰ τοῦ πατρὸς αὐτοῦ Bekker) (vide introd. III.3.1.1) post τάφοις add. αὐτοῦ E Βασιλείου : βασιλείαν X : om. F_2 G **51–52** τοῦ πατρὸς αὐτοῦ βασιλείου L **cap. 135.1** Κωνσταντῖνος ὁ υἱὸς Λέοντος : ἀρχὴ τῆς βασιλείας κωνσταντίνου υἱοῦ λέοντος in mg. F_2 : κωνσταντῖνος G (et κωνσταντῖνος ὁ υἱὸς λέοντος in mg. G) : περὶ κωνσταντίνου υἱοῦ λέοντος et in mg. σο̄δ X : βασιλεία· κωνσταντίνου υἱοῦ λέοντος E : κωνσταντῖνος ὁ πορφυρογέννητος, υἱὸς λέοντος H : om. L (m: alia mss. alios titulos) **2** ωνσταντῖνος L αὐτοῦ : αὐτῶ T λέοντος τελευτήσαντος E **4** ἐπιτρόποις H **5** αὐτοῦ : αὐτῶν H ἕτερα (ἕτερα om. E H) ἔτη ἑπτά om. F_2 G

ἅμα δὲ Ῥωμανῷ, πενθερῷ αὐτοῦ, ἐν ὑποταγῇ ὢν ἕτερα ἔτη κϛʹ, μονοκράτωρ δὲ ἔτη πέντε καὶ δέκα· ὡς εἶναι τὸν πάντα χρόνον τῆς βασιλείας αὐτοῦ ἔτη *νε*ʹ. **2** λαβόμενος οὖν τῆς τοῦ παλατίου ἐξουσίας ὁ πατριάρχης Νικόλαος, ἅτε καὶ αὐτὸς ἐπίτροπος ὤν, σὺν τῷ μαγίστρῳ Στεφάνῳ καὶ τῷ Ἑλλαδᾷ Ἰωάννῃ, μαγίστρῳ καὶ αὐτῷ, τὴν τοῦ κοινοῦ πρόνοιαν ἐποιεῖτο καὶ τὴν φροντίδα εἶχε τῶν τῇ βασιλείᾳ ἀνηκόντων πραγμάτων ὁσήμεραι. **3** ἐν τούτοις οὖν τῆς βασιλείας οὔσης δηλοῦται Κωνσταντίνῳ τῷ Δουκί, δομεστίκῳ τυγχάνοντι τῶν σχολῶν, παρά τινων τῶν ἐν τῇ πόλει μεγιστάνων φιλούντων αὐτὸν ὡς ἀνδρεῖον καὶ νουνεχῆ καὶ καλῶς δυνάμενον τὴν βασιλείαν διακυβερνᾶν εἰσελθεῖν καὶ ταύτης ἐγκρατὴς γενέσθαι ἀπονητί. ὁ δέ, ἅτε καὶ πρότερον αὐτὴν ὀνειροπολῶν καὶ τοὺς στεφάνους ἀεὶ ἐφιέμενος, ὡς εἶχε τάχους τὴν βασιλεύουσαν κατέλαβεν ἅμα τοῖς σὺν αὐτῷ τῶν στρατευμάτων ἐκκρίτοις ἱκανοῖς οὖσι καὶ νυκτὸς διὰ παραπυλίδος εἰσελθὼν τοῦ πρωτοβεστιαρίου Μιχαήλ, οὔσης πλησίον ἀκροπόλεως, ἐν τῷ οἴκῳ τοῦ πενθεροῦ αὐτοῦ Γρηγορᾶ ἄυπνος μετὰ τῶν συνόντων αὐτῷ διετέλεσεν. **4** Νικήτας δὲ ἀσηκρῆτις, ὁ μετὰ ταῦτα πρωτονοτάριος γεγονώς, τὴν Κωνσταντίνου ἄφιξιν τῷ πατρικίῳ Κωνσταντίνῳ καὶ μοναχῷ, τῷ Ἑλλαδικῷ, κατεμήνυσεν, καὶ ἄμφω τῇ αὐτῇ νυκτὶ πρὸς τὸν Δοῦκα

---

6 26 annos: fort. a coronatione Romani I. (17.12.920) usque ad abdicationem filiorum eius 15.6.945 **7** 15 annos: a. 945–959 **8** 55 annos: 905–959? (cf. infra in app. critico) § 3–9 (coniuratio Constantini Ducae): a. 913

---

§ 2: cf. ps.-Sym. 718.9–13 § 3–9 (coniuratio Constantini Ducae): cf. Vit. Euth. 131.16–133.2 (de aliis fontibus vide Karlin-Hayter, p. 227) § 3: ps.-Sym. 718.14–719.3 § 4: cf. ps.-Sym. 719.3–10

TL [F_2]G[m] EH

---

6 ὢν ἐν ὑποταγὴ L **7** τὸν πάντα : τὸν ἅπαντα F_2 G : αὐτὸν ἅπαντα E **7–8** αὐτοῦ βασιλείας E **8** *νε*ʹ : an scrib. *νγ*ʹ? (vide introd. III.3.1.1) **9–10** ἅτε – αὐτῷ om. F_2 G **10** τῷ Ἑλλαδᾷ : τὸ ἐξαδέλφω E post αὐτῷ add. τυγχάνοντι H **11** πρόνοιαν : προστασίαν L post φροντίδα add. πᾶσαν E H τῇ βασιλείᾳ ἀνηκόντων (sic m) : τῇ βασιλεία νικόντων T F_2 : τὴν βασιλείαν ἀνιέντων E : τὴν βασιλείαν ἀνεικότων H **12** ὁσήμεραι : ὡς ἡμέραι m H : ὥσαι ἡμέραι E **13** κωνσταντίνον τὸν δούκα E δομεστίκῳ τυγχάνοντι om. F_2 G τῶν σχολῶν τυγχάνοντι E **14** τῇ om. E αὐτὸν : αὐτῶν F_2 : αὐτῶ H **15** βασιλείαν : ἐκκλησίαν F_2 G **16** ἐγκρατὴς : ἐν κρατὴ T ἀπονητί : ἀμογητί L πρότερος αὐτὸν E **17** τοὺς στεφάνους (sic F_2) : τοῦ στεφάνους T : τοῦ στέφους L m E H, fort. recte (τοῦ στεφάνου Tafel) post τάχους (τάχος (τάχ° F_2) F_2 G) add. πολλοῦ E **18–19** σὺν – οὖσι (ὦσιν F_2 G) : ὦσιν αὐτῶ E **18** ἐκκρίτοις : ἐνκρίτοις T L F_2 : ἐγκρίτοις m **19** post διὰ add. τῆς E **20** οὔσης : ὄντως F_2 : ὄντος E **21** αὐτοῦ : αὐτῆς G : om. F_2 Γρηγορᾶ (γρηγορᾶι G) : γρηγορίου E **22** ἀσηκρῆτις : ἀσυγκρίτης F_2 H : ἀσυκρίτης E μετὰ ταῦτα : μεταυ^τ F_2 : μετ᾽ αὐτοῦ E : μεταῦτα H **23–25** καὶ – Κωνσταντῖνον om. H **23–24** καὶ μοναχῷ (καὶ μοναχῷ : μιχαὴλ F_2 : μοναχῷ G (sic ut vid. G) m), τῷ (τῷ om. Tafel) Ἑλλαδικῷ (ἐλαδικῶ T G) : ἑλλαδικῆς E : an scrib. καὶ Μιχαήλ, τῷ Ἑλλαδικῷ? (vide introd. III.3.1.1) **24** κατεμήνυεν G

Κωνσταντῖνον παρεγένοντο, καὶ βουλὴν ποιησάμενοι οὔπω τῆς ἡμέρας καταλαβούσης, ἀλλ᾽ ἔτι σκοτίας οὔσης, μετὰ λαμπάδων καὶ λαοῦ πολλοῦ καὶ ὅπλων τὴν τοῦ ἱπποδρόμου πύλην καταλαμβάνουσιν Κωνσταντῖνον εὐφημοῦντες ὡς βασιλέα· **5** ἔνθα δὴ ὁ τούτου ἱπποκόμος λογχευθεὶς παρὰ τῶν ἐντὸς τοῦ ἱπποδρόμου πυλῶν ἀνῃρέθη. μὴ δεχθεὶς οὖν ἐκεῖσε ὁ Κωνσταντῖνος, ἀλλὰ ἀποσοβηθεὶς ὥσπερ ὑπό τινος ἐκβακχευόμενος δαίμονος καὶ μὴ ἐφεστηκότα ἔχων τὸν λογισμὸν τῷ τῆς βασιλείας ἔρωτι ἐν τῷ ἱπποδρομίῳ ὑπεχώρησε στυγνός τε καὶ κατηφής, κακὸν οἰωνὸν τὴν τοῦ ἱπποκόμου κρίνας σφαγήν. **6** ἐκεῖθεν οὖν εὐφημούμενος ἦλθε μέχρι τῆς λεγομένης Χαλκῆς, καὶ διὰ τῆς Σιδηρᾶς πόρτης τῆς αὐτῆς Χαλκῆς εἰσεληλυθὼς μέχρι τῶν ἐξκουβίτων παρεγένετο. ὁ οὖν μάγιστρος Ἰωάννης ὁ Ἑλλαδᾶς ἐκλογὴν τῶν τε τῆς ἑταιρείας καὶ τῶν ἐλατῶν ποιησάμενος μεθ᾽ ὅπλων τούτους ἀπέστειλε κατὰ τοῦ Δουκός. ἐλθόντων οὖν μέχρι τῆς Χαλκῆς καὶ πολέμου συστάντος πολλοὶ ἐξ ἀμφοτέρων ἔπεσον τῶν μερῶν, ἔργον ἐκεῖσε μαχαίρας γενόμενοι, καὶ τοσοῦτοι, ὥστε τὸν τόπον ἐλλιμνασθῆναι τῷ αἵματι ποταμηδὸν καταρρέοντι. ἀνῃρέθη δὲ καὶ Γρηγορᾶς, ὁ υἱὸς τοῦ Δουκός, καὶ Μιχαήλ, ὁ ἐξάδελφος αὐτοῦ, καὶ ὁ Κουρτίκης ἐκεῖνος ὁ ἐξ Ἀρμενίων. **7** ταῦτα ὁ Δοὺξ Κωνσταντῖνος μαθών, ταραχῆς ὅτι πλείστης γενομένης τὸν ἵππον ἐξήλαυνεν. ὁ δὲ ταῖς ἐκεῖσε ὑπεστρωμέναις ἐνολισθήσας πλαξὶν εἰς γῆν τὸν ἐπιβάτην κατέβαλεν. ἐπεὶ δέ τις αὐτὸν κατὰ γῆς ἐρριμμένον καὶ

---

§ 5: cf. ps.-Sym. 719.10–16 § 6: cf. ps.-Sym. 719.16–720.2 § 7: cf. ps.-Sym. 720.2–5

TL [F_2]G[m] EH

---

25 παρεγένετο G E H **26–27** πολλοῦ καὶ om. L **27** τοῦ (τοῦ om. H) ἱπποδρόμου (τοῦ ἱπποδρόμου/τοῦ ἱπποδρομίου m) : ἱπποδρομίου F_2 : τοῦ ἱπποδρομίου G : ἱπποδρομίαν E **28–29** ἱπποςκόμος E **29** λογχευθεὶς om. F_2 G τῶν ἐντὸς (sic F_2) : τῶν ἐντὸς τῶν T m, fort. recte : τοῦ ἐντὸς L ἱπποδρομίου E **30** οὖν om. E ἀλλὰ (sic m) : ἀλλ᾽ L G : om. F_2 ἀποσωβησθεὶς H **31** ἐκβακχευόμενος : ἐκβαχευόμενος L F_2 : ἐκβακχευόμενος vel ἐκβαχευόμενος m : βακχευόμενος E ἐφεστηκότα : ἐφεστϊκότος E : καθ᾽ἑστηκώτα H **31–32** τὸν τῆς βασιλείας ἔρωτα E **32** ἐκ τοῦ ἱπποδρόμου H **32–33** ὑπεχώρησε (ἀνεχώρησεν E) – ἱπποκόμου om. H **33** οἰωνὸν : οἶοννὸν E **34** οὖν om. F_2 H εὐφημούμενος : ἐνθυμούμενος H εἰσῆλθεν E Χαλκῆς : χαρκῆς E **34–35** καὶ – τῆς αὐτῆς Χαλκῆς (τῆς αὐτῆς Χαλκῆς om. F_2 G) om. H **35** πόρτας F_2 G ἐξκουβητόρων E **36** ἑλλαδικὸς E τῶν τε : τόν τε T : το^{τ} F_2 : τε τὸν E : τῶν H **37** ποιησάμενος καὶ τῶν ἐλατῶν L ἐλατῶν (sic m) : ἐλάττων T : ἐλάττω F_2 H (G -ων vel -ω per comp.) ἀπέστειλαν E **38** δοκός H χαρκὴς E συνστάντος H **39** ἔπεσαν G H ἔργων F_2 E **40** τοσούτον E τὸν τόπον om. E ἐλλιμνασθῆναι : ἐκλυμνασθῆναι F_2 : ἐκλιμασθῆναι G : ἐκλιμνασθῆναι m : ἐκλυμνανθῆναι E **41** δὲ om. G Γρηγορᾶς : γληγορᾶς T : γρηγόριος E **42** ὁ pr. om. T L m ὁ Κουρτίκης (κορτίκης G) ἐκεῖνος ὁ ἐξ Ἀρμενίων (fort. -μένων G) : ὁ ἐξαρμενίων κουρτάκιος E **43** γενόμενος E **44** post δὲ add. ἵππος H ὑπεστρωμέναις (ὑπε(?)(σ?)τρωμμέναις G) : ὑποστρο(ω)μέναις F_2 m : ὑποστρομένες H ἐνολισθήσας : ὀλησθεῖσας E : ἐνωλισθήσες H **45** κατέβαλεν (-έβαλλεν G) : κατέρραξεν H **45–46** ἐπεὶ – κατέλαβεν post ἅπαντες (**l. 46**) transp. F_2 G

μεμονωμένον κατέλαβεν (οἱ γὰρ ἄλλοι διεσκεδάσθησαν ἅπαντες), ξίφει τὴν τούτου ἀπέτεμεν κεφαλήν. **8** τούτων οὕτως τελεσθέντων Γρηγορᾶς μάγιστρος, ὁ τούτου πενθερός, μετὰ Λέοντος, ὃν Χοιροσφάκτην ὠνόμαζον, τῇ ἁγίᾳ τοῦ Θεοῦ Σοφίᾳ προσέφυγεν· οὓς καὶ βίᾳ ἐκεῖθεν ἀποσπάσαντες ἀπέκειραν μοναχοὺς ἐν τῇ τῶν Στουδίου μονῇ. Κωνσταντῖνον δὲ τὸν Ἑλλαδικὸν βουνεύροις τύψαντες, ῥάκει τε περιβαλόντες καὶ ὄνῳ ἐπικαθίσαντες διὰ μέσης τῆς πόλεως ἐθριάμβευσαν καὶ ἐν τῇ τοῦ Δαλμάτου ἀπαγαγόντες μονῇ ἐγκατάκλειστον τῇ λεγομένῃ Καταδίκῃ πεποιήκασιν. Λέοντα δὲ τὸν Κατακαλίτζην καὶ Ἀβεσσαλὼμ τὸν τοῦ Ἀρωτρᾶ ἐκτυφλώσαντες ἐν ἐξορίᾳ παρέπεμψαν. Κωνσταντῖνον δὲ τὸν τοῦ Εὐλαμπίου υἱὸν καὶ ἑτέρους σὺν αὐτῷ Φιλόθεος ὕπαρχος, ὁ τοῦ Λαμπούδη, ἐν τῇ τοῦ ἱππικοῦ Σφενδόνῃ ξίφει ἀπέτεμεν. **9** οὐ μικρῶς δὲ διερευνησάμενοι περὶ Νικήτα ἀσηκρῆτις καὶ Κωνσταντίνου τοῦ Λιβὸς οὐχ εὗρον αὐτοὺς ὡς χρησαμένους φυγῇ. τὸν δὲ Αἰγίδην ἐκεῖνον καὶ τοὺς σὺν αὐτῷ πολλοὺς καὶ ἀνδρείους ὄντας ἀπό τε τῆς ἐν Χρυσοπόλει δαμάλεως καὶ μέχρι τοῦ Λευκάτου διδύμοις ξύλοις πάντας ἀνεσκολόπισαν, καὶ πολλοὺς ἂν τῶν ἐν τέλει τότε ἀνηλεῶς καὶ ἀναιτίως οἱ λεγόμενοι οὗτοι ἐπίτροποι ἀπέκτειναν, εἰ μή τινες τῶν δικαστῶν τούτους τῆς ἀδίκου ὁρμῆς ἀνεχαίτισαν εἰπόντες αὐτοῖς, ὡς παιδὸς ὄντος τοῦ βασιλέως, πῶς ἄνευ τῆς αὐτοῦ κελεύσεως τοιαῦτα τολμᾶτε διαπράττεσθαι; τὴν τοῦ Δουκὸς οὖν γυναῖκα ἀποκείραντες εἰς τὸν ἐν Παφλαγονίᾳ οἶκον αὐτῆς ἐξαπέστειλαν, εὐνουχίσαντες καὶ τὸν υἱὸν αὐτῆς

---

§ 8–9: cf. ps.-Sym. 720.17–721.9

TL [F_2]G[m] EH

---

47 ἀπέτεμον E οὕτω L E **48** ὃν : ὧν T : ὢν E **49** ὠνόμαζον : ὀνομαζόμενον E τοῦ om. G προσέφυγεν (sic m) : προσέφυγον L F_2 H (G non certe vid., sed fort. -ον) **50** τῶν (τῶν/τοῦ m) : τοῦ F_2 G στουδίων T E **51** ῥάκει τε : ῥάκη τε F_2 m : ῥάκοτε ut vid. E : ῥάκη H **52** διὰ om. E **53** δαλμάτρου H ἐγκατάκλειστον (ἐγκατάκλειστον/ἐγκατακλείστους m) : ἐγκατακλείστους T G post λεγομένῃ add. φυλακή E **54** πεποιήκασιν (sic m) : πεποίηκαν G E : ποιήσαντες F_2 λέων E Κατακαλίτζην : καλλίστην E Ἀβεσσαλὼμ (ἀβεσαλὼν G) : ἀβεσσαλὼν L **55** τοῦ om. H Ἀρωτρᾶ (sic m) : ἀροτρὰ L : ἀροτρᾶ G : ἀρωτρὰ F_2 : ἀροτὰ E : ἀρωτρᾶν H ἐν om. L **56** τοῦ om. E εὐλαπίου E H ὕπαρχος : ὑπάρχων G : ὁ ἔπαρχος H **56–57** ὁ τοῦ Λαμπούδη (λαμπώδη m : λαμπάδου E : λαμπάδη H) om. F_2 G **57–59** οὐ – φυγῇ om. L **57–58** μικρὸς T E **58** δὲ om. E ἀσηκρῆτις : ἀσυγκρίτ F_2 : ἀσυγκρίτη H : om. E **59** εὗρεν F_2 G φυγὴ χρησαμένους E Αἰγίδην : αἰγίδαν H : om. L F_2 G m **60** πολλοὺς καὶ ἀνδρείους ὄντας (καὶ ἀνδρείους ὄντας : ἀνδρεία κεκοσμημένους H) : ἀνδρείους ὄντας καὶ πολλοὺς E τῆς : τοὺς ut vid. G : τοῖς E **61** διδύμοις : δίδυμον F_2 : ἀδιδοίμοις E **62** ἀνεσκολόπισεν G E ἂν (ἂν om. E) – τότε om. F_2 G **64** τούτους om. F_2 G ὁρμῆς : ὀργῆς E H ἀνεχαίτισαν : ἀναισχύντησαν F_2 G εἰπόντος E αὐτοῖς : πρὸς αὐτούς F_2 G : αὐτῆς E : αὐτοὺς H ὄντως H **65** τολμεῖτε ut vid. E **66** δοκὼς H **66–67** ἐν Παφλαγονίᾳ : τῆς παφλαγωνίας E

Στέφανον. **10** Αὐγούστῳ δὲ μηνὶ Συμεών, ὁ Βουλγαρίας ἄρχων, ἐκστρατεύσας κατὰ Ῥωμαίων σὺν ὄχλῳ βαρεῖ κατέλαβε τὴν Κωνσταντινούπολιν καὶ δὴ περικαθίσας αὐτὴν χάρακα περιέβαλεν ἀπό τε Βλαχερνῶν καὶ μέχρι τῆς λεγομένης πόρτης Χρυσῆς, ἐλπίσι μετέωρος ὢν ἀπονητὶ ταύτην πάντως ἑλεῖν. ἐπεὶ δὲ τήν τε τῶν τειχῶν κατέμαθεν ὀχυρότητα τήν τε ἐκ τοῦ πλήθους καὶ τῶν ὅπλων καὶ τῶν πετροβόλων ἀσφάλειαν, τῶν ἐλπίδων σφαλεὶς ἐν τῷ λεγομένῳ Ἑβδόμῳ ὑπέστρεψεν εἰρηνικὰς σπονδὰς αἰτησάμενος. **11** τῶν δὲ ἐπιτρόπων τὴν εἰρήνην ἀσμενέστατα ἀποδεξαμένων ἀποστέλλει Συμεὼν Θεόδωρον μάγιστρον αὐτοῦ συλλαλῆσαι τὰ τῆς εἰρήνης. ἀναλαβόμενοι δὲ ὅ τε πατριάρχης Νικόλαος καὶ Στέφανος καὶ Ἰωάννης μάγιστροι τὸν βασιλέα ἦλθον μέχρι τῶν Βλαχερνῶν καὶ εἰσήγαγον τοὺς δύο υἱοὺς Συμεὼν καὶ συνειστιάθησαν τῷ βασιλεῖ ἐν τοῖς παλατίοις. Νικόλαος δὲ ὁ πατριάρχης ἐξῆλθε πρὸς Συμεών, ᾧτινι τὴν κεφαλὴν ὑπέκλινε Συμεών. εὐχὴν οὖν ὁ πατριάρχης ποιήσας ἀντὶ στέμματος, ὥς φασι, τὸ ἴδιον ἐπιρριπτάριον τῇ αὐτοῦ ἐπέθηκε κεφαλῇ. δώροις οὖν ἀμέτροις τε καὶ μεγίστοις φιλοφρονηθέντες ὅ τε Συμεὼν καὶ οἱ τούτου υἱοὶ εἰς τὴν ἰδίαν χώραν ὑπέστρεψαν, ἀσύμφωνοι ἐπὶ τῇ εἰρημένῃ εἰρήνῃ διαλυθέντες. **12** τοῦ βασιλέως οὖν Κωνσταντίνου ἅτε παιδὸς ὄντος καὶ τὴν ἰδίαν μητέρα ἐπιζητοῦντος (ἤδη γὰρ ταύτην κατήγαγεν τοῦ παλατίου Ἀλέξανδρος ὁ βασιλεύς) ἀναβιβάζουσι πάλιν αὐτήν. αὐτὴ οὖν περικρατὴς γενομένη τῆς βασι-

---

68 mense Aug. a. 913 § 12: mense Feb./Mart. a. 914

---

§ 10: cf. ps.-Sym. 721.10–15 § 11: cf. ps.-Sym. 721.15–17 § 12–13: cf. Vit. Euth. 133.9sqq.; 137.1–16 § 12: cf. ps.-Sym. 721.18–722.2

TL [F_2]G[m] EH

---

68 αὐγούστου δὲ μηνὸς E Βουλγαρίας ἄρχων : ἀρχιδρουγκάριος E **69** βαρεῖ : πολλύ E **69–70** τὴν κωνσταντινούπολιν κατέλαβεν L **70** παρακαθίσας L E αὐτὴν : αὐτῶ E post χάρακα add. τε L περιέβαλλεν G H τε om. E H **71** λεγομένης om. E χρυσῆς πόρτης E post ὢν add. ὡς T L **72** ἀπονητὶ ταύτην : ἀπονητὶ G : απονυκτὶ F_2 : ἀπὸ νυκτὶ ταύτη E ἑλεῖν : ἑλεῖ T L ἐπεὶ δὲ : ἐπιδὲ F_2 E τε om. F_2 H κατέμαθεν : κατέμαθον L : κατεμάνθανε E **73** τήν τε : ταύτην E τῶν ὅπλων καὶ om. F_2 G πετροβολῶν E **74** τῶν ἐλπίδων σφαλεὶς : εὑρηκὼς E **76–77** Συμεὼν – αὐτοῦ : συμεὼν ἄνθρωπον αὐτοῦ θεόδωρον E : θεόδωρον μάγιστρον αὐτοῦ ὁ συμεὼν H **77** ἀναλαβόμενος E **78** οἱ μάγιστροι E τὸν βασιλέα : τῶν βασιλέων E **79–80** συνειστιάθησαν : συνεστιάθησαν F_2 E : συνεσθιάθησαν/συνεστιάθησαν m **80** τῶ παλατίω E **81** post ὑπέκλινε add. ὁ H **81–82** ποιήσας ὁ πατριάρχης H **82** ὥς φασι om. F_2 G **82–83** τὸ – αὐτοῦ : τὸ ἑαυτοῦ ἐπεριπτάριον τῆι ἑαυτοῦ G : τῶ ἑαυτοῦ περιίπτάριον ἐν αυ^{τ} F_2 **82** ἐπιρριπτάριον : περιίπτάριον E **83** αὐτοῦ (sic m) : ἑαυτοῦ L F_2 G H περιέθηκε E τε om. F_2 G E **83–84** φιλοφρονηθεὶς E **84** τε om. E τούτου υἱοὶ : υἱοὶ αὐτοῦ H **85** ἀσύμφωνοι : ὡσύμφωνι F_2 : ἀσύμφωνα E εἰρημένῃ om. L τοῦ βασιλέως om. H **86** ὄντως H **87** ταύτην (ταύ^{τ} F_2) : ταύτη E post κατήγαγεν add. ἐκ H **88** αὕτη L E ἐπικρατὴς E

λείας ἀναβιβάζει εἰς τὸ παλάτιον Κωνσταντῖνον παρακοιμώμενον καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον αὐταδέλφους, τοὺς Γογγυλίους λεγομένους, καὶ τῇ βουλῇ Ἰωάννου τοῦ Ἑλλαδᾶ καταβιβάζουσι τοὺς οἰκείους Ἀλεξάνδρου βασιλέως, Ἰωάννην τὸν ῥαίκτορα καὶ τὸν λεγόμενον Γαβριλόπουλον καὶ Βασιλίτζην καὶ τοὺς λοιπούς. **13** προχειρίζεται δὲ Ζωὴ αὐγούστα Θεοφύλακτον Δομήνικον ἑταιρειάρχην. Ἰωάννης δὲ μάγιστρος ὁ Ἑλλαδᾶς νόσῳ περιπεσὼν καὶ ἀπαγορευθεὶς παρὰ τῶν ἰατρῶν, κατελθὼν ἐκ τοῦ παλατίου καὶ ἐν Βλαχέρναις παραγενόμενος ὑπὸ τῆς νόσου βαρηθεὶς τελευτᾷ. συμβουλῇ δὲ Δομηνίκου ἑταιρειάρχου καταβιβάζει Ζωὴ Νικόλαον πατριάρχην ἅμα τοῖς σὺν αὐτῷ μετ᾽ ὀργῆς τὰ τῆς ἰδίας ἐκκλησίας †περιποιούμενον καὶ† φροντίζειν εἰποῦσα. οὐ μετὰ πολὺ οὖν Κωνσταντῖνος παρακοιμώμενος διαβάλλει τῇ αὐγούστῃ Δομήνικον ἑταιρειάρχην ὡς τὴν βασιλείαν σφετεριζόμενον εἰς τὸν αὐτοῦ ἀδελφόν, καὶ τοῦτον ἐν προφάσει πατρίκιον ποιήσαντες κατελθόντα ἐν τῇ ἐκκλησίᾳ, ὡς ἔθος, εὐχὴν λαβεῖν οἴκοι μένειν παρεκελεύσαντο. προεβάλετο δὲ Ζωὴ Ἰωάννην Γαριδᾶν ἑταιρειάρχην καὶ Δαμιανὸν εὐνοῦχον τῆς βίγλης δρουγγάριον. Δομήνικος δὲ ἀπῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ ἀνόνητα ὀλοφυρόμενος. **14** τοῦ δὲ Βουλγάρου Συμεὼν τὴν Θρᾴκην πάλιν ληϊζομένου ἐν φροντίδι οὔσης τῆς αὐγούστης καὶ τῶν ἐν τέλει, ὅπως αὐτὸν τῆς ἀλαζονείας παύσωσιν, ᾐτήσατο Ἰωάννης ὁ Βογᾶς

---

§ 13: cf. ps.-Sym. 722.2–13 § 14: cf. ps.-Sym. 722.14–18

TL [F_2]G[m] EH

---

89 ἀναβιβάζει : ἄνα E καὶ om. E **90** post Ἀναστάσιον add. τοὺς E **90–91** λεγομένους γογγυλίους F_2 G E **92** post Ἀλεξάνδρου add. τοῦ L m E post τὸν pr. add. λεγώμενον H **93** γαυρϊηλόπουλον E προχειρίζεται δὲ : καὶ προχειρίζεται E **94** Θεοφύλακτον om. L E Δομήνικον : δομέστι^{κ} F_2 : δαιμονικὸν E : δομενίκου H **95** μάγιστρος om. F_2 G ὁ om. H περιπεριπεσὼν E **95–96** καὶ – ἰατρῶν om. F_2 G **95** ἀπήγορευθεὶς E παρὰ : ὑπὸ E **96** παραγενόμενος : γενόμενος L **97** βαρηθεὶς ((sic m) -ηθ- : -ιθ- T) : βαρηνθὴς F_2 : βαρυνθεὶς (-εῖς H) E H δὲ om. E H Δομηνίκου : δαμιανί^{κ} F_2 : δαιμονικοῦ E : δομενίκου H **97–98** καταβιβάζει – πατριάρχην om. F_2 G **98** post Ζωὴ add. αὐγούστα E τὸν πατριάρχην νικόλαον E **98–99** ἅμα – ἰδίας om. E **99** ἐκκλησίας – εἰποῦσα (εἰποῦσαν T) : ἐκκλησίαν εἰποῦσα φροντίζειν καὶ περιποιεῖσθαι E περιποιούμενον καὶ (sic F_2 m) om. L H (de E vide supra), quod fort. del. **99–106** οὐ – ὀλοφυρόμενος om. F_2 G **99–100** οὐ μετὰ πολὺ (πολλὺν H) : οὐ μετ᾽ οὐ πολὺ m E : non adhib. F_2 G **100** τῇ om. H τὴν αὐγούσταν E **101** Δομήνικον : δομίνικον E : δομένικον H σφεντεριζόμενον E ἑαυτοῦ L **102** ἐν pr. : ἐμ ut vid. T : ἐκ H ποιήσαντα κατελθόντος E **102–03** εἰς τὴν ἐκκλησίαν E **103** post ἔθος add. ἐστίν H λαβεῖν : ποιεῖν E οἴκοι : ἐκεῖ E : ἐκεῖσε H παρακελεύσαντα E **103–04** προεβάλλετο T H **104** post Ἰωάννην add. τὸν E **104–05** εὐνοῦχον – δρουγγάριον : δρουγγάριον τῆς βίγλας εὐνοῦχον ὄντα E **105** δομίνικος E δὲ om. E **106** Βουλγάρου (L per comp.) : βούλγαρος E **108** παῦσουσιν T Βογᾶς ((vel Βογὰς) sic F_2 m) : βωγᾶς T L : βογὰς H

γενέσθαι πατρίκιος, ὑποσχόμενος ἀγαγεῖν κατ᾽ αὐτοῦ Πατζηνάκας. τῆς αἰτήσεως δὲ τυχὼν δῶρά τε λαβὼν εἰς τὴν Πατζηνακῶν χώραν ἀπῄει καὶ δὴ ὁμήρους ἐκεῖθεν λαβὼν ἤγαγεν ἐν τῇ πόλει, συνθεμένων τῶν Πατζηνακῶν διαπερᾶσαι καὶ τὸν Συμεὼν καταπολεμῆσαι. **15** παρεγένετο δὲ ἐν τῇ πόλει καὶ Ἀσώτιος, ἀνὴρ ἐπὶ ῥώμῃ ὀνομαστότατος, υἱὸς ὢν τοῦ ἄρχοντος τῶν ἀρχόντων· ὅν φασι σιδηρᾶν ῥάβδον ἐκ τῶν ἄκρων ἑκατέραις κρατοῦντα χερσὶ τῇ ὑπερβαλλούσῃ ἀλκῇ διακάμπτειν καὶ πρὸς τὸ κυκλικὸν σχῆμα μετάγειν, τῆς ἀντιτύπου τοῦ σιδήρου φύσεως τῇ βίᾳ τῶν χειρῶν ὑπεικούσης· ὃν παραγενόμενον μετὰ πολλῆς τιμῆς ὑπεδέξαντο καὶ πάλιν εἰς τὴν ἰδίαν χώραν ἐξέπεμψαν. **16** Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος γ', Παγκρατοῦκας ὁ Ἀρμένιος τὴν Ἀδριανούπολιν τῷ Συμεὼν προδέδωκεν. μετ᾽ οὐ πολὺ δὲ ἀπεστάλη Βασίλειος, πατρίκιος καὶ κανίκλης, καὶ Νικήτας πρωτοσπαθάριος ὁ Ἑλλαδικὸς παρὰ Ζωῆς μετὰ δώρων πολλῶν καὶ ἀντεπαρέλαβεν πάλιν αὐτήν. **17** ἦλθε δὲ καὶ Δαμιανὸς ἀμηρᾶς εἰς Στρόβηλον νῆσον μετὰ πλοίων πολεμικῶν καὶ πολλῆς τῆς δυνάμεως καὶ ταύτην παρέλαβεν ἄν, εἰ μὴ νοσήσας ἐτελεύτησεν, ὑποστρεψάντων διὰ κενῆς τῶν Ἀγαρηνῶν. οἱ δὲ τῆς Ἑλλάδος καὶ τῶν Ἀθηνῶν οἰκήτορες συνεχῶς ἐπηρεαζόμενοι παρὰ Χασέ, υἱοῦ τοῦ Ἰούβη, τὴν αὐτοῦ ἀσωτίαν καὶ ἀπληστίαν μὴ ἐνεγκόντες, λίθοις τοῦτον βάλλοντες ἀνεῖλον κακῶς ἔνδοθεν τοῦ θυσιαστηρίου τοῦ

---

§ 16: mense Sept. a. 914 **123–25** ἦλθε – Ἀγαρηνῶν : an a. 924? (vide introd. III.3.1.1)

---

§ 15: cf. ps.-Sym. 722.19–723.2 § 16: cf. ps.-Sym. 723.3–6 § 17: cf. ps.-Sym. 723.6–12

TL [F_2]G[m] EH

---

109 κατ᾽ αὐτοῦ om. F_2 G Πατζηνάκας (sic m) : πατζηνάκους (-τζι- G) F_2 G E : πετζηνάκους H **109–10** τῆς αἰτήσεως δὲ : καὶ τῆς αἰτήσεως E **110** τε : πολλὰ F_2 : τε πολλὰ G : δὲ E **110–11** εἰς – λαβὼν om. E **110** post τὴν add. τῶν H πατζηνάκων H ἀπείη F_2 H **112** πατζηνάκων E H τὸν Συμεὼν : τὸν συμεώνα E : τῷ συμεῶνι H **113** post δὲ add. τότε L ἐπὶ ῥώμῃ (ῥωμαίων E) : ἐν πείρᾳ F_2 G ὀνοματότατος G **114** τοῦ om. E **115** ἑκατέρας H κρατούντι E χερσὶ κρατοῦντα F_2 G ὑπερβαλλούσῃ (ὑπερβαλούσηι G) ἀλκῇ διακάμπτειν : ἐπιβα[ου]λούση ἀλκὴ· ἐκάμπτη E **116** μετάγειν : μετάγη F_2 : μετάγει E **116–17** ἀντιτύπου τοῦ (τοῦ om. L) σιδήρου φύσεως : ἀντιτυπίας τοῦ σιδήρου E **117** post πολλῆς add. τῆς L **119** μηνὸς E παγκρουτοῦκας G ἀρμένης F_2 G **119–20** ἀνδριανούπολιν F_2 E H **120** συμεώνι E **120–21** ἀπεστάλη (ὑπεστάλη F_2 : ἀπεστάλη δὲ G : ἀποστέλει E) – κανίκλης (ἐπι τοῦ κανικλείου E) : πατρίκιος βασίλειος καὶ κανικλείος ἀπεστάλη H **121** καὶ alt. – Ἑλλαδικὸς : σὺν νικήτᾳ πρωτοσπαθαρίῳ τῷ ἑλλαδικῷ H **123–25** ἦλθε – Ἀγαρηνῶν : vide introd. III.3.1.1 **123** εἰσῆλθε E Δαμιανὸς om. F_2 G H εἰς Στρόβηλον : εἰστρόβηλον G H post πλοίων add. πολλῶν T **124** τῆς om. E H **125** ὑποστρεψάντων – Ἀγαρηνῶν om. F_2 G **125–26** δὲ τῆς : γῆς H **127** ἰαβοῦ[η] E ἑαυτοῦ F_2 E ἀπληστείαν καὶ ἀσωτείαν E **128** λίθοις τοῦτον βάλλοντες (βάλλοντες : βάλοντες L : βαλόντες ut vid. F_2 : βαλλόντες H : om. m) om. E

ἐν Ἀθήναις ναοῦ. **18** βλέπουσα δὲ Ζωὴ βασίλισσα τὴν ἔπαρσιν Συμεὼν καὶ τὴν κατὰ τῶν Χριστιανῶν αὐτοῦ ἐπίθεσιν, βουλὴν μετὰ τῶν ἐν τέλει βουλεύεται ἀλλάγιον καὶ εἰρήνην μετὰ τῶν Ἀγαρηνῶν διαπράξασθαι, διαπερᾶσαι δὲ πάντα τὸν τῆς ἀνατολῆς στρατὸν πρὸς τὸ καταπολεμῆσαι καὶ ἀφανίσαι τὸν Συμεών. ἀπεστάλη οὖν ἐν Συρίᾳ ἐπὶ τὸ ποιῆσαι ἀλλάγιον Ἰωάννης πατρίκιος ὁ Ῥαδινὸς καὶ Μιχαὴλ ὁ Τοξαρᾶς· οὗ γεγονότος τὴν συνήθη τῆς ῥόγας διανομὴν ποιησάμενοι ἐν τοῖς τάγμασι ταῦτά τε ἀναλαβόμενοι σὺν τοῖς θέμασι πρὸς τὴν θρᾳκῴαν γῆν διεπέρασαν, Λέοντος μαγίστρου τοῦ Φωκᾶ δομεστίκου τυγχάνοντος. **19** ἐξαγαγόντων δὲ τὰ ζωοποιὰ καὶ σεβάσμια ξύλα Κωνσταντίνου πρωτοπαπᾶ τοῦ παλατίου, τοῦ Κεφαλᾶ λεγομένου, καὶ Κωνσταντίνου τοῦ Μαλελίας ἐν τῇ Θρᾴκῃ ἅπαντες προσκυνήσαντες καὶ ἐπομοσάμενοι συναποθνῄσκειν ἀλλήλοις πανστρατὶ κατὰ Βουλγάρων ἐξώρμησαν. ἦρχον δὲ τοῦ μὲν τάγματος τοῦ ἐξκουβίτου Ἰωάννης ὁ Γράψων, τοῦ δὲ ἱκανάτου ὁ τοῦ Μαρούλη υἱός. Ῥωμανὸς δὲ ὁ Ἀργυρὸς ἐστρατήγει καὶ Λέων ὁ ἀδελφὸς αὐτοῦ καὶ Βάρδας ὁ Φωκᾶς, οἷς συνῆν καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων καὶ οἱ ἄλλοι πάντες στρατηγοὶ τῶν θεμάτων. συνῆν δὲ πρὸς τοῖς ἄλλοις καὶ Κωνσταντῖνος πατρίκιος ὁ Λὶψ Λέοντι δομεστίκῳ, σύμβουλος αὐτῷ ἐν πᾶσι τοῖς ἀνήκουσιν ὤν. **20** μηνὶ δὲ Αὐγούστῳ εἰκάδι, ἰνδικτιῶνος πέμπτης, ὁ πόλεμος μεταξὺ Βουλγάρων

---

§ 20: 20.8.917

---

§ 18: cf. ps.-Sym. 723.13–20 § 19: cf. ps.-Sym. 723.21–724.6 § 20: cf. ps.-Sym. 724.7–12

TL [F_2]G[m] EH

---

129 post Ζωὴ add. ἡ F_2 E **130** τῶν pr. om. E H post βουλὴν add. δὲ E **131** βούλεται E **132** διαπερᾶσαι post στρατὸν transp. E δὲ πάντα : πάντα δὲ E : πάντα H **132–33** πρὸς τὸ καταπολεμῆσαι : καὶ καταπολεμῆσαι, καὶ καταπολεμῆσαι καὶ παντελεῖ φθορᾷ H **133** ἀφανίσαι τὸν Συμεών : ἀφανισμῷ τὸν συμεὼν παραδοῦναι H οὖν : δὲ E **134** Ῥαδινὸς (sic m : ραδινῶς T) : ῥαδηνὸς L H : ραδεινὸς F_2 **134–36** οὗ – θέμασι om. F_2 G **135** τὴν συνήθη τῆς : τῆς συνήθους E **136** θρᾳκῴαν γῆν : θράκην F_2 G **137** τυγχάνοντος : ὄντος τῶν σχολῶν E **138** ἐξαγαγόντων (ἐξαγαγόντων/ἐξαγαγόντες m) : ἐξαγαγόντες F_2 E : ἐξαγαγὼν H ζωοποιὰ καὶ σεβάσμια (καὶ σεβάσμια om. H) ξύλα : σεβάσμια καὶ ζωοποιὰ ξύλα F_2 G : σεβάσμια ξύλα καὶ ζωοποιὰ m **138–39** κωνσταντίνος πρωτοπαπᾶς F_2 E **139** τοῦ Κεφαλᾶ λεγομένου om. E Κωνσταντίνου om. E **140** τοῦ : τῆς F_2 G Μαλελίας : μελελίας L : ἀμελίας F_2 : μαλελία m : μαλελέη E : μαλελελίας H ἐν om. H **141** post συναποθνῄσκειν add. πάντες H πανστρατϊὰ E **142** ἦρχον : ἤρχου T : ἦχον E δὲ – ἐξκουβίτου : μὲν (μὲν etiam F_2) ἐκ τῶν ταγμάτων τῶν ἐξκουβίτων E Γράψων : χαύσων E **143** ἱκανάτου : τῶν ἱκανάτων H ὁ pr. om. L F_2 Μαρούλη : βαρούλη T **144** βάλδας E **145** post πάντες (πάντων F_2 G) add. οἱ E **146** δὲ : καὶ E τοὺς ἄλλους T καὶ om. E **146–47** Λέοντι δομεστίκῳ : λέοντος δομεστίκου E **147** σύμβουλος : ἐν βουλῇ F_2 : συμβούλωι G αὐτῷ : αὐτοῦ G H : αυ$^{\tau}$ F_2 δὲ om. L F_2 **148** εἰκάδι (εἰκάδι om. E) πέμπτη ἰνδικτιῶνος ε L **148–49** ῥωμαίων καὶ βουλγάρων E H

τε καὶ Ῥωμαίων πρὸς τῷ Ἀχελῴῳ συγκεκρότητο ποταμῷ, καὶ οἷα τὰ τοῦ Θεοῦ κρίματα, ὡς ἀνεξερεύνητα καὶ ἀνεξιχνίαστα, τρέπονται Ῥωμαῖοι πανστρατί, καὶ γέγονε φυγὴ παντελὴς καὶ φρικώδης ὀλολυγή, τῶν μὲν ὑπ᾽ ἀλλήλων συμπατουμένων, τῶν δὲ ὑπὸ τῶν πολεμίων ἀναιρουμένων, αἵματός τε χύσις, οἷα ἐξ αἰῶνος οὐ γέγονεν. Λέων δὲ ὁ δομέστικος ἐν Μεσημβρίᾳ διεσώθη φυγών. ἐσφάγη δὲ πρὸς τοῖς ἄλλοις ἐν τῇ τοῦ πολέμου συμβολῇ καὶ Κωνσταντῖνος ὁ Λὶψ καὶ Ἰωάννης ὁ Γράψων καὶ ἄλλοι τῶν ἀρχόντων ἱκανοί. **21** ἀπεστάλη δὲ τότε καὶ Ῥωμανὸς πατρίκιος, δρουγγάριος ὢν τοῦ πλοΐμου, μετὰ παντὸς τοῦ στόλου ἐν τῷ Δανουβίῳ ποταμῷ βοηθήσων Λέοντι τῷ Φωκᾷ, ἀλλὰ καὶ Ἰωάννης ὁ Βωγᾶς καταγαγεῖν Πατζηνάκας, ὡς εἴρηται, κελευσθέντος τοῦ δρουγγαρίου Ῥωμανοῦ διαπερᾶσαι τούτους κατὰ Βουλγάρων, ὥστε συμμαχῆσαι Λέοντι τῷ Φωκᾷ. Ῥωμανοῦ δὲ καὶ Ἰωάννου τοῦ Βογᾶ εἰς ἔριδας καὶ λογομαχίας ἐλθόντων ὁρῶντες αὐτοὺς οἱ Πατζηνάκαι πρὸς ἀλλήλους διαμαχομένους καὶ στασιάζοντας ὑπεχώρησαν εἰς τὰ ἴδια. **22** τοῦ πολέμου δὲ ἤδη τέλος λαβόντος καὶ ὑποστρεψάντων ἐν τῇ πόλει τοῦ τε Ῥωμανοῦ καὶ τοῦ Βογᾶ τὰ κατ᾽ αὐτῶν ἐκινήθησαν, καὶ εἰς τοσοῦτον κίνδυνον τὸν δρουγγάριον Ῥωμανὸν περιέστησαν, ὥστε καὶ καταδικάζουσαν ψῆφον ἐξήνεγκαν τῶν ὀφθαλμῶν στερηθῆναι ὡς ἀμελείᾳ, μᾶλλον δὲ κακουργίᾳ μὴ διαπεράσαντα τοὺς Πατζηνάκας, ἀλλ᾽

---

§ 21: cf. ps.-Sym. 724.12–18 § 22: cf. ps.-Sym. 724.18–725.3

TL [F_2]G[m] EH

---

149 τῷ : τὸ T E H Ἀχελῴῳ : ἀχηλαίω F_2 : ἀρχϊαλέω E συγκεκρότητο : συγκεκρότηται L : συνεκροτεῖτο E ποταμῷ (ποᵀ G) : τοπ´ F_2 (τῇ Ἀχελῷ … πόλει? in app. Tafel) οἷα : οἷς H **150** ἀνεξερεύνητα : ἀνεξερεύνητά τε L : ἀνεξηρεύνητα F_2 E H post τρέπονται add. οἱ F_2 E **151** παντελὴς om. F_2 G φρυκόδη E ὀλυληγῆ H **152** ὑπ᾽ : ἀπ F_2 G : om. E post ἀλλήλων add. συμποδϊσθέντων· καὶ E **153** αἵματός τε : αἱμάτων E οἷε E **154** ἐσώθη H **154–55** πρὸς (ἐν E) – καὶ pr. (καὶ om. E) om. F_2 G **156** Γράψων : γάψων L : γάσων E **157** post πατρίκιος add. καὶ F_2 G m E ὢν om. F_2 G E (quod exhib. m) τῶν πλοΐμων E **158** δουναβίω E βοηθῆσαι λέοντα τὸν φωκὰν E **158–61** ἀλλὰ – Φωκᾷ om. F_2 G (homoeotel.) **159** Βογᾶς : βωγᾶς L : βωγᾶς/βογᾶς m : βουγὰς E : βογὰς H : non adhib. F_2 G post καταγαγεῖν (καταγαγὼν E) add. τοὺς H Πατζηνάκας (sic T^2 pc et m) : πατζηνάκους (-τζι- E) T^{ac} E H : non adhib. F_2 G κελευσθέντος : κελευθέντος (sic ut vid. E) δὲ E **160** βουλγάρους E **161** λέοντα τὸν φωκὰν E ῥωμανὸς E Βογᾶ : βωγᾶ T L : βουγὰ F_2 E : βογᾶ/βωγᾶ m : βογὰ H **162** ἐλθόντων : ἐλθόντος fort. G : ἐλθόντες ut vid. F_2 Πατζηνάκαι : πατζηνάκοι F_2 E : πατζινάκοι G m : πατζηνάκοι καὶ H **163** στασιάζοντας (sic ut vid. G) : στασιάζοντες F_2 E **164** δὲ ἤδη om. F_2 G καὶ om. F_2 G **165** τε om. H Βογᾶ (βογὰ F_2 H) : βωγᾶ T L : βωγᾶ/βογᾶ m : βουγά E τὰ (τὰ om. E) κατ᾽ αὐτῶν ἐκινήθησαν (ἐκινήθη F_2 G) : τἀυτοῦντες καὶ οἱ ἐν τέλει H **166** τὸν δρουγγάριον Ῥωμανὸν : ῥωμανὸν τὸν δρουγγάρϊον E : τὰ τοῦ δρογγαρίου ῥωμανοῦ H περιέστη H **167** καὶ om. F_2 G E (quod exhib. singularia mss. e m) ἀνήνεγκαν F_2 G m post ὀφθαλμῶν (ὀφθαρμῶν E) add. αὐτῶν H **168** δὲ : δὲ καὶ F_2 m : καὶ E διαπεράσαντα : διαπερᾶσαι F_2 G : διαπεράσαντας E Πατζηνάκας (sic m) : πατζινάκους (-τζη- E) F_2 G E H

ὑποχωρήσαντα τάχιον καὶ μηδὲ τοὺς φεύγοντας Ῥωμαίων ἐν τοῖς πλοίοις ὑποδεξάμενον. καὶ τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ παρὰ Κωνσταντίνου πατρικίου τοῦ Γογγύλη καὶ Στεφάνου μαγίστρου ὡς δυναμένων παρὰ τῇ αὐγούστῃ πολλὰ τὰ τῆς καταδίκης ἀνετράπη. **23** τῶν δὲ Βουλγάρων τῇ νίκῃ κατεπαρθέντων καὶ ἐκστρατευσαμένων μέχρι τῆς πόλεως ἐξῆλθε Λέων ὁ δομέστικος τῶν σχολῶν καὶ Ἰωάννης ἑταιρειάρχης καὶ Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς εἰς χῶρον θρᾳκῷον οὕτω λεγόμενον Κατασύρτας ἅμα πλείστῳ λαῷ κατὰ Βουλγάρων. τῇ δὲ νυκτὶ ἀδοκήτως ἐπιπεσόντων αὐτοῖς τῶν Βουλγάρων καὶ τοῦ δομεστίκου φυγόντος ἐσφάγη Νικόλαος ὁ υἱὸς τοῦ Δουκὸς καὶ πολλοὶ ἕτεροι μετ᾽ αὐτοῦ. **24** Θεόδωρος οὖν, ὁ τοῦ βασιλέως Κωνσταντίνου παιδαγωγός, ὁρῶν Κωνσταντῖνον παρακοιμώμενον εἰς Λέοντα τὸν ἴδιον γαμβρὸν τὴν βασιλείαν σφετεριζόμενον ὑπέθηκε Κωνσταντίνῳ βασιλεῖ Ῥωμανὸν δρουγγάριον προσλαβέσθαι ὡς πατρικὸν αὐτοῦ δοῦλον καὶ εὔνουν τὰ πρὸς αὐτόν, ὡς ἂν ᾖ σὺν αὐτῷ καὶ διαφυλάττει αὐτόν, καὶ ἐν οἷς ἂν δέῃ, σύμμαχον ἔχει καὶ βοηθόν. πολλάκις οὖν περὶ τούτου λαληθεὶς Ῥωμανὸς ἀπείπατο. γραμματεῖον οὖν ὁ βασιλεὺς Κωνσταντῖνος αὐτοχείρως διαχαράξας γραφῇ καὶ ὑπογραφῇ διασφαλισάμενος ἀπέστειλεν αὐτῷ, ὅπερ οὗτος ἐπὶ χεῖρας λαβὼν ὑπέσχετο τὴν κατὰ τοῦ παρακοιμωμένου

---

§ 23: a. 917

---

§ 23: cf. ps.-Sym. 725.4–8 § 24: cf. ps.-Sym. 725.9–17

TL [F_2]G[m] EH

---

169 ὑποχωρήσαντα (ὑποχωρήσαντ G) : ὑποχωρήσαντας F_2 m E Ῥωμαίων (sic m) : ῥωμαίους L H : τῶν ῥωμαίων E : om. F_2 G **170** ὑποδεξάμενον : ὑποδεξαμένου H : αὐτῶν δεξαμένους E τοῦτον E **171** πατρικίου : δρουγγαρίου (δρουγγαρίου expunxit E) ἢ (?) πατρικίου E : om. F_2 G Γογγύλη : γογγίλου F_2 : γογγϊλίου E ὡς om. H δυνατουμένων T **172** πολλὰ om. F_2 G καταδίκης ἀνετράπη : δίκης ἀνατρέπειν E **173** ἐκστρατευσαμένων : ἐκστρατευσάντων L **174** ὁ om. F_2 G **175** ὁ om. T G (exhib. F_2 m) post Δουκὸς (δοκὼς H) add. καὶ πολλοὶ ἕτεροι μετ᾽ αὐτῶν E χῶρον θρᾳκῷον : χῶραν θρακῶον G : χώραν θρακόνων F_2 οὕτως E H **176** βουλγάρους E **176–77** τῇ – Βουλγάρων om. L m E (homoeotel.) **177** πεσόντων H δομεστίκου : δοκὸς H **178** φυγέντος ut vid. E ὁ υἱὸς τοῦ Δουκός (δοκὸς H) om. E **178** πολλοὶ post αὐτοῦ (**l. 179**) transp. E **179** οὖν om. E Κωνσταντίνου om. E **180** post Λέοντα add. τὸν φωκᾶν, τὸν εἰς γολεοῦντα τυφλωθέντα H **181** σφεντεριζόμενον E post Κωνσταντίνῳ add. τῷ L H **181–82** ῥωμανῶ δρουγγαρίω E **182** προσλαβέσθαι : προβαλλεσθαι F_2 : προβαλέσθαι G : προσβάλλεσθαι/προσβαλλέσθαι m : προλαβέσθαι E τὰ om. T **183** ἦν E διαφυλάττει : διαφυλάττῃ T : διἀφυλάττην F_2 : διαφυλάττειν m H : φυλάττειν E αὐτόν alt. (αυτ F_2) : αὐτῶι G καὶ (καὶ om. F_2 G) ἐν οἷς ἂν δέῃ : ἐν οἷς ἂν καὶ ἡ E **184** ἔχει (sic F_2) : ἔχειν L m E H καὶ om. E **185** γραμμάτιον G **185–86** ὁ – διαχαράξας etiam (i.e. bis exhib.) post πολλάκις οὖν (**l. 184**) exhib. E, sed signo indicavit post γραμματεῖον οὖν ponendum esse **185** αὐτοχείρως : αὐτῶ χεῖρω T : αὐτοχείρω L **185–86** διαχαράξας αὐτοχείρως H **186** γραφῇ : γράφει T : om. E **187** κατὰ : παρὰ E : om. F_2 G

Κωνσταντίνου καὶ τῶν συγγενῶν αὐτοῦ ἐπίθεσιν, ᾧ δέοι, ποιήσασθαι. **25** τῆς φήμης οὖν ταύτης διαθεούσης, καὶ τοῦ παρακοιμωμένου Κωνσταντίνου καταναγκάζοντος Ῥωμανὸν ἀποκινῆσαι μετὰ τοῦ στόλου αὐτὸς προεφασίζετο, ὡς ἀδυνάτως ἔχειν τοῦ ἀποπλεῖν μὴ τοῦ στόλου τὴν νενομισμένην ῥόγαν λαβόντος. ἐν τῇ ἐξαρτίσει δὲ ὄντος τοῦ Ῥωμανοῦ καὶ τὰ πλοῖα εὐτρεπίζοντος ἐξῆλθε Κωνσταντῖνος παρακοιμώμενος ὡς ἐπισπουδάσων αὐτὸν τοῦ ἐκπλεῦσαι. ὁ δὲ τοῦτον δουλικῷ τῷ σχήματι προϋπήντησε καὶ προθύμως ποιήσειν τὸ κελευόμενον ἐπηγγέλλετο. ὑποστρέψαι δὲ βουλομένου τοῦ παρακοιμωμένου, καὶ εἰ ἔχει ἄνδρας εὐειδεῖς καὶ γενναίους, ἐπιτηδείους τὴν βασιλικὴν ἐρέττειν τριήρη, εἰπόντος πρὸς Ῥωμανόν, οὗτος εὐθὺς ἔνευσε τούτοις τῇ χειρὶ ἑτοίμοις οὖσι πλησίον ἐλθεῖν. οἱ δὲ τὰ τῆς βουλῆς εἰδότες, ἔγγιστα ἤδη τοῦ δρόμωνος Ῥωμανοῦ γεγονότες, ἐπειδὴ οὗτος ὀπίσω τοῦ παρακοιμωμένου Κωνσταντίνου περιπατῶν ἀνήρπασεν αὐτὸν ταῖς χερσὶ καὶ »ἄρατε αὐτόν« ἐφώνησε, παραχρῆμα οὗτοι τοῦτον ἁρπάσαντες εἰς τὴν τοῦ δρουγγαρίου Ῥωμανοῦ τριήρη εἰσήγαγον καὶ ἐν ἀσφαλείᾳ κατεῖχον. οὐδεὶς οὖν ὁ ὑπερασπίζων ἦν ἢ κατοικτείρων τὸν ἄνθρωπον, πάντων τῶν συνόντων αὐτῷ χρησαμένων φυγῇ. **26** ταῦτα Ζωὴ αὐγούστα μαθοῦσα προσκαλεῖται τὸν πατριάρχην Νικόλαον καὶ τοὺς αὐτῆς μεγιστᾶνας καὶ ἀποστέλλει πρὸς Ῥωμανὸν τὸ γεγονὸς βουλομένη μαθεῖν. τούτων δὲ διαπερασάντων λίθοις ὁ λαὸς αὐτοὺς ἐξήλασαν βάλλοντες. ἕωθεν οὖν

---

§ 26: a. 918

---

§ 25: cf. ps.-Sym. 725.17–23

TL [F_2]G[m] EH **203** ab εἰσήγαγον TL [F_2]G[m] F_1H

---

188 ᾧ (sic F_2 m (ᾧ δέοι : ὧδε m)) : ὡς L E post δέοι (δέη L : δέον E : δέει H) add. καιρῷ H (non add. F_2 m) **189** δϊαθρούσης ut vid. E **190** ἀναγκάζοντος E ῥωμανῶ E μετὰ τοῦ (τοῦ om. F_2 G) στόλου : καταστόλου E **191** ἔχειν (sic m) : ἔχει T L F_2 τοῦ pr. : τῆς πόλεως T L post μὴ add. δὲ E **192** ἐξαρτίσει scripsi (sed fort. scrib. ἐξαρτύσει (sic Bekker Tafel)) : ἐξαρτήσει T L F_2 G m H : ἐξετάσει E τοῦ om. H **193** εὐτρεπίζοντες E **193–94** ἐπισπουδάζων F_2 E **194** τοῦτον : τούτω H : om. F_2 G m δουλικῷ : δολερῶ E **195** προσυπήντησε T L m H προθύμως ποιήσειν : προθυ$^{μ'}$ εποίησε F_2 : προθυμοποιῆσειν G ποιήσειν τὸ κελευόμενον : ποίησον τὸ κελευόμενος E : τὸ κελευόμενον ποιεῖν H ἐπηγγείλατο E **196** τοῦ παρακοιμωμένου βουλομένου H ἔχοι L m **197** post γενναίους add. τε καί H ἐρέττειν : ἄγειν F_2 : αἶρε m : ἀρετήν E : ἐρίττειν H τριήρην L m H : om. F_2 **197–98** προς ῥωμανόν εἰπόντος E **198** τούτοις (sic ut vid. L : τούτους G E) τῇ χειρὶ ἑτοίμοις (ἑτοίμους L G) οὖσι (εἶναι H) **199** τοῦ : τοὺς F_2 : τῆς G (per comp.) **200** γεγονότος E **200–01** ἐπειδὴ – περιπατῶν om. F_2 G **200** οὗτος : οὕτως T ὀπίσω om. H **200–01** κωνσταντίνος E **201** ἀνήρπασαν F_2 et fort. G (non certe vid.) **202** ἐφώνησε : ἀνεφώνησεν L τὴν : τὸν F_2 E **202–03** ῥωμανοῦ δρουγγαρίου L **204** ἦν om. L F_1 ἢ – ἄνθρωπον om. F_2 G **205** αὐτῷ : αὐτὸν G φυγῇ χρησαμένων F_2 F_1 **206** αὐτῆς : αὐτοὺς H : om. F_1 μεγιστάνους F_2 F_1 **208** αὐτοὺς : τούτους F_1 ἐξίλασε F_2 F_1 βάλλοντες om. F_2 G F_1

ἐξελθοῦσα Ζωὴ ἐν τῷ τοῦ Βουκολέοντος ἡλιακῷ ἐπεφώνει τῷ υἱῷ καὶ πᾶσι· πῶς ἆρα γέγονεν ἡ ἀνταρσία αὕτη; ἔφησε δὲ πρὸς αὐτὴν ὁ παιδαγωγὸς τοῦ βασιλέως Κωνσταντίνου Θεόδωρος, ὅτι διὰ τὸ ἀπολέσαι Λέοντα τὸν Φωκᾶν τοὺς Ῥωμαίους καὶ Κωνσταντῖνον παρακοιμώμενον τὸ παλάτιον ταῦτα γεγόνασιν. προσελάβετο δὲ ὁ βασιλεὺς Νικόλαον τὸν πατριάρχην καὶ Στέφανον μάγιστρον συνεῖναι αὐτῷ ἐν τῷ παλατίῳ, τὴν ἐξουσίαν εἰς ἑαυτὸν ἀπὸ τῆς μητρὸς ἐπισπώμενος. **27** τῇ δὲ ἐπαύριον ἀπέστειλεν Ἰωάννην τὸν Τουβάκην Ζωὴν αὐγούσταν τοῦ παλατίου καταβιβάσαι. ἡ δὲ μετ᾽ ὀλολυγῆς καὶ δακρύων τῷ ἑαυτῆς προσπλακεῖσα υἱῷ πρὸς συμπάθειαν μητρικὴν καὶ οἶκτον ἐκίνησεν, ὡς τὸν βασιλέα εἰπεῖν· ἐάσατε εἶναι μετ᾽ ἐμοῦ τὴν μητέρα μου. οἱ δὲ ταύτην ἅμα τῷ λόγῳ ἀφῆκαν. **28** προσκαλεσάμενοι δὲ ὅ τε βασιλεὺς καὶ ὁ πατριάρχης Ἰωάννην τὸν Γαριδᾶν προεβάλοντο δομέστικον τῶν σχολῶν, δεδιότες, μὴ εἰς ἀνταρσίαν χωρήσει ὁ Φωκᾶς Λέων. ὁ δὲ οὐ κατένευε τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον γυναικάδελφον αὐτοῦ, τὸν Ζουφινεζέρ, καὶ Συμεῶνα τὸν υἱὸν αὐτοῦ προεβάλοντο ἑταιρειάρχας. ὅρκοις οὖν βεβαιωθεὶς ὑπ᾽ αὐτῶν κατῆλθεν ἐν τῷ οἴκῳ αὐτοῦ. οἱ δὲ παραυτίκα τοὺς συγγενεῖς αὐτοῦ τοῦ παλατίου καταβιβάζουσι. τούτων οὖν πρὸς αὐτὸν παραγεγονότων, ὡς ἐθεάσατο αὐτούς, τρόμος αὐτὸν ἔλαβεν καὶ φρενῶν ἔκστασις. εὐθὺς οὖν ἐξῆλθε πρὸς Ῥωμανὸν καὶ διηγήσατο αὐτῷ, οἷα πέπονθε. συμφιλιωθεὶς οὖν αὐτῷ καὶ ὅρκους δοὺς καὶ λαβών, ὥστε μίαν ἔχειν ἀμφοτέρους ψυχήν, σύμφρων αὐτοῦ καὶ σύμπνους ἐγένετο, ὥστε

---

215 τὴν – ἐπισπώμενος: cf. ps.-Sym. 726.3–4 § 27: cf. ps.-Sym. 726.4–8 § 28: cf. ps.-Sym. 726.9–15

TL [F_2]G[m] F_1H

---

209 post ἐξελθοῦσα add. ἡ F_1 τοῦ om. F_2 G H **210** ἄρα m H αὕτη : αυ^τ´ F_2 F_1 **211** Θεόδωρος om. F_1 **213** τῶ παλά^τ F_1 προσελάβετο : προεβάλλετο H **214** τὸν om. L F_2 m F_1 H αὐτῷ : αὐτὸ F_1 **215** ἀπὸ : fort. ὑπὸ F_1 (ἀ- add. F_1^2) ἐπισπώμενος : ἐπισόμενον F_2 : ἐπισώμενον (vel -σπώ-) G : ἐπιπόμενον F_1 **216** ἀπέστειλεν (sic m : F_2 G (F_1) per comp.) : ἀπέστειλαν T L : ἀπο^στλ´ F_1 **217** ὀλυγῆς H καὶ om. F_2 G F_1 τῷ : τὸ H **217–18** προσπλακεῖσα : πρὸσπλακῆς T : προσπλακει^τ F_1 **219** εἶναι (εἶναι fort. om. F_1, non vid.) μετ᾽ ἐμοῦ : μετὲμοῦ· εἶναι G : om. F_2 **221** προεβάλοντο (προεβάλοντο/προεβάλλοντο m) : προεβάλλοντο T L F_2 G H : προεβάλλετο F_1 **222** ἀνταρσί H χωρήσῃ L G κατένευε : fort. scrib. κατένευσε (cf. Tafel) **222–23** τοῦτο : τούτω H **223** Ζουφινεζέρ : ζηφενέζερ F_2 : ζουφινέζερ G : ζεφινεζὲρ F_1 **224** Συμεῶνα : συμεὼν F_1 H αὐτοῦ υἱὸν H προεβάλοντο : προεβάλλοντο T m F_1 H : προεβάλλετο F_2 G ἑταιρειάρχας (F_1 F_2 per comp. : ἑταιριάρχας/ἑταιριάρχην m) : ἑταιριάρχην G **224–25** βεβαιωθέντες H **225** ὑπ᾽ : παρ᾽ L **225–26** παραυτίκα – αὐτοῦ : αὐτοῦ συγγενεὶς παραυτίκα αὐτὸν F_1 **226** τούτων : τοῦτον F_1 αὐτὸν : αὐτῶν H : αὐτοὺς F_1 **228** αὐτῷ : αὐτὸν F_2 F_1 **228–29** οἷα – αὐτῷ om. F_1 H (homoeotel.) **229** post δοὺς add. αὐτῷ F_1 **230** ἔχειν ἀμφοτέρους : ἀμφοτέρους ἔχειν L : αυτοὺς ἔχειν F_1 αὐτοῦ (L per comp.) : F_2 F_1 per comp. fort. αὐτῶ ὥστε om. F_1

καὶ γαμικὸν συνάλλαγμα ποιήσασθαι συνεφώνησαν, πλέον ἐκ τούτου τὸν τῆς ἀγάπης δεσμὸν ἐπισφίγγοντες. **29** τῇ εἰκάδι οὖν τετάρτῃ τοῦ Μαρτίου μηνὸς ἀποστέλλει Ῥωμανὸς Ἰωάννην πρεσβύτερον, οἰκεῖον αὐτοῦ καὶ πιστότατον ὄντα, καὶ Θεόδωρον τὸν Ματζούκην λεγόμενον εἰς τὸ παλάτιον ὑπεραπολογησομένους, ὡς οὐκ ἀνταρσία γέγονε τὸ παρ᾽ ἐμοῦ διαπραχθέν, ἀλλὰ τὴν τοῦ Φωκᾶ ἐπίθεσιν ὑφορώμενος καὶ δεδιώς, μή τι νεωτερισθείη παρ᾽ αὐτοῦ εἰς τὸν βασιλέα, τούτου ἕνεκεν ἀνελθεῖν ἐν τῷ παλατίῳ βεβούλευμαι καὶ τὴν φυλακὴν ποιεῖσθαι τοῦ βασιλέως. **30** μὴ συνευδοκοῦντος δὲ Νικολάου πατριάρχου ἐν τούτῳ ἐμηνύθη Ῥωμανῷ παρὰ Θεοδώρου τοῦ ῥηθέντος παιδαγωγοῦ ἐλθεῖν μετὰ τοῦ στόλου παντὸς μέχρι τοῦ Βουκολέοντος. ὃς μετὰ τῶν σὺν αὐτῷ βουλευσάμενος (τὸ γὰρ ἄγον ἦγεν αὐτόν) τῇ ἡμέρᾳ τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγίας Θεοτόκου (πέμπτη δὲ ἦν) ἦλθεν ἔνοπλος ἅμα τῷ στόλῳ παντὶ ἐν τῷ Βουκολέοντι· καὶ παρευθὺ Στέφανος μὲν μάγιστρος ἐξῆλθε τοῦ παλατίου, Νικήτας δὲ πατρίκιος, ὁ συμπεθερὸς Ῥωμανοῦ, ἀνελθὼν ἐν τῷ παλατίῳ ἐξήγαγεν ἐκεῖθεν τὸν πατριάρχην Νικόλαον. ὅρκοις οὖν βεβαιωθέντες οἱ τοῦ παλατίου παρὰ Ῥωμανοῦ ἀπέστειλαν πρὸς αὐτὸν τὸν τίμιον καὶ ζωηφόρον τοῦ Κυρίου σταυρόν, καὶ προσκυνήσας αὐτὸν καὶ ὅρκοις βεβαιώσας αὐτοὺς ἀνῆλθε μετ᾽ αὐτῶν ἐν τῷ παλατίῳ καὶ ὀλίγων τινῶν.

232–33 24.3.918 **242–43** 25.3.919

---

§ 29: cf. ps.-Sym. 726.15–19 § 30: cf. ps.-Sym. 726.15–727.4 **242** τὸ – αὐτόν: cf. AP 10.73 (Pall.) εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου

TL [F_2]G[m] F_1H

---

231 γαμικὸν συνάλλαγμα : γαμικὸν συναλαγμάτων F_2 : γαμικᾶ συναλάγματα H ποιήσασθαι om. L συνεφώνησεν G **232** δεσμῶν F_1 τῇ εἰκάδι οὖν τετάρτῃ : κδ^{η} οὖν H **232–33** τοῦ (τοῦ om. H) Μαρτίου μηνὸς : μηνὸς μαρτίου F_1 **233** ῥωμανὸν G Ἰωάννην om. F_2 G m **233–34** οἰκεῖον αὐτοῦ (F_2 per comp. : αὐτῶ L) : αὐτοῦ οἰκεῖον F_2 G m **234** Ματζούκην : ματζούκιον L : ματζούκαν F_1 **235** ὑπεραπολογησαμένους L m F_1 H (-σαμένου F_2) τὸ alt. om. F_1 **237** μή τι νεωτερισθείη (-τεριθείη H) : μή^{τ} νεότερησ^{θ} F_2 : μείτεινασ ὠτιρισ^{θ} F_1 **239** δὲ om. F_1 ἐν τούτῳ : τοῦτο G (τουτ F_2 : τούτου/τοῦτο m) **240** post ἐμηνύθη add. δὲ F_1 **241** τοῦ pr. om. F_1 παντὸς om. H τῶν : τοὺς H **242** ἦγεν : εἶχεν F_2 G αὐτόν : αὐτῷ H **243** ὑπεραγίας Θεοτόκου : ὑπεραμώμου παρθένου καὶ θεοτόκου L **243–44** ἔνοπλος – παντὶ : δὲ (δὲ om. G) ἅμα τῷ στόλῳ ἔνοπλος (-ως F_2) F_2 G **244** μὲν στέφανος F_2 G **245** ὁ om. F_1 συμπενθερὸς F_1 H **248** πρὸς : εἰς F_1 : om. F_2 G αὐτὸν (sic F_2) : αὐτῷ G m καὶ pr. – Κυρίου om. F_2 G **248–49** προσκυνήσαντες L F_1 **249** καὶ om. F_1 ὅρκοις : ορ^{κ} F_2 : ὅρκωι G αὐτῶν : αὐτοῦ L **250** καὶ : μετὰ H

136 Ἀνάβασις Ῥωμανοῦ

Προσκυνήσας οὖν τὸν βασιλέα καὶ εἰσελθὼν μετ᾿ αὐτοῦ ἐν τῷ ναῷ τῷ ἐν τῷ Φάρῳ καὶ πίστεις αὐτῷ δοὺς παρευθὺ προχειρίζεται παρ᾿ αὐτοῦ μάγιστρος καὶ μέγας ἑταιρειάρχης. **2** αὐτίκα οὖν γέγονε θεία κέλευσις πρὸς Λέοντα τὸν Φωκᾶν παρεγγυωμένη μηδαμῶς στάσιν τινὰ ἐννοῆσαι, ἀλλὰ πρὸς ὀλίγον ἐν τῷ ἰδίῳ οἴκῳ ἀναπαύεσθαι. ὡσαύτως καὶ γράμματα ἐκελεύσθη Κωνσταντῖνος παρακοιμώμενος γράψαι τὰ ὅμοια αὐτῷ παραγγέλλοντα καὶ μηδὲν ἐναντίον βουλεύσασθαι, ἀλλ᾿ ἐν ὑποταγῇ εἶναι τοῦ βασιλέως Κωνσταντίνου. ἀναλαβόμενος οὖν ταῦτα Ἀνδρέας πριμικήριος τοῦ βασιλικοῦ βεστιαρίου ἀπεκόμισεν αὐτῷ ταῦτα ἐν Καππαδοκίᾳ ὄντι, καὶ δεξάμενος ταῦτα καὶ ἀναγνούς, ἀπελθὼν ἐν τῷ ἰδίῳ οἴκῳ ἡσύχαζεν. **3** τῇ δὲ πέμπτῃ ἑβδομάδι τῶν ἁγίων Νηστειῶν, Ἀπριλλίῳ μηνί, δίδοται ἀρραβὼν γαμικοῦ συναλλάγματος παρὰ Κωνσταντίνου βασιλέως Ἑλένῃ τῇ θυγατρὶ Ῥωμανοῦ, καὶ τῇ τρίτῃ τοῦ Πάσχα, τῇ λεγομένῃ τῆς Γαλιλαίας, εὐλογεῖται καὶ στεφανοῦται ἅμα αὐτῇ παρὰ Νικολάου πατριάρχου, Ῥωμανὸν βασιλεοπάτορα προβαλόμενος. ἀντ᾿ αὐτοῦ δὲ Χριστοφόρον, υἱὸν αὐτοῦ, ἑταιρειάρχην κατέστησεν. **4** μετ᾿ οὐ πολὺ δὲ Λέων ὁ Φωκᾶς ἀπατηθεὶς παρά τέ τινων ἀρχόντων καὶ τῶν αὐτοῦ ταγμάτων πρὸς ἀνταρσίαν κινεῖται καὶ ἀποστείλας ἀνελάβετο εἶναι σὺν αὐτῷ τόν τε παρακοιμώμενον

12–13 ut vid. 11.4.919 (vide Kresten/Müller 1995, p. 44, n. 121) **14–15** 9.5.919 § 4: a. 919

---

§ 1: cf. ps.-Sym. 727.4–7 § 2: cf. ps.-Sym. 727.7–14 § 3: cf. ps.-Sym. 727.19–23 § 4: cf. ps.-Sym. 728.16

---

cap. 136 TL [F_2]G[m] F_1[E]H **20** ab αὐ]τῷ TL [F_2]G[m] EH

---

1 Ἀνάβασις Ῥωμανοῦ (quod exhib. L in mg.) : ἀνάβασις ῥωμανοῦ τοῦ γέροντος H : om. F_2 G (spatio relicto velut ad titulum destinato in G) m F_1 **2** Προσκυνήσας οὖν : προσκυνήσας m F_1 : ἀναβὰς οὖν ἐν τῷ παλατίῳ καὶ προσκυνήσας H **2–3** τῷ (του F_1) ἐν τῷ (τῆι G) Φάρῳ : τοῦ φόρου H **3** πίστην H παρευθὺ om. F_1 H παρ᾿ αὐτοῦ om. H **4** οὖν : γοῦν G (F_1 non vid., sed sic E) θεία κέλευσις : κέλευσις βασιλικὴ L **5** μηδαμῶς : μὴ F_1 **5–6** ἐννοήσει E (…]ήσει F_1) **6** προ ὀλίγων F_2 F_1 ἐν om. F_2 et ut vid. F_1 (quod exhib. E) οἴκῳ : οἴκοι G **7** post Κωνσταντῖνος add. ὁ L παρακοιμωμένῳ F_2 G m **8** παραγγέλλοντας F_1 βούλεσθαι F_1 H **9** τοῦ βασιλέως Κωνσταντίνου : τὸν βασιλέα κωνσταντίνον F_1 : τῷ βασιλεῖ κωνσταντίνῳ H οὖν om. F_2 G **10** πριμικήριος : πριμμικήριος L F_2 m H : πριμηκήριος G : πριμυκύριος F_1 **11** ὄντι ἐν καππαδοκία L ἀναδεξάμενος F_2 G καὶ ἀναγνούς om. F_2 G **12** ἁγίων om. L F_1 **13** μηνί om. F_1 γαμικῶν συναλαγμάτων F_2 G m **14** post Κωνσταντίνου add. τοῦ F_1 τῇ pr. om. H **14–15** τοῦ Πάσχα : τὸ ἀντίπασχ F_1 **15** τῆς Γαλιλαίας : γαλιλαία F_1 καὶ στεφανοῦται om. H **16** post πατριάρχου add. tituli modo προβολῆ ῥωμανοῦ εἰς βασιλεοπάτορα T (quem titulum exhib. L in mg.) **16–17** προβαλλόμενος T G m F_1 H (non vid. F_2) **18** δὲ om. G (non vid. F_2) post Φωκᾶς add. μετὰ λαοῦ πλείστου F_2 G τέ om. H **20** ἀποστείλας om. H ἀνελάβετο : ἀνελάβετο αυτὸν F_1 : ἀνεβάλλετω H

Κωνσταντῖνον καὶ Κωνσταντῖνον καὶ Ἀναστάσιον τοὺς αὐταδέλφους καὶ Κωνσταντῖνον πρωτασηκρῆτις τὸν Μαλελίας πληροφορῶν ἅπαντας καὶ βεβαιῶν, ὡς ὑπὲρ τοῦ βασιλέως Κωνσταντίνου τὴν τοιαύτην ποιεῖσθαι συγκίνησιν. **5** Ῥωμανὸς δὲ ὁ βασιλεοπάτωρ χρυσοβούλια ποιήσας ἐνυπόγραφα ὡς ἐκ προσώπου τοῦ βασιλέως Κωνσταντίνου, τῆς τοιαύτης ἐπιβουλῆς ἀνατροπὴν περιέχοντα, καὶ ὡς οἱ τὸν Φωκᾶν καταλιμπάνοντες, τῷ βασιλεῖ δὲ προσφεύγοντες, ὑπὲρ τοῦ βασιλέως εἰσί, δοὺς Ἄννῃ τινὶ γυναικὶ ἀναιδεῖ τε καὶ θρασείᾳ καὶ κληρικῷ τινι Μιχαὴλ ἐν τῷ αὐτοῦ στρατοπέδῳ ἐξέπεμψε. οἱ δὲ ταῦτα ἀναλαβόμενοι λάθρᾳ διέσπειραν παντὶ τῷ στρατῷ, καὶ ὁ μὲν Μιχαὴλ φωραθεὶς παρὰ τοῦ Φωκᾶ, ἀνηλεῶς τυφθεὶς τήν τε ῥῖνα καὶ τὰ ὦτα ἀπετμήθη· ὃς μετὰ ταῦτα παρὰ Ῥωμανοῦ τῆς προσηκούσης ἔτυχεν ἀμοιβῆς, ὡσαύτως καὶ ἡ σὺν αὐτῷ σταλεῖσα γυνή. πρῶτος οὖν ὁ υἱὸς τοῦ Βαρυμιχαὴλ καταλιπὼν τὸν Φωκᾶν τῷ Ῥωμανῷ προσέδραμεν, ἀρχὴ γεγονὼς καταλύσεως τῆς τοιαύτης ἀνταρσίας καὶ τυραννίδος, σὺν αὐτῷ δὲ καὶ ὁ Βαλλάντιος, τουρμάρχαι ὄντες ἀμφότεροι. Λέων οὖν ὁ Φωκᾶς μετὰ λαοῦ πλείστου ἰσχυρῶς καθωπλισμένου ἐν Χρυσοπόλει καταλαβὼν διέστησε παρατάξεις ἀπὸ τῆς λιθίνης δαμάλεως μέχρι Χαλκηδόνος, τοὺς ἐν τῇ πόλει φοβῶν. **6** ἀποστέλλεται οὖν μετὰ δρόμωνος παρὰ Ῥωμανοῦ Συμεὼν ὁ ἐπὶ τοῦ κανικλείου λόγον ἐνυπόγραφον τοῦ βασιλέως

24–37 Ῥωμανὸς – καταλαβὼν: cf. ps.-Sym. 728.6–21 **37–39** διέστησε – φοβῶν: cf. ps.-Sym. 729.20–22 § 6: cf. ps.-Sym. 729.22–730.12

TL [F_2]G[m] EH **25** a Κωνσταντίνου TL G[m] EH

---

21 Κωνσταντῖνον καὶ Κωνσταντῖνον καὶ (sic F_2 m) : κωνσταντῖνον καὶ L E H **22** πρωτασηκρῆτις (sic G ut vid., vide infra) : πρωτοἀσηκρίτης T : πρωτοασηκρῆτις L : ἀσυγκρίτ F_2 : ἄσηκρητ G : πρωτασηκρήτην m : πρωτασυκρίτην E : πρωτασυγκρίτην H Μαλελίας : μελελίας L : μαλ[… G (omnia non certe vid.) : μαλίας F_2 : μαλελίαν m : μαλέλην E : μαλελελίας H **22–23** ἅπαντας καὶ βεβαιῶν om. E **24** ποιεῖσθαι : ποιῆσαι F_2 G m : ποιεῖται L E H (non certe vid. H, sed fort. ποιεῖται συγκίνησιν exhib.) κύνησιν F_2 **24–25** χρυσόβουλον ποιήσας ἐνὑπόγραφον E **26** τῆς : τὸν E ἐπιβουλῆς ἀνατροπὴν : ἐπιτροπὴν ἐναντίαν τῆς ἐπιβουλῆς H περϊέχοντος E **27** δὲ om. E προσφεύγοντες : προστρέχοντες H **28** δοὺς : δοὺς ταῦτα Bekker : δούς τε? in app. Tafel τινὶ γυναικὶ : γυναικί τινὶ E : τῇ γυναικὶ H τε om. L G m E κληρικὸν E **29** αὐτοῦ : αὐτῶι G **30** post διέσπειραν add. ἀεὶ E φωραθεὶς : ὁραθεὶς E **31** τοῦ om. E ἀνελεῶς T ῥίναν G post ὃς add. καὶ H **31–32** μετὰ ταῦτα (ταῦτα om. T) : μετ᾽ αὐτοῦ E **33** οὖν om. G ὁ υἱὸς τοῦ om. E Βαρυμιχαὴλ : βαρέως μιχαὴλ m H : μιχαὴλ τοῦ βαρέως E **33–34** καταλειπὼν H **34** προσέδραμεν : προὔδραμεν E : προσέφυγεν H ἀρχὴ : ἀρχῆς T : ἀρχηγὸς E **35** τιρανίδι E καὶ alt. om. G **35–36** ὁ Βαλλάντιος (βαλά- G m E) : οἱ βαλλάντιοι L : ὁ ἀβαλλάντιος H **36** ὄντες : οίτε H ἀμφότερα E οὖν : δὲ E **37** ἰσχυρῶς om. L διέστησε : δϊαίτησαι E **38** καλχηδόνος G **39** παρὰ Ῥωμανοῦ om. H **40** κανικλείου : κανίκλη E λόγον om. E

Κωνσταντίνου ἐπιφερόμενος τάδε διαγορεύοντα, ὡς ἐγὼ φύλακα τῆς ἐμῆς βασιλείας ἐγρηγορώτατον καὶ εὐνούστατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὑρηκὼς τούτῳ τὴν ἐμὴν φυλακὴν μετά γε Θεὸν κατεπίστευσα καὶ ἀντὶ πατρὸς αὐτὸν ἔχειν ἔκρινα, σπλάγχνα πατρικὰ καὶ διάθεσιν γονικὴν πρὸς ἐμὲ ἐνδειξάμενον. Λέοντα δὲ τοῦτον τὸν Φωκᾶν ἀεὶ τῇ ἐμῇ βασιλείᾳ ὑποπτεύων ἐπιβουλεύειν νῦν ἔργοις αὐτοῖς ἐπίβουλον εὕρηκα καὶ τῆς ἐμῆς ἀρχῆς τυραννικῶς κατεξανιστάμενον· διὸ οὔτε δομέστικον αὐτὸν ἀπὸ τοῦ νῦν εἶναι βούλομαι, οὔτε δὲ ταύτην τὴν ἀνταρσίαν μετὰ βουλῆς ἐμῆς πεπραχέναι φημί, ἀλλ᾽ αὐθαιρέτῳ γνώμῃ ταύτην ποιήσασθαι τὴν ἐπίθεσιν ἑαυτῷ τὴν βασιλείαν σφετεριζόμενον. **7** τούτων οὖν τῷ λαῷ ὑπαναγνωσθέντων ἤρξαντο πάντες ὑποχωρεῖν καὶ τῷ βασιλεοπάτορι προσρύεσθαι Ῥωμανῷ. τοῦ δὲ Φωκᾶ εἰς ἀμήχανον περιστάντος καὶ ἀπογνόντος, ὡς πάσης ἐλπίδος ἠστοχηκότος, καὶ χρησαμένου φυγῇ καὶ πρὸς τὸ κάστρον Ἀτεοῦς παραγενομένου καὶ μὴ δεχθέντος, ἐν χωρίῳ δὲ ὀνομαζομένῳ Γοηλέοντι φεύγοντι συλληφθέντος, ἀπέστειλε Ῥωμανὸς Ἰωάννην τὸν Τουβάκην καὶ Λέοντα τὸν αὐτοῦ συγγενῆ, ὥστε εἰσαγαγεῖν αὐτὸν ἐν τῇ πόλει. οἱ δὲ τοῦτον κρατήσαντες ἀπετύφλωσαν, καίτοι μηδεμίαν περὶ τούτου δεξάμενοι ἐντολήν, ἀλλ᾽ αὐθαιρέτῳ γνώμῃ τοῦτο πεποιηκότες, ὡς ἀγανακτῆσαι ἐπὶ τούτῳ καὶ τὸν βασιλεοπάτορα Ῥωμανόν. **8** Αὐγούστῳ δὲ μηνὶ κατεμηνύθη τὰ τῆς ἐπιβουλῆς Κωνσταντίνου

§ 8: a. 919

§ 7: cf. ps.-Sym. 730.12–19 § 8: cf. ps.-Sym. 730.20–731.1

TL G[m] EH

41 Κωνσταντίνου (G per comp.) : κωνσταντίνῳ H φερόμενος E διαγορεύοντος E **42** γρηγορώτατον E καὶ εὐνούστατον om. G **43** τούτῳ : τούτου G : τοῦτον H **44** ἐνεπίστευσα E αὐτὸν ἔχειν ἔκρινα : αὐτὸν ἔκρινα ἔχειν L : ἔχειν αὐτὸν ἔχειν ἔκρινα H **45** μητρικὰ G post ἐμὲ (μὲ H) add. ἔχοντα καὶ E **46** ὑποπτεύειν G **47–48** κατεξανιστάμενον (non certe vid. G) : ἐξ(αν)ιστάμενος m : κατεξανιστάμενος E H **48** αὐτὸν om. L **49** οὔτε bis exhib. E δὲ fort. del. (οὔτε δὲ : οὐδὲ Bekker) post τὴν add. ἐπιβουλὴν καὶ H βουλῆς : γνώμης H ἐμῆς bis exhib. H **50** ἑαυτῷ : bis exhib. E : om. L **51** σφεντεριζόμενον E τούτων : τοῦτον T : τοῦτο E οὖν : σὺν E τῶν λαῶν T ἐπαναγνωσθέντων G H **52** ἀναχωρεῖν E προσρύεσθαι : προσέρχεσθαι G **53** ἀμήχανον περιστάντος : μιχανίαν περιστάντες E ἀπογνόντος : ἀπογνόντες E^{ac} : ἀπεγνωκότος H **54** post κάστρον add. ἀπογνόντος G **55** Ἀτεοῦς : ἀστεοὺς L : ἀτεοὺς m E H παραγενόμενον H **56** Γοηλέοντι : γολιοῦντι E : γουλέοντι H post φεύγοντι (φεύγοντος m H (vide introd. III.3.1.1 et ind. graecitatis s.v. *incongruentia casuum*)) add. καὶ m E H (sic etiam Tafel) συλληφθέντα E **57** Τουβάκην : τουβάκη G : βάκην E συγγενὴν H ἀγαγεῖν T E **59** τοῦτο : τούτω E H **60** ἀγανακτήσαι H τούτῳ (τούτῳ/τοῦτο m) : τοῦτο L G E τὸν om. G **61** δὲ μηνὶ κατεμηνύθη : μηνήθη E

Κτηματινοῦ καὶ Δαυὶδ Καμουλιανοῦ καὶ Μιχαὴλ κουράτορος τῶν Μαγγάνων, καὶ τυφθέντες οὗτοι καὶ δημευθέντες διὰ μέσης διῆλθον τῆς πόλεως καὶ ἐξορίᾳ παρεπέμφθησαν. ἤγαγον δὲ Λέοντα μάγιστρον καὶ δομέστικον τῶν σχολῶν ἐν τῇ πόλει, καὶ διῆλθεν ἐν μέσῃ τῇ ἀγορᾷ ἡμιόνῳ ἐφεζόμενος. **9** ἐφωράθη δὲ καὶ Ζωὴ αὐγούστα ἐπιβουλεύουσα Ῥωμανῷ διὰ πεφαρμαγμένων βρωμάτων ὑπὸ Θεοκλήτου, νοταρίου τῆς ὑπουργίας, σκευασθέντων· καὶ ταύτην τοῦ παλατίου καταβιβάζουσιν καὶ εἰς τὸ Πετρίον ἀπάγουσι, τῇ τῆς ἁγίας Εὐφημίας μονῇ ἀποκείραντες. **10** προσεκλήθη δὲ παρὰ Θεοφυλάκτου, πατρικίου καὶ κόμητος τοῦ στάβλου, εἰς ἄριστον ὁ παιδαγωγὸς Κωνσταντίνου βασιλέως Θεόδωρος καὶ Συμεών, ὁ αὐτοῦ ἀδελφός. ἐσθιόντων δὲ αὐτῶν εἰσῆλθεν Ἰωάννης δρουγγάριος τῆς βίγλης, ὁ Κουρκούας λεγόμενος, μετὰ πλείστου λαοῦ καὶ τούτους ἀναρπάσας εἰς τὸ Ὀψίκιον ἐξώρισεν ἐν τοῖς αὐτῶν προαστίοις ὡς κατὰ Ῥωμανοῦ μελετῶντας. **11** εἰκάδι δὲ τετάρτῃ Σεπτεμβρίου μηνὸς τιμᾶται Ῥωμανὸς τῇ τοῦ καίσαρος ἀξίᾳ καὶ Δεκεμβρίῳ μηνί, ἑπτὰ καὶ δεκάτῃ τοῦ μηνός, τῇ τῶν προπατόρων Κυριακῇ, τῷ τῆς βασιλείας στέφεται διαδήματι παρὰ Κωνσταντίνου βασιλέως καὶ Νικολάου πατριάρχου. καὶ Ἰαννουαρίῳ ἕκτῃ, τῇ τῶν ἁγίων Φώτων ἡμέρᾳ,

---

75–76 24.9.920 **76–77** 17.12.920 **79** 6.1.921

---

§ 9: a. 919/920 § 9: cf. ps.-Sym. 731.1–4 § 10: cf. ps.-Sym. 731.4–9 § 11: cf. ps.-Sym. 731.10–14

TL G[m] EH

---

62 κτιματινοῦ T H κουράτορα E **63** μαγκάνων H τυφθέντες : τυφλωθέντες E οὗτοι καὶ δημευθέντες (δημευθεύτες T : δημευθέντες καὶ E) om. H ἦλθον E **64** post καὶ pr. add. ἐν G παρεπέμφησαν E λέον E **65** ἐν μέσῃ τῇ ἀγορᾷ : διὰ τῆς ἀγορᾶς L **66** ἡμιόνῳ : ἡμϊόνος E : ὄνῳ ἡμιόνῳ H καὶ Ζωὴ αὐγούστα : κωνσταντίνου βασιλέως μήτηρ ζωὴ H **67** post Ῥωμανῷ add. καὶ E πεφραγμένων T G **67–68** ὑπὸ – ὑπουργίας, σκευασθέντων (sic m : παρασκευασθέντα E : συσκευασθέντων H) om. T ut vid. per homoeotel. **67** νοταρίου : νότερος E **68** ταύτη E **69** καὶ εἰς τὸ Πετρίον (παιτρίον T) ἀπάγουσι (post ἀπάγουσι (ἀπαγάγουσι G) add. ἐν L) om. E H τῇ om. G **70–75** προσεκλήθη (προεκλήθη G) – μελετῶντας om. L **70** Θεοφυλάκτου : θεοφίλου E : θεοκλήτου τοῦ καὶ θεοφυλάκτου H κόμης E **71** ὁ : ὄντες· ὅ τε E post Κωνσταντίνου add. τοῦ H **72** αὐτοῦ ἀδελφός : αὐτάδελφος E **73** τῆς βίγλης (βίγλας E) om. G λεγόμενος κουρκόνας E λεγόμενος om. G **74** ὀψίκιον T **74–75** ταῖς αὐτῶν προάσταις E **75** post μελετῶντας add. tituli modo ἔν^{θ} προβάλεται ῥωμανὸς εἰς κέσαρα εἴτε εἰς βασιλέα T : non adhib. L post δὲ add. καὶ E post τετάρτῃ add. τοῦ L **75–76** Σεπτεμβρίου : σεπτεμβρίω E : σεπτεβρίου H **76** τιμᾶται Ῥωμανὸς (τιμᾶται Ῥωμανὸς om. G) – ἀξίᾳ : τῇ τοῦ καίσαρος ῥωμανὸς τιμᾶται ἀξία L καὶ Δεκεμβρίῳ : δεκευρίω δὲ E **77** μηνὶ : μηνὸς E τοῦ – Κυριακῇ : τῇ τῶν πάτορα κακῶς E τοῦ μηνός (τοῦ μηνός om. G), τῇ om. H post τῶν add. ἁγίων H **78** post Κωνσταντίνου add. τοῦ L **78–79** νικολάω πατριάρχω E **79** Ἰαννουαρίῳ (ἰωἀννουαρίω T : ἰανουαρίω E : ἰαννουαρίου H) ἕκτῃ om. G τῇ om. T H ἡμέρᾳ om. E

στέφει Θεοδώραν, τὴν γυναῖκα αὐτοῦ. **12** Μαΐῳ δὲ μηνὶ ἑπτὰ καὶ δεκάτῃ, πέμπτῃ ἰνδικτιῶνος, Χριστοφόρος, ὁ υἱὸς Ῥωμανοῦ, ἀναγορεύεται βασιλεύς. στέφεται δὲ τῇ εἰκάδι τοῦ αὐτοῦ μηνὸς παρὰ Κωνσταντίνου βασιλέως τῇ τῆς ἁγίας Πεντηκοστῆς ἡμέρᾳ, καὶ μόνοι οὗτοι οἱ δύο ἐν τῇ αὐτῇ προελεύσει προῆλθον. **13** Ἰουλίῳ δὲ μηνί, ὀγδόῃ ἰνδικτιῶνος, ἡμέρᾳ Κυριακῇ, ἡ τῆς ἐκκλησίας παρὰ Ῥωμανοῦ γέγονεν ἕνωσις, ἁπάντων ἑνωθέντων μητροπολιτῶν τε καὶ κληρικῶν τῶν ἀπὸ Νικολάου πατριάρχου καὶ Εὐθυμίου διεσχισμένων. **14** ὀγδόῃ δὲ Φεβρουαρίου μηνός, ἰνδικτιῶνος θ', ἀποστείλας Ῥωμανὸς ὑπερορίζει τὸν μάγιστρον Στέφανον, τὸν τῆς Καλομαρίας, εἰς τὴν Ἀντιγόνου νῆσον, ὡς τῆς βασιλείας ἐφίεσθαι κατηγορηθέντα, μοναχὸν αὐτὸν ἀποκείρας ἅμα Θεοφάνῃ τειχιώτῃ καὶ Παύλῳ ὀρφανοτρόφῳ, ἀνθρώποις αὐτοῦ. **15** ἐποίησε δὲ Ῥωμανὸς βασιλεὺς ἐν τῷ τριβουναλίῳ πρόκενσον, συνηγμένων ἁπάντων μεθ' ὅπλων ἐκεῖσε. τοῦ ἀδνουμίου δὲ γενομένου αἰφνίδιον Ῥωμανὸς καὶ Κωνσταντῖνος τάχει πολλῷ εἰς τὸ παλάτιον ὑποστρέφουσιν· ἐμηνύθη γὰρ παρὰ Λέοντος, ἀνθρώπου τοῦ Ἀρσενίου, ἡ αὐτοῦ τοῦ Ἀρσενίου ἐπιβουλὴ καὶ Παύλου μαγγλαβιτῶν· οἳ τυφθέντες καὶ δημευθέντες ἐξωρίσθησαν. ἦν δὲ τότε παραδυναστεύων ὁ πρεσβύτερος Ἰωάννης, ὁ ῥαίκτωρ, ὃς Λέοντα τὸν τοῦ Ἀρσενίου ἐποίησεν ἑβδο-

---

80–81 17.5.921 § 13: mense Iul. a. 920 **87–88** 8.2.921

---

§ 12: cf. ps.-Sym. 731.14–18 § 13: cf. ps.-Sym. 731.19–20 § 14: cf. ps.-Sym. 731.21–732.2 **92–97** ἐποίησε – ἐξωρίσθησαν: cf. ps.-Sym. 732.2–4

TL G[m] EH **85** ab ἡμέρᾳ TL G[m] F_1[E]H

---

80 τὴν γυναῖκα αὐτοῦ : γυναίκα ῥωμανοῦ E **81** πέμπτῃ ἰνδικτιῶνος (ἰνδικτιῶνος ε/ε ἰνδικτιῶνος m) : ἰνδικτιῶνος ε (πέμπτης E) L G E (vide introd. III.3.1.1) ὁ om. H Ῥωμανοῦ : αὐτοῦ L **81–82** ἀναγορεύεται : στέφεται E **82** τῇ – μηνὸς post βασιλέως (**l. 83**) transp. E **83** τῆς ἁγίας : ἁγίαι τῆς L : ἁγία E πεντηκοστὴ E **83–84** μόνη οὗτο E **84** αὐτῇ om. H προῆλθον (sic m) : διῆλθον L : προσῆλθον G : προῆλθεν E **85** ὀγδόῃ (η G : ὀγδόης H) ἰνδικτιῶνος : ἰνδικτιῶνος η L m E **86** τε om. H **87–88** ὀγδόῃ δὲ Φεβρουαρίου μηνός : τῶ δὲ φευρουαρίω· μηνὶ F_1 (partim ex E legi) **88** θ' : ιθ G **89** τὴν Ἀντιγόνου : τὸ ἄντιγον F_1 (sic et E : F_1 non certe vid.) : τὴν ἀντίγονον H **90** κατηγορηθέντι E (κατηγορη[… F_1) **91** post Θεοφάνῃ add. τῶ L τειχιώτῃ : τῆ χεῶτοι F_1 ὀρφανοτρόφοις F_1 αὐτοῦ : αὐτῶ E (non vid. F_1) **92–109** ἐποίησε – ἀποστερεῖται om. L **92** δὲ om. G βασιλεὺς ρωμανὸς F_1 πρόκευσον H **93** ἀδνουμίου : ἀδνομίου F_1 : ἀδνουβίου H γινομένου T **94** post Κωνσταντῖνος add. ἐν F_1 **95** τοῦ om. F_1 **96** αὐτοῦ τοῦ : αυ^{τ} F_1 (non certe vid. (αὐτῆ E)) : τοῦ αὐτοῦ H παῦλον H μαγγλαβιτῶν : μαγγαβιτῶν T : μαγλαβιτῶν G : μαγ(κ)λαβίτου m : μαγκλαβίτου F_1 H : non adhib. L **97** δημευθεύτες T δὲ om. G **97–98** ὁ – ῥαίκτωρ : ἰωάννης ὁ πρεσβύτερος· καὶ ῥαίκτωρ G **98** ὃς : ὡς T F_1 Λέοντα τὸν τοῦ (τοῦ om. H) : λέον τον τού^{τ} F_1 Ἀρσενίου : ἀρμενίου G **98–99** ἑβδομάριον (εὑδομάριον T G F_1 (E)) : ἑβδομαδάριον H

μάριον, τῷ βασιλεῖ τοῦτον προσοικειώσας. **16** ἐγένετο δέ τις Ῥεντάκιος ἐν Ἑλλάδι, συγγενὴς ὢν Νικήτα πατρικίου, ἀπαίδευτός τε καὶ πατραλοίας· ὃς τὸν ἑαυτοῦ πατέρα καταδιώκων φονεῦσαι, ἐπειδήπερ ἐκεῖνος φεύγων αὐτοῦ τὴν ἐπίθεσιν ἐν πλοίῳ εἰσελθὼν ἐξέπλει καὶ παρὰ τῶν Κρητῶν κατεσχέθη, οὗτος ὁ Ῥεντάκιος ἄδειαν εὑρὼν πάντα τὰ τοῦ πατρὸς ἐληΐσατο καὶ ἐν τῇ πόλει ἀνελθὼν τῇ Μεγάλῃ τοῦ Θεοῦ ἐκκλησίᾳ προσέφυγεν. Ῥωμανὸς δὲ ὁ βασιλεὺς τὰς αὐτοῦ ἀταξίας καὶ λεηλασίας ἀναμαθὼν τοῦτον τῆς ἐκκλησίας ἐξαγαγεῖν ἐβουλεύσατο καὶ παιδεῦσαι. ὁ δὲ ψευδεῖς ἐπιστολὰς πρὸς Βουλγάρους πλασάμενος πρὸς αὐτοὺς αὐτομολῆσαι ἐβούλετο. κρατηθεὶς δὲ καὶ ἐλεγχθεὶς τοὺς ὀφθαλμοὺς ἀποστερεῖται. **17** τῶν δὲ Βουλγάρων πάλιν ἐξελασάντων μέχρι Κατασυρτῶν μετὰ τὴν τοῦ δομεστίκου Ἀδραλέστου τελευτὴν προεβλήθη Πόθος ὁ τοῦ Ἀργυροῦ δομέστικος τῶν σχολῶν καὶ μέχρι Θερμοπόλεως μετὰ τῶν ταγμάτων ἐξελθὼν ἀπέστειλε Μιχαήλ, τὸν τοῦ Μωρολέοντος υἱόν, τοποτηρητὴν ὄντα, τοὺς Βουλγάρους κατασκοπήσοντα. ὁ δὲ ἀπροόπτως τῷ λόχῳ αὐτῶν ἐμπεσὼν πολλοὺς μὲν τῶν Βουλγάρων ἀνεῖλε, πληγεὶς δὲ καὶ αὐτὸς εἰσελθὼν ἐν τῇ πόλει ἐτελεύτησε. **18** ἐμηνύθη δὲ τότε διὰ Θεοκλήτου, *νοταρίου* τῆς ὑπουργίας, ἡ κατὰ Ῥωμανοῦ βασιλέως ἐπιβουλὴ Ἀναστασίου, σακελλαρίου καὶ ἄρχοντος τοῦ χρυσοχείου, καὶ Θεοδωρήτου κοιτωνίτου, καὶ Δημητρίου, βασιλικοῦ *νοταρίου*

---

§ 16: cf. ps.-Sym. 732.5–8 § 17: cf. ps.-Sym. 732.9–15 **115–23** ἐμηνύθη – ἐξωρίσθη: cf. ps.-Sym. 732.16–20

TL G[m] F_1[E]H

---

99 ante τῷ add. καὶ F_1 τοῦτον om. F_1 προσοικιώσατο F_1 (E) **99–109** ἐγένετο – ἀποστερεῖται om. G **100–01** ἀπαιδεύτου καὶ πατραλοία H **101** κατεδίωκε H post ἐπειδήπερ add. δὲ H **102** ἐπίθεσιν : τυραννίδα H ἐν πλοίῳ : εὐπλωΐας F_1 ἐξέπλει (sic m) : ἐξέπλη T F_1 : ἐξέπλευσε H : non adhib. L G **103** Κρητῶν : κρατητῶν F_1 ῥέντακος F_1 τὰ om. F_1 H **105** ἀταξίας : ἀξίας T **106** ἐξάγειν τοῦτον τῆς ἐκκλησίας F_1 **107** Βουλγάρους (sic ut vid. F_1 (sic E)) : βουλγάρου ut vid. T : τὸν βούλγαρον H πλασάμενος : ἀσπασάμενος H αὐτοὺς : αὐτὸν H **108** μωλῆσαι F_1 **108–09** τῶν ὀφθαλμῶν στερεῖται F_1 **109** πάλιν : πάντων F_1 **110** τὴν τοῦ δομεστίκου : τοῦ ἀνδρὸς F_1 Ἀδραλέστου : ἀνδραλέστου F_1 : ἀνδραλεστάτου H **111** ὁ om. H Ἀργυροῦ (F_1 per comp.) : ἀργύρους H post μέχρι add. τῆς F_1 θερμουπόλεως T **112** ἀπεστάλη F_1 τὸν : τῶν F_1 Μωρολέοντος : μορολέοντος T : μυρολέοντος ut vid. F_1 (sic E) : μαυρολέοντος H **113** τοποτηρητὴν : τὸν πορητὴν F_1 τῶν βουλγάρους ut vid. F_1 (τῶν βουλγάρων E) κατασκοπήσαντα F_1 H **113–14** ἀπροόπτως : ἀπροσώπτως T : ἀπὸπρὸόπτως F_1 **114** λόχῳ : λόγῳ G F_1 H : λόχῳ/λόγῳ m πεσὼν L πολλοὺς – Βουλγάρων post ἀνεῖλε transp. H **115** εἰσελθὼν ἐν τῇ πόλει (sic m) : ἐν τῇ πόλει εἰσελθὼν L F_1 H : ἐν τῇ πόλει G **116** διὰ : παρὰ H **117–18** τοῦ χρυσοχείου (τοῦ χρυσοχ(ε)ίου m) : τοῦ χρυσοχόου G : τῶν χρυσοχόων F_1 : τοῦ χρυσοχίου H : fort. scrib. τοῦ χρυσοχοείου (sic Tafel; cf. etiam supra, cap. 130, § 9) **118** καὶ pr. om. L καὶ (καὶ om. L) Δημητρίου, βασιλικοῦ : βασιλείου H δημήτριος βασιλικὸς *νοτάριος* F_1 *νοταρίου* βασιλικοῦ G

τοῦ ἰδικοῦ, καὶ Νικολάου τοῦ Κουβάτζη, καὶ Θεοδότου πρωτοκαράβου· οἳ ὑπὲρ Κωνσταντίνου βασιλέως δῆθεν ἐσπούδαζον καὶ δὴ ἐλεγχθέντες ἐτύφθησαν καὶ ἐν τῇ Μέσῃ διῆλθον καὶ ὑπερόριοι κατέστησαν. ὁ δὲ Θεοδώρητος ἰδίᾳ ἐν τῷ λεγομένῳ Τρικόγχῳ τοῦ παλατίου τυφθεὶς καὶ αὐτὸς ἐξωρίσθη. τὸν δὲ σακελλάριον Ἀναστάσιον ἀπέκειραν ἐν τῇ μονῇ τῶν Ἐλεγμῶν, ἔνθα καὶ τελευτᾷ. τῆς τοιαύτης δὲ προφάσεως λαβόμενος Ῥωμανὸς τὸν βασιλέα Κωνσταντῖνον ὑποβιβάζει καὶ δεύτερον καθίστησιν, ἑαυτὸν δὲ προάγει εἰς τοὔμπροσθεν. **19** ἐκστρατεύει δὲ πάλιν Συμεὼν κατὰ Ῥωμαίων καὶ πλῆθος Βουλγάρων ἀποστείλας ἅμα Καυχάνῳ καὶ Μηνικῷ καὶ ἑτέροις ἐκέλευσε κατὰ τῆς πόλεως ὅτι τάχιστα ἐξελαύνειν. διελθόντες οὖν οὗτοι διὰ τῶν ὀρῶν ἦλθον μέχρι τῶν Μαγλαβᾶ. τὴν αὐτῶν δὲ ἔφοδον μαθὼν ὁ βασιλεὺς Ῥωμανός, λογισάμενος, μὴ τὰ τῶν Πηγῶν παλάτια καὶ τὸ Στενὸν κατελθόντες ἐμπρήσωσιν, Ἰωάννην ῥαίκτορα ἀποστέλλει ἅμα Λέοντι καὶ Πόθῳ, τοῖς Ἀργυροῖς λεγομένοις, ἔχοντας μεθ᾽ ἑαυτῶν πλῆθος ἱκανὸν ἔκ τε τῶν βασιλικῶν καὶ τῆς ἑταιρείας καὶ τῶν ταγματικῶν· οἷς συνῆν καὶ Ἀλέξιος πατρίκιος καὶ δρουγγάριος τῶν πλοΐμων, ὁ Μουσελέ, μετὰ τοῦ λαοῦ αὐτοῦ. ἦν δὲ πέμπτη τῶν Νηστειῶν ἑβδομάς. **20** διατάξαντες οὖν οὗτοι τὸν λαόν, ὃν εἶχον, ἐν τοῖς πεδινοῖς καὶ χθαμαλωτέροις τόποις τῶν Πηγῶν, τῶν

124–26 ca. mensem Dec. a. 921 (Kresten/Müller 1995, p. 37) § 19–20: a. 923

---

§ 19–20: cf. ps.-Sym. 732.20–733.15

TL G[m] F_1[E]H

---

119 νικο$^{\lambda'}$ F_1 (νικόλαος E) Θεοδότου (θεοδώρου L) πρωτοκαράβου : θεόδωτος του κάραβος F_1 **120** post οἳ add. καὶ G m ὑπὲρ : ὑπο F_1 post Κωνσταντίνου add. τοῦ F_1 καὶ διελεγχθέντες T **121** καὶ ὑπερόριοι κατέστησαν om. G **121–22** post Θεοδώρητος (θεόδωρος L) add. καὶ κοιτωνίτης F_1 **122** ἰδίωι G τῇ λεγομένῃ F_1 **123** post ἀπέκειραν (ἀπέκειρεν G) add. μοναχὸν L **124** Ἐλεγμῶν : ἡλίου βωμὸν F_1 post τελευτᾷ add. tit. modo ὅπως εἰς αὐτοκρατωρίαν μετῆλθε ῥωμανός T τοιαύτης : αὐτῆς F_1 λαβόμενος προφάσεως L **126** προσάγει F_1 **127** συμεὼν πάλιν L **127–28** ἅμα – ἑτέροις om. G **128** Καυχάνῳ : καυ$^{\lambda\eta}$ F_1 (καύλη E) ἐκέλευσε om. H τῆς bis exhib. F_1 post πόλεως add. ἀπέστειλεν H **129** διελθόντων G F_1 οὗτοι – ὀρῶν (ὀρῶν : ῥωμαίων E (non vid. F_1)) : διὰ τῶν ὁρῶν οὗτοι L : διὰ τῶν ὅρων G τῶν alt. : τοῦ E (non vid. F_1) : om. H **129–30** Μαγλαβᾶ (sic m : μαγλαβὰ G) : μαγγλαβᾶ L : μαγγλαβὰ E (non vid. F_1) : μαγκλαβᾶ H **130** τὴν : τῶν F_1 λογισάμενος om. G **131** παλάτια : παλάτια/παλάτιον m : παλάτιον E (non vid. F_1) **132** ἀπέστειλεν E (non vid. F_1) λέοντιω F_1 πόθος E (non vid. F_1) **133** ἱκανὸν om. G ἔκ τε : ἔκτοτε F_1 **133–34** βασιλικῶν καὶ (post καὶ add. τῶν G) τῆς ἑταιρείας : ἐν τέλει καὶ τῆς ἑταιρείας καὶ τῶν βασιλικῶν H **134** ταγματικῶν : ἐν τοῖς τάγμασιν H οἷς : ἣ F_1 καὶ alt. om. G F_1 **135** τοῦ πλοΐμου T ὁ Μουσελέ : καὶ ὁ μουσελὲ H : …]σηλὲ F_1 (ὁ μουσηλὲ E) **136** πέμπτη – ἑβδομάς : τῶν νηστειῶν ἑβδομὰς ε G οὖν om. G F_1 **137** ὃν – Πηγῶν om. G ὃν εἶχον (εἶχον om. T) om. L m E (non vid. certe F_1) : non adhib. G χθαμαλωτέρας F_1 Πηγῶν : πηγῶν διακεῖσθαι F_1 : πηγῶν· καὶ H : pro τῶν Πηγῶν fort. scrib. τῆς Πηγῆς (vide introd. III.3.1.1)

Βουλγάρων ἄνωθεν ἀναφανέντων ἐνόπλων καὶ βοῇ χρησαμένων ἀσήμῳ καὶ φοβερᾷ καὶ σφοδροτάτως ἐπελασάντων κατ᾽ αὐτῶν, παρευθὺ φεύγει μὲν Ἰωάννης ὁ ῥαίκτωρ, σφάττεται δὲ ὑπὲρ τούτου ἀγωνιζόμενος Φωτεινός, ὁ τοῦ Πλατυπόδη υἱός, καὶ πολλοὶ ἕτεροι. μόλις οὖν διασωθεὶς εἰσῆλθεν εἰς δρόμωνα. ἦλθε δὲ φεύγων ἔνοπλος καὶ Ἀλέξιος δρουγγάριος, ὁ Μουσελέ, καὶ μὴ ἰσχύσας τέλεον ἀνελθεῖν ἐν τῇ τοῦ δρόμωνος ἀποβάθρᾳ, πεσὼν ἐν τῇ θαλάσσῃ σὺν τῷ αὐτοῦ πρωτομανδάτορι ἀπεπνίγη. οἱ Ἀργυροὶ δὲ ἐν τῷ καστελλίῳ διεσώθησαν φυγόντες. πλόιμοι δὲ καὶ τὸ λοιπὸν ἅπαν πλῆθος οἱ μὲν τὰς τῶν πολεμίων χεῖρας φεύγοντες ἐν τῇ θαλάσσῃ ἀπεπνίγησαν, οἱ δὲ σιδήρου γεγόνασι παρανάλωμα, οἱ δὲ χερσὶ βουλγαρικαῖς αἰχμάλωτοι συνελήφθησαν. οἱ δὲ Βούλγαροι μηδένα τὸν κωλύοντα ἔχοντες τά τε παλάτια τῶν Πηγῶν ἐπυρπόλησαν καὶ τὸ Στενὸν ἅπαν κατέκαυσαν· οὕτως ἆρα δεινὸν ἀβουλία καὶ ἀπειρία θρασύτητα σύμμαχον ἔχουσα. **21** εἰκάδι δὲ Φεβρουαρίου μηνός, ι' ἰνδικτιῶνος, Θεοδώρα, σύμβιος Ῥωμανοῦ, τελευτᾷ, καὶ κατετέθη τὸ σῶμα αὐτῆς ἐν τῷ οἴκῳ αὐτοῦ τοῦ βασιλέως Ῥωμανοῦ, τῷ ὑπ᾽ αὐτοῦ εἰς μοναστήριον ἀμειφθέντι. τῷ δὲ αὐτῷ μηνὶ στέφεται Σοφία, ἡ τοῦ βασιλέως Χριστοφόρου γυνή. **22** τηνικαῦτα δὲ καὶ ὁ κουροπαλάτης Ἴβηρ ἐν τῇ πόλει παρεγένετο καὶ διὰ μέσης τῆς ἀγορᾶς διελθών, κεκοσμημένης λαμπρῶς, μετὰ δόξης πολλῆς καὶ τιμῆς ὑπεδέχθη· ὃν

151–52 20.2.924 (de indictione cf. infra in app. critico)

---

§ 21: cf. ps.-Sym. 733.16–20 § 22: cf. ps.-Sym. 733.20–23

TL G[m] F_1[E]H

---

139 ἀσίμων καὶ φοβερῶν F_1 (partim ex E legi) καὶ alt. – αὐτῶν om. G σφοδροτάτους E (σφοδροτ[… F_1) απελασάντων F_1 **140** μὲν φεύγει G **141** Πλατυπόδη (πλατυποδ G F_1) : πλατύποδος m E : παλπίδος H ἕτεροι : ἕταιροι T **143** δρουγγάριος, ὁ Μουσελέ : ὁ μουσελὲ δρουγγάριος G : δρουγγάρ[… F_1 : ὁ μουσιλὲ δρουγγάρϊος E τέλειον G **144** ἀποβάθρᾳ : ἀποκαθελὼν fort. F_1 (sic E) **144–45** αὐτοῦ (αὐτοῦ om. G) πρωτομανδάτορι (sic fort. F_1) : αὐτῶ μάρτυρι E **145** δὲ ἀργυροὶ H διεσώθησαν φυγόντες (φεύγοντες G) : φυγόντες διεσώθησαν m : φεύγοντες διεσώθησαν F_1 **146–48** πλόιμοι – συνελήφθησαν om. G **146** τὸ λοιπὸν ἅπαν : τῶν λοιπῶν ἅπαν τὸ H οἱ μὲν om. L **147–48** παρανάλωμα γεγώνασιν H **148** οἱ δὲ χερσὶ βουλγαρικαῖς : ἕτεροι δὲ L αἰχμαλώτοις T κατελήφθησαν F_1 **149** ἔχοντες τὸν κωλύοντα G διακολύοντα L τῶν Πηγῶν : fort. scrib. τῆς Πηγῆς (cf. supra, **l. 137**) **150–51** οὕτως – ἔχουσα om. G **150** ἆρα : ἄρα L, fort. recte (sic etiam Tafel) δεινὸν : δεινῶν T **151** ἀπειρία καὶ ἀβουλία H **152** ι' ἰνδικτιῶνος (sic m : G per comp.) : δεκάτῃ ἰνδικτιῶνι T L : ἰνδικτιῶνος ι F_1 (per comp.) : ἰνδικτιῶνος δεκάτῃ H : scrib. ιβ' ἰνδικτιῶνος (cf. introd. III.3.1.1) post Ῥωμανοῦ add. βασιλέως F_1 **153–54** τοῦ – ἀμειφθέντι om. G **154** εἰς μοναστήριον : μοναστηρίῳ F_1 δὲ (δ F_1) αὐτῷ : αὐτῷ δὲ H **155** Σοφία om. F_1 δὲ om. G F_1 **155–56** κουροπαλάτης (sic m) : κουραπελάτης L : κοροπαλάτης G : κουρουπαλάτης F_1 **156** ἴβηρ G τῆς ἀγορᾶς om. G **156–57** ἐλθών F_1 **157** κεκοσμημένης : καὶ κοσμημένης T : κεκοσμημένος F_1 λαμπρῶς : διελθὼν ut vid. F_1 (sic E) μετὰ – ὑπεδέχθη om. G πολλῆς om. L

καὶ ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Σοφίᾳ εἰσήγαγον, τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος θεασάμενον καὶ τὸν πολυτελῆ κόσμον· καλλωπίσαντες γὰρ ταύτην καὶ περιστείλαντες πέπλοις χρυσοϋφέσι καὶ κόσμῳ παντοίῳ οὕτως εἰσήγαγον ἐν αὐτῇ. ὁ δὲ τὸ θαυμαστὸν καὶ ὑπερμέγεθες τοῦ ναοῦ ἔργον καταπλαγεὶς καὶ τὸν πολυτελῆ κόσμον ὑπερθαυμάσας καὶ ἀληθῶς Θεοῦ κατοικίαν εἶναι τὸν ἱερὸν τοῦτον χῶρον εἰπὼν αὖθις ὑπέστρεψεν εἰς τὰ ἴδια. **23** Ἰουνίῳ δὲ μηνὶ τῶν Βουλγάρων πάλιν ἐκστρατευσάντων καὶ μέχρι τῶν τῆς ἁγίας Θεοδώρας παλατίων ἐλθόντων καὶ ταῦτα πυρὶ παραδόντων εἰς ἄριστον ὁ βασιλεὺς Ῥωμανὸς τοὺς τῶν ταγμάτων ἄρχοντας συνεκάλεσεν, συνόντος αὐτοῖς καὶ τοῦ λεγομένου Σακτίκη, καὶ παρῄνει τούτοις καὶ προὐτρέπετο κατὰ τῶν ἐναντίων ἐξελθεῖν καὶ τῆς πατρίδος ὑπεραγωνίσασθαι. οἱ δὲ συνέθεντο ἑτοίμως τῆς αὐτοῦ βασιλείας καὶ τῶν Χριστιανῶν ὑπεραποθνῄσκειν. τῇ οὖν ἐπαύριον καθοπλισθεὶς παρὰ τοῦ βασιλέως ὁ εἰρημένος Σακτίκης ἀληθῆ οὖσαν τὴν αὐτοῦ πίστιν τε καὶ ἀνδρείαν ἀπέδειξεν· ὄπισθεν γὰρ τῶν Βουλγάρων γενόμενος καὶ εἰς τὸ στρατόπεδον αὐτῶν ἐμπεσὼν πάντας τοὺς ἐκεῖ εὑρεθέντας κατέσφαξεν. **24** μαθόντες οὖν οἱ Βούλγαροι τὸ γεγονὸς ὑποστρέφουσιν ἐν τῷ στρατοπέδῳ καὶ πολέμου συγκροτηθέντος τρέπουσι τὸν Σακτίκην σὺν ὀλίγοις ὑπάρχοντα. ὁ δέ, ἐπειδὴ γενναίως ἀγωνισάμενος καὶ πολλοὺς ἀνελὼν οὐκέτι ἀντέχειν ἠδύνατο πρὸς τὸ πλῆθος τῶν πολεμίων, μεθίησι τοῦ ἵππου τὸν χαλινὸν καὶ εἰς φυγὴν ἤλαυνε. ποταμὸν δέ τινα ἐκεῖσε παραρρέοντα διαπερῶν, τοῦ ἵππου αὐτῷ ἐν τῇ τούτου ἰλύι ἐμπαγέντος, τιτρώσκεται κατὰ τῆς ἕδρας καὶ τοῦ μηροῦ. μόλις οὖν τοῦ ἵππου ἐκ τῆς ἰλύος ἀνασπασθέντος

---

§ 23: mense Iun. a. 924

---

§ 23–24: cf. ps.-Sym. 734.1–7

TL G[m] F_1[E]H

158–59 τὸ pr. – θεασάμενον (sic m : G per comp. : θεασόμενον T : θαυμάσας F_1) : καὶ τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος θεασάμενον L : καὶ θεασάμενος τὸ κάλλος αὐτῆς καὶ τὸ μέγεθος H **159–62** καὶ – καταπλαγεὶς om. G **159** post κόσμον add. αὐτῆς L γὰρ om. F_1 **161** post οὕτως (καὶ οὗτο F_1) add. αὐτὸν T L (non add. m) : non adhib. G **162** τὸν πολυτελῆ κόσμον : των πολλυτελείας ερ^γ F_1 **162–63** καὶ alt. – εἰπών om. G **163** Θεοῦ om. F_1 **165** τῶν (τῶν om. G) – παλατίων : τὸν τοῦ ἁγίου θεοδώρου παλατίον (vel -ίου : παλάτιον E) F_1 : τῶ τῆς ἁγίας θεοδώρας παλάτιον H **166** βασιλεὺς om. F_1 **167** αὐτοῖς : αὐτῶι G **168** σαττίκη H τούτοις : τούτους L προηὐτρέπετο F_1 **169** συνετίθοντο F_1 **170** ἑτοίμ° F_1 τῆς – καὶ om. G ὑπὲρ τῶν χριστιανῶν ἀποθνήσκειν G **171** παρὰ τοῦ βασιλέως om. G σαττίκης H **172** ἑαυτοῦ G τε om. F_1 **174** ἐκεῖσε L F_1 post εὑρεθέντας add. ξίφει H **176** σαττίκην H **177** καὶ om. G m **178** τὸ : τοσοῦτον L **179** τινα om. F_1 **180** αὐτῷ : αὐτοῦ L m : αυ^τ G τούτου om. G m **181** οὖν : δὲ H ἀνασπαρθέντος F_1

συνεργίᾳ τῶν ὑπὸ χεῖρα διασῴζεται μέχρι τῶν Βλαχερνῶν καὶ τεθεὶς ἐν τῇ ἁγίᾳ Σορῷ, καιρίας τῆς πληγῆς οὔσης, τῇ νυκτὶ ἐτελεύτησεν. **25** τηνικαῦτα δὲ καὶ Πετρωνᾶς αἰδεσιμώτατος προστάξει Ῥωμανοῦ βασιλέως ἤγαγεν λαρνάκιον ἔνζῳδον ἓν καὶ ἕτερα δύο γλυφῆς ἀμοιροῦντα ἐκ τῆς τοῦ ἁγίου Μάμαντος μονῆς ἀνδρείας, τῆς πλησίον οὔσης τῆς Ξυλοκέρκου λεγομένης πόρτης, ἐν οἷς φασιν ἐναποκεῖσθαι Μαυρίκιον σὺν τοῖς αὐτοῦ παισί· ἃ καὶ ἀπετέθη ἐν τῇ τοῦ βασιλέως μονῇ. **26** Ἀδριανὸς δέ τις Χάλδος, πρὸς δὲ καὶ Τατζάτης Ἀρμένιος, πλούσιος πάνυ, τῇ ὑποθήκῃ καὶ συμβουλῇ Βάρδα τοῦ Βόηλα, στρατηγοῦντος ἐν Χαλδίᾳ, τυραννίδα καὶ ἀνταρσίαν κατὰ Ῥωμανοῦ βασιλέως συσκευάζουσι τὸ Παΐπερ λεγόμενον ὀχύρωμα κατασχόντες· οὓς ὁ τῶν σχολῶν δομέστικος Ἰωάννης ὁ Κουρκούας καταπολεμήσας τοὺς μὲν κατέσχεν, ὧν τοὺς περιφανεστέρους ἀποτυφλοῖ, τὰς οὐσίας δημεύσας, Τατζάτης δὲ ἐν ἑτέρῳ ὀχυρωτάτῳ καστελλίῳ διαφυγὼν καὶ λόγον τοῦ μή τι κακὸν παθεῖν δεξάμενος ἐν τῇ πόλει εἰσεληλύθει καὶ τῇ τοῦ μαγλαβίτου ἀξίᾳ τιμηθεὶς ἐν τῷ οἴκῳ τῶν Μαγγάνων διῃτᾶτο τηρούμενος. δρασμὸν δὲ βουλευσάμενος ἁλίσκεται καὶ τῶν ὀμμάτων στερίσκεται. Βάρδαν δὲ τὸν Βόηλαν ἀπέκειραν μοναχόν, τοῦ βασιλέως αὐτὸν κατοικτείραντος φίλον τυγχάνοντα. **27** τοῦ δὲ πατρικίου τοῦ οὕτως ἐπονομαζομένου Μωρολέοντος Ἀδριανουπόλεως στρατηγοῦντος, κρατίστου τὰ πολεμικὰ καὶ

§ 27: a. 923

§ 26: cf. ps.-Sym. 734.8–18 § 27: cf. ps.-Sym. 734.19–735.9

TL G[m] F_1[E]H

182 συνεργίᾳ – χεῖρα om. G **184–88** τηνικαῦτα – μονῇ om. G **185** λάρνακα m F_1 **186** μονῆς ἀνδρείας (sic m) : ἀνδρείας μονῆς L : ἀνδρῶας μονῆς F_1 : μονῆς ἀνδρῶας H : non adhib. G **186–87** Ξυλοκέρκου (sic m : ξυ^λκέρκου F_1) : ξιλοκέρκου T : ξηροκέρκου L : ζηροκέρκου H : non adhib. G **187** λεγομένης πόρτης : πληρουμένης F_1 οἷς : ἢ F_1 **187–88** ἐναποκεῖσθαι (ἀποκεῖσθαι F_1) – αὐτοῦ (ἑαυτοῦ L) παισί om. H (quod exhib. m : non adhib. G) **188** ἃ om. F_1 ἀπετέθη (sic m) : ἀπετέθησαν F_1 : ἀπέθετω H : non adhib. G τοῦ βασιλέως : βασιλικῇ F_1 **188–89** ἀνδριανὸς F_1 H **189** Ἀρμένιος om. F_1 **190** καὶ om. E (non vid. F_1) βόϊλα (vel βοΐλα) H **191** ἀνταρσία ut vid. F_1 (sic E) post Ῥωμανοῦ add. τοῦ L **192** Παΐπερ : παΐπερ τε T G : παΐπερ τε/παΐπερ τὸ m : παΐπερ (πέπερ F_1) τὸ L F_1 : fort. scrib. Παΐπερτ (Παΐπερτε Bekker Tafel) κατασχόντες : καταλαβόντες H **194** περιφανεστέρους : περιφενεστέροις T : περιφανεστάτους F_1 H τατζάτος F_1 **195** ἑτέρῳ ὀχυρωτάτῳ καστελλίῳ : ετέρα καστέ^λλ F_1 μή τι : μηκέτη F_1 **196** μαγλαβίτου (sic m) : μαγγαβίτου T : μαγγλαβύ^τ F_1 : μαγκλαβήτου H **197** μαγκάνων H διῃτᾶτο : διἔμενε F_1 δρασμῶ H **198** στερεῖται H **199** Βόηλαν (βόη-/βόι- m) : βόϊλαν L : βοΐλαν (vel βόϊλαν) H ἀπέκειρε F_1 **199–200** τοῦ – τυγχάνοντα om. G **199–200** φίλον τυγχάνοντα : ὡς φίλου τυγχάνοντος H : om. F_1 **200** οὕτως : ὄντος G F_1 : ὄντως H **201** ἀνδριανουπόλεως F_1 H κρατίστου om. F_1

περιδεξίου τυγχάνοντος, ὃς πλείστας κατὰ Βουλγάρων ἀνδραγαθίας ἐπεδείξατο, ὁ Βούλγαρος Συμεὼν σὺν παντὶ τῷ στρατεύματι τὴν εἰρημένην πόλιν περιεκύκλωσεν καὶ χάρακα περιβαλὼν ἰσχυρῶς ταύτην ἐπολιόρκει. ἐπεὶ δὲ ὅ τε σῖτος τοὺς ἐν τῇ πόλει ἐπιλελοίπει καὶ λιμὸς ἐπίεζε κραταιὸς (οὐδαμόθεν γὰρ εἶχον ἐπισιτίσασθαι τῇ ἐνδείᾳ πιεζόμενοι), προδεδώκασιν ἑαυτούς τε καὶ τὸν στρατηγὸν τοῖς Βουλγάροις· ὃν χειρωσάμενος Συμεὼν καὶ δεσμὰ καθ᾽ ὅλου τοῦ σώματος περιβαλὼν καὶ μυρίαις αἰκίαις τοῦτον τιμωρησάμενος τελευταῖον ἀπέκτεινε θανάτῳ πικρῷ, ἀξίῳ τῆς ἑαυτοῦ ἀπηνεστάτης καὶ ὠμοτάτης ψυχῆς. Βουλγάροις οὖν τὴν τῆς πόλεως φυλακὴν παραδοὺς ὑπεχώρησεν· οἳ τὴν κατ᾽ αὐτῶν τοῦ Ῥωμαίων στρατοῦ ἔφοδον ἀκηκοότες, ταύτην καταλιπόντες ἀπῆλθον, καὶ πάλιν ὑπὸ Ῥωμαίους αὕτη ἐγένετο. **28** Λέοντος δὲ τοῦ Τριπολίτου μετὰ δυνάμεως πολλῆς καὶ πλοίων πολεμικῶν κατὰ Ῥωμαίων ἐξελθόντος καὶ ἐν τῇ νήσῳ Λήμνῳ καταλαβόντος Ἰωάννης πατρίκιος καὶ δρουγγάριος τῶν πλοΐμων, ὁ Ῥαδινὸς κατονομαζόμενος, αἰφνιδίως ἐπέθετο αὐτῷ, καὶ πολέμου γεγονότος Θεοῦ συνεργίᾳ οἱ ὑπ᾽ αὐτὸν τρέπονται Ἀγαρηνοί, μόλις δὲ μόνος αὐτὸς ὁ Τριπολίτης φυγῇ διασῴζεται. **29** Σεπτεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος δευτέρας, Συμεὼν ὁ ἄρχων Βουλγαρίας πανστρατὶ κατὰ Κωνσταντινουπόλεως ἐκστρατεύει καὶ

§ 28: a. 924 § 29: a. 923–924 (a mense Sept. a. 923)

§ 28: cf. ps.-Sym. 735.10–13 § 29: cf. ps.-Sym. 735.14–736.1

TL G[m] F_1[E]H

202 ὃς πλείστας : πλεῖστας δὲ F_1 κατὰ Βουλγάρων (βουλγαρίας G) ἀνδραγαθίας : ἀνδραγαθείας κατὰ βουλγάρων L **203** ἐπιδειξάμενος F_1 τῷ om. F_1 post στρατεύματι add. αὐτοῦ L m **204** εἰρημένην : εἰρήνην L περιεκύκλωσαν T m F_1, fort. recte (vide introd. III.3.1.1) **205** τοὺς : τοῖς H λιμὸς (sic m) : λοιμὸς T G H **206** κραταιὸς : χαλεπὸς G m ἐπισιτίσασθαι :]ιτείζεσθαι F_1 (ἐπισιτίζεσθαι E) **207** προσδεδώκασιν L **208** καθ᾽ ὅλου om. E et, ut vid., F_1 **208–09** καὶ alt. – τελευταῖον om. G **209** τοῦτον : τούτων F_1 **210** ἀξίῳ (ἄξια F_1) – ψυχῆς om. G **210–11** Βουλγάροις : ὁ βούλγαρος F_1 **211** τὴν pr. om. H παραδῶς φυλακὴν G **211–13** οἳ – ἐγένετο om. G **212** τοῦ : τὴν των F_1 Ῥωμαίων : ῥωμαϊκοῦ H καταλοιπόντες H **213** αὕτη om. F_1 λέων F_1 **215** καὶ (καὶ om. T) – καταλαβόντος om. F_1 ἐν τῇ νήσῳ Λήμνῳ : τὴν νῆσον τὴν λύμνον H **215–16** ἰωάννου πατρικίου καὶ δρουγγαρίου F_1 **216** τῶν πλοΐμων : τοῦ πλοΐμου T m : πλοΐμων G Ῥαδινὸς (sic m) : ῥαδηνὸς L H τοῦ ραδινοῦ κατονομαζομένου F_1 κατονομαζόμενος om. G αἰφνίδιος G H **217** ἐπέθετο : ἐπιτίθεται L αὐτῷ om. H Θεοῦ συνεργίᾳ : τῇ τοῦ θεοῦ συμμαχίᾳ H : post οἱ ὑπ᾽ αὐτὸν transp. F_1 αὐτὸν (sic m : αυ^τ F_1) : αὐτῶν T : αὐτῶ H **218** Ἀγαρηνοί : σαρακηνοί F_1 H μόλις δὲ μόνος : μόνος δὲ G m H αὐτὸς μόνος F_1 **218–19** διασῴζεται φυγῇ F_1 H **218–19** διασωιθείς G **219–20** Σεπτεμβρίῳ (σεπτεβρίῳ H) – Βουλγαρίας : συμεῶν δὲ ὁ ἄρχων βουλ^γρ' μηνὶ σεπτεμβρίω ινδικτιῶνος β F_1 **219** ἰνδικτιῶνος δευτέρας : scrib. ἰνδικτιῶνος ιβ' (vide introd. III.3.1.1) ὁ om. T

ληΐζεται μὲν Θρᾴκην τε καὶ Μακεδονίαν, ἐμπυρίζει δὲ πάντα καὶ καταστρέφει καὶ δενδροτομεῖ. μέχρι δὲ Βλαχερνῶν παραγενόμενος ἐπεζήτησεν ἀποσταλῆναι αὐτῷ τὸν πατριάρχην Νικόλαον καί τινας τῶν μεγιστάνων, ὥστε περὶ εἰρήνης αὐτοῖς συντυχεῖν. ἔλαβον οὖν ὁμήρους παρ᾽ ἀλλήλων ἀμφότεροι, καὶ ἐξῆλθε πρότερον μὲν ὁ πατριάρχης Νικόλαος, ἔπειτα Μιχαὴλ πατρίκιος, ὁ προσαγορευόμενος Στυππιώτης, καὶ Ἰωάννης ὁ μυστικός τε καὶ παραδυναστεύων. ἤδη γὰρ Ἰωάννης ὁ ῥαίκτωρ διαβληθεὶς πρὸς τὸν βασιλέα, ἀσθένειαν προφασισάμενος τοῦ παλατίου κατεληλύθει καὶ ἐν τῇ αὐτοῦ μονῇ τῇ πλησίον Γαλακρινῶν ἀπεκάρη. **30** οἱ μὲν οὖν μετὰ Συμεὼν περὶ εἰρήνης διελέγοντο. ὁ δὲ αὐτοὺς μὲν ἀπεπέμψατο, αὐτὸν δὲ τὸν βασιλέα Ῥωμανὸν ἐπεζήτει θεάσασθαι· παρὰ πολλῶν γὰρ πεπληροφόρητο περί τε τῆς αὐτοῦ φρονήσεως καὶ ἀνδρείας καὶ τῆς συνέσεως. ὁ τοίνυν βασιλεὺς σφόδρα ἐπὶ τούτῳ ἠγαλλιάσατο· ἐπόθει γὰρ τὴν εἰρήνην καὶ τὸ στῆναι τὰς γινομένας τῶν αἱμάτων χύσεις ὁσήμεραι. **31** ἀποστείλας οὖν ἐν τῷ τοῦ Κοσμιδίου αἰγιαλῷ κατεσκεύασεν ὀχυρωτάτην ἐν τῇ θαλάσσῃ ἀπόβασιν, ὥστε τὴν βασιλικὴν τριήρη διεκπλέουσαν ἐν αὐτῇ προσορμίζεσθαι. περιφράξας οὖν αὐτὴν πάντοθεν διατείχισμα μέσον γενέσθαι προσέταξεν, ἔνθα ἀλλήλοις ἔμελλον ὁμιλεῖν. ἀποστείλας οὖν Συμεὼν τὸν τῆς ὑπεραγίας Θεοτόκου ναὸν ἐνέπρησε, τὸν ἐν τῇ Πηγῇ, καὶ τὰ πέριξ αὐτοῦ σύμπαντα, δῆλος ὢν ἐντεῦθεν μὴ τὴν εἰρήνην

§ 30–37: autumn. a. 924

§ 30: cf. ps.-Sym. 736.1–4 § 31: cf. ps.-Sym. 736.4–12

TL G[m] F_1[E]H

221 τε om. F_1 H **222** γενόμενος G **223** ἀποστεῖλαι H αὐτῷ : αὐτὸν F_1 **224** αὐτοῖς (sic m : F_1 per comp. (αὐτοῖς vel αὐτῆς)) : αὐτοὺς L : αὐτῷ H συντυχῶν F_1 **224–25** οὖν ὁμήρους : συνομείρους F_1 **225** παρ᾽ ἀλλήλων om. G πρότερον : πρῶτον F_1 : πρότερος H **226** προσαγορευόμενος (sic m) om. L G H **227** Στυππιώτης : στουπιωτης G : στυπιωτης H τε (τε om. F_1) καὶ om. G post παραδυναστεύων add. ἤδη γὰρ ἰωάννης ὁ μυστηκώς τε καὶ παρὰδυναστεύων T **227–30** ἤδη (ἤδει G F_1 H) – ἀπεκάρη om. L **227** post γὰρ add. ὁ F_1 **229** αὐτοῦ : αὐτῆι G **229–30** γαλαγκρηνῶν H **230–31** διελέγετω H **231** αὐτοὺς μὲν : αὐτοὺς H ἀπεμέμψατο F_1^{ac} **232** ἐπεζήτει : ἐζήτει L m πολλῆς F_1 **233** ἑαυτοῦ F_1^{ac} φρονήσεως : φανήσεως T τῆς om. F_1 H τοίνυν : οὖν L : τε G **234** ἐπὶ : ὑπερ F_1 τούτῳ : τοῦτο T L : τού^{τ} F_1 : non adhib. m τὸ στῆναι om. G **235** ἐκχύσεις G ὁσήμεραι : ὡσήμεραι L : ὁσημέραι (ὡς ἡμέραι H) om. m F_1 **236–37** ὀχυρωτάτην – ἀπόβασιν : ἐν τῆι θαλάσσηι ὀχυρωτα^{τ} G : ἐν τῇ θαλάσσῃ ὀχυρωτάτην ἀπόβασιν m H **237** ὥστε : ὡς F_1 τριήρη (F_1 per comp. (τριήρη E)) : τριήρην m H **239** γενέσθαι om. F_1 ἔνθα : ἐν ὧι G m **239–40** ἀποστείλας οὖν Συμεὼν : ὁ δὲ συμεὼν ἀποστείλας L **240** ἐνέπρησε (ἐνέπρισεν H) post Πηγῇ transp. m H **241** πτέρυξ F_1 ὢν om. F_1 **241–42** μὴ τὴν εἰρήνην ἐθέλων (θέλων F_1 (H)) : ὡς τὴν εἰρήνην μὴ θέλων H

ἐθέλων, ἀλλ᾽ ἐλπίσι μετεώροις τοῦτον ἐξαπατῶν. **32** παραγενόμενος δὲ ἐν Βλαχέρναις ὁ βασιλεὺς ἅμα Νικολάῳ τῷ πατριάρχῃ ἐν τῇ ἁγίᾳ εἰσῆλθε Σορῷ καὶ τὰς χεῖρας ἐξέτεινεν εἰς εὐχήν. εἶτα πρηνὴς πεσὼν δάκρυσι τὸ ἅγιον κατέβρεχεν ἔδαφος, τὴν πανάχραντον Θεοτόκον ἀντιβολῶν τὴν ἀκαμπῆ καὶ ἀμείλικτον τοῦ ὑπερηφάνου Συμεὼν καρδίαν μαλάξαι καὶ πεῖσαι τὰ πρὸς εἰρήνην συνθέσθαι. τὸ ἅγιον οὖν κιβώτιον διανοίξαντες, ἔνθα τὸ σεπτὸν τῆς ἁγίας Θεοτόκου τεθησαύριστο ὠμοφόριον, καὶ τοῦτο ἐκεῖθεν ὁ βασιλεὺς ἀνελόμενος καὶ ὥσπερ τινὰ θώρακα ἀδιάρρηκτον περιβαλόμενος καὶ τὴν πίστιν τὴν εἰς τὴν ὑπεράμωμον Θεοτόκον οἷα περικεφαλαίαν τινὰ περιθέμενος ἐξῄει τοῦ ναοῦ, ὅπλοις ἀσφαλέσι φραξάμενος. **33** τὸν σὺν αὐτῷ οὖν στόλον ἀσπίσι τε καὶ ὅπλοις κατακοσμήσας τὸν ὡρισμένον τόπον κατέλαβεν συνομιλῆσαι τῷ Συμεών. πέμπτη δὲ ἦν ἡμέρα, ὅτε ταῦτα ἐγένετο, ἐνάτη τοῦ Νοεμβρίου μηνός. τετάρτῃ δὲ τῆς ἡμέρας ὥρᾳ παρεγένετο Συμεὼν πλῆθος ἄπειρον ἐπαγόμενος εἰς πολλὰς διῃρημένον παρατάξεις· τῶν μὲν χρυσασπίδων καὶ χρυσοδοράτων, τῶν δὲ ἀργυρασπίδων καὶ ἀργυροδοράτων, τῶν δὲ πάσῃ ὅπλων χροιᾷ κεκοσμημένων, πάντων καταπεφραγμένων σιδήρῳ, οἳ μέσον αὐτῶν διειληφότες τὸν Συμεὼν ὡς βασιλέα εὐφήμουν τῇ τῶν Ῥωμαίων φωνῇ. πάντες δὲ οἱ τῆς συγκλήτου βουλῆς τοῖς τείχεσιν ἐφεστῶτες κατεθεῶντο τὰ δρώμενα. ἦν οὖν ἰδεῖν τότε ψυχὴν βασιλικὴν τῷ ὄντι καὶ μεγαλόφρονα καὶ θαυμάσαι τὸ τοῦ φρονήματος ἀκατάπληκτον καὶ τὸ τῆς ἀνδρείας παράστημα, ὅπως τοσαύτην πολεμίων βλέπων ἐπιφορὰν οὐ κατεπλάγη καὶ συνεστάλη καὶ ὑπεχώρησεν, ἀλλ᾽ ὥσπερ εἰς

254–55 9.11.924

---

§ 32: cf. ps.-Sym. 736.12–19 § 33: cf. ps.-Sym. 736.19–737.10

TL G[m] F_1[E]H **247** a συνθέσθαι TL G[m] H

---

243 βασιλεὺς : βασίλειος G τῷ om. L F_1 H (quod exhib. m) **245** κατέβρεχε τὸ ἅγιον F_1 πανάχρατον H **246** τοῦ – Συμεὼν om. H **246–47** καρδίαν μαλάξαι : μαλάξαι καρδίαν G : ἀλάξαι F_1 **247** πεῖσαι : πῆσαι T : ποιῆσαι H συνθέσθαι om. G οὖν om. G **248** ἁγίας om. L τεθησαύρισται L **249–50** καὶ alt. – περιβαλόμενος ((περιβαλόμενος/-βαλλ- m) : περιβαλλόμενος T L H) om. G **249** τινὰ : τι L **250** post τὴν alt. add. ὑπὲρ G ὑπεράμωμον : ἄμωμον G (de G vide supra) m : ὑπεραγίαν H **251** ἐξῄει : ἐξείη T : ἐξίει H **252** τῷ σὺν αὐτῷ οὖν (οὖν om. G) στόλῳ H **253** κοσμίσας ut vid. G **254** δὲ ἦν : οὖν G post ἐνάτη add. δὲ H **255** δὲ om. G ὁ συμεὼν παρεγένετο L **256** εἰς – παρατάξεις om. G post διῃρημένον add. τὰς T L (non add. m) : non adhib. G **257** τῶν δὲ ἀργυρασπίδων καὶ ἀργυροδοράτων om. H **258** post πάντων add. καὶ H **259** αὐτῶν : αὐτὸν T τῶν om. G **261** κατεθεῶντα T **261–62** ἦν – μεγαλόφρονα om. H **261** ψυχὴν (ψυχικὴν G) βασιλικὴν : βασιλικὴν ψυχὴν L **263** καὶ – παράστημα om. G πολεμίων βλέπων : βλέπων πολέμων L : βλέπων πολεμίων H

φιλίων πλῆθος χωρῶν, οὕτως ἀτρέμας ἀπῄει, μονονουχὶ τὴν ψυχὴν τοῖς πολεμίοις τῶν ὑπηκόων διδοὺς ἀντίλυτρον. **34** πρῶτος οὖν ἐν τῇ ῥηθείσῃ ἀποβάθρᾳ καταλαβὼν τὸν Συμεὼν ἐξεδέχετο. ἐπεὶ δὲ ὅμηροι ἐξ ἀμφοτέρων ἐλήφθησαν τῶν μερῶν καὶ τὴν ἀποβάθραν οἱ Βούλγαροι διερευνήσαντο ἀκριβῶς, μή πού τις δόλος ἢ ἔνεδρα τυγχάνῃ, κατῆλθε Συμεὼν τοῦ ἵππου καὶ πρὸς τὸν βασιλέα εἰσῆλθεν. ἀσπασάμενοι οὖν ἀλλήλους εἰρήνης λόγους ἐκίνησαν. **35** εἰπεῖν δὲ λέγεται τὸν βασιλέα πρὸς Συμεών· ἀκήκοά σε θεοσεβῆ ἄνθρωπον καὶ Χριστιανὸν ὑπάρχειν ἀληθινόν. βλέπω δὲ τὰ ἔργα μηδαμῶς τοῖς λόγοις συμβαίνοντα. ἴδιον μὲν γὰρ θεοσεβοῦς ἀνθρώπου καὶ Χριστιανοῦ τὸ τὴν εἰρήνην καὶ τὴν ἀγάπην ἀσπάζεσθαι (εἴπερ ὁ Θεὸς ἀγάπη ἐστὶ καὶ λέγεται), ἀσεβοῦς δὲ καὶ ἀπίστου τὸ χαίρειν σφαγαῖς καὶ αἵμασιν ἀδίκως ἐκχεομένοις. εἰ μὲν οὖν ἀληθὴς Χριστιανὸς ὑπάρχεις, καθὼς πεπληροφορήμεθα, στῆσόν ποτε τὰς ἀδίκους σφαγὰς καὶ τὰς τῶν ἀνοσίων αἱμάτων ἐκχύσεις καὶ σπεῖσαι μεθ᾽ ἡμῶν τῶν Χριστιανῶν τὴν εἰρήνην, Χριστιανὸς καὶ αὐτὸς ὢν καὶ ὀνομαζόμενος, καὶ μὴ θέλε μολύνεσθαι Χριστιανῶν δεξιὰς αἵμασιν ὁμοπίστων Χριστιανῶν. **36** ἄνθρωπος εἶ καὶ αὐτός, θάνατον προσδοκῶν καὶ ἀνάστασιν καὶ κρίσιν καὶ ἀνταπόδοσιν. σήμερον ὑπάρχεις καὶ αὔριον εἰς κόνιν διαλυθήσῃ. εἷς πυρετὸς ἅπαν κατασβέσει τὸ φρύαγμα. τίνα οὖν λόγον δώσεις τῷ Θεῷ ἐκεῖ ἀπελθὼν ὑπὲρ τῶν ἀδίκων σφαγῶν; ποίῳ προσώπῳ τῷ φοβερῷ καὶ δικαίῳ ἐνατενίσεις κριτῇ; εἰ πλούτου ἐρῶν ταῦτα ποιεῖς, ἐγώ σε κατακόρως τοῦ ἐπιθυμουμένου ἐμπλήσω. μόνον ἐπίσχες τὴν δεξιάν, ἄσπασαι τὴν εἰρήνην, ἀγάπησον τὴν ὁμόνοι-

---

§ 34: cf. ps.-Sym. 737.10–16 § 35: cf. ps.-Sym. 737.16–738.3 § 36: cf. ps.-Sym. 738.3–14

TL G[m] H **269** a κατῆλθε TL G[m] F_1[E]H

---

265 φιλίων : φίλων L G : φιλίαν H : φίλιον m, fort. recte οὕτως : οὗτος T : οὗτος G, fort. recte ἀπῄει : ἀπείη T : ἀπίη m : ἀπίει H **268** ἐλείφησαν H τῶν μερῶν om. G **269** διερευνήσαντο (sic m) : διηρευνήσαντο T G μή πού : μήπως G τις : τι H ἔνεδρα : sic accentus in mss. καὶ κατῆλθε F_1 **270** πρὸς – εἰσῆλθεν om. F_1 οὖν om. F_1 **271** ἀλλήλους (ἀλλήλοις/ἀλλήλους m) : ἀλλήλοις G F_1 εἰρηνηκοὺς H post βασιλέα add. πρὸς τὸν βασιλέα F_1, quae erasit ut vid. F_1^2 **272** post πρὸς add. τὸν F_1 σε om. F_1 post ἄνθρωπον add. ὄντα F_1 **274–75** καὶ τὴν (τὴν om. F_1) ἀγάπην om. L **275** εἴπερ : ὅπερ F_1 post ἐστὶ add. τε L H δὲ : τε F_1 **276** post χαίρειν add. ut vid. ἦν E (non vid. F_1) ἐκχεομένοις (ἐκχεομένοις/ἐκχεομένων m) : ἐκχεομένων G : ἐκχεομένας F_1 **277** post ἀληθὴς add. καὶ ὄντως L **278–79** σπεῖσαι : πεῖσαι F_1 H **279** καὶ αὐτὸς ὢν (sic m) : ὢν καὶ αὐτὸς L G **280** καὶ pr. om. F_1 θέλον T **281** post ἄνθρωπος add. γὰρ L **282** post ἀνάστασιν add. νεκρῶν F_1 καὶ κρίσιν om. G καὶ ἀνταπόδοσιν om. H **283** διαλυθήσῃ : διαλυθήσει T : διαλυθήσι H ἅπαν – φρύαγμα (φρύαγμα : σῶμα H) : ἅπαντας σκευάσει τὸ φύραμα F_1 (φύραμα ut vid. F_1 (sic et E)) κατασβέσει : κατασβέση σου H **284** ἐκεῖθεν F_1 H **285** φοβερῷ : βερῶ H ἐνατενίσεις : ἐνατενίσει T : ἀτενίσεις L : ἐνατενίσης F_1 πλοῦτον H **286** κατὰ κόρων F_1 **287** ἐπίσχε F_1

αν, ἵνα καὶ αὐτὸς βίον ζήσῃς εἰρηνικὸν καὶ ἀναίμακτον καὶ ἀπράγμονα, καὶ οἱ Χριστιανοὶ παύσονταί ποτε τῶν συμφορῶν καὶ στήσονται τοὺς Χριστιανοὺς ἀναιρεῖν· οὐ θέμις γὰρ αὐτοῖς αἴρειν ὅπλα καθ' ὁμοπίστων. **37** τοσαῦτα οὖν ὁ βασιλεὺς εἰπὼν ἐσίγησεν. αἰδεσθεὶς οὖν Συμεὼν τὴν τούτου ταπείνωσιν καὶ τοὺς λόγους αὐτοῦ κατένευσε τὴν εἰρήνην ποιήσασθαι. ἀσπασάμενοι οὖν ἀλλήλους διεχωρίσθησαν, δώροις μεγαλοπρεπέσι τοῦ βασιλέως δεξιωσαμένου τὸν Συμεών. ὃ δὲ τότε συμβέβηκε, διηγήσομαι· τεράστιόν τι καὶ τοῖς τὰ τοιαῦτα συγκρίνειν εἰδόσι παράδοξον· δύο φασὶν ἀετούς, τῶν βασιλέων ὁμιλούντων, ἄνωθεν αὐτῶν ὑπερπτῆναι κλάγξαι τε καὶ πρὸς ἀλλήλους συμμῖξαι καὶ παραυτίκα διαζευχθῆναι ἀλλήλων, καὶ τὸν μὲν ἐπὶ τὴν πόλιν ἐλθεῖν, τὸν δὲ ἐπὶ τὴν Θρᾴκην διαπτῆναι. τοῦτο οἱ ἀκριβῶς τὰ τοιαῦτα σκοποῦντες οὐ καλὸν ἔκριναν οἰωνόν· ἀσυμβάτους γὰρ ἐπὶ τῇ εἰρήνῃ ἀμφοτέρους διαλυθήσεσθαι ἔφησαν. Συμεὼν δὲ τὸ αὐτοῦ στρατόπεδον καταλαβὼν τοῖς ἑαυτοῦ μεγιστᾶσι τὴν τοῦ βασιλέως ἀπήγγειλε σύνεσιν καὶ ταπείνωσιν, ἐξεθείαζέν τε αὐτοῦ τό τε εἶδος τήν τε ῥώμην καὶ τὸ ἀκατάπληκτον τοῦ φρονήματος. **38** Δεκεμβρίῳ δὲ μηνὶ εἰκάδι πέμπτῃ ἔστεψε Ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ Μεγάλῃ ἐκκλησίᾳ, Στέφανόν τε καὶ Κωνσταντῖνον, ἀλλὰ καὶ Θεοφύλακτον, εὐνοῦχον υἱὸν αὐτοῦ, ὁ πατριάρχης Νικόλαος ἀπέκειρε κληρικόν, χειροτονήσας ὑποδιάκονον σύγκελλόν τε προχειρισάμενος, διελθόντα πρότερον ἐν τῷ τῶν ὑπο-

---

304 25.12.924 vel potius 25.12. 923 (sic Kresten/Müller 1995, p. 56)

---

§ 37: cf. ps.-Sym. 738.14–739.7 § 38: cf. ps.-Sym. 739.8–12

TL G[m] F_1[E]H **290** a γὰρ TL G[m] EH

---

288 ζήσεις H καὶ ἀναίμακτον om. G καὶ ἀπράγμονα om. F_1 **289** παύσωνται G ποτε om. L **289–90** καὶ alt. – ἀναιρεῖν (αἱρεῖν H) om. G **289** τοὺς om. E (non vid. F_1) **290** αὐτοῖς : αὐτῶν G καθ' : καταχριανῶν E **291** τοσαῦτα οὖν (τοσαῦτα οὖν : τοσαῦτα E : ταῦτα H) – ἐσίγησεν om. L ὁ βασιλεὺς εἰπὼν : εἰπὼν ὁ βασιλεὺς G H : ὁ βασιλεὺς εἰπὼν/εἰπὼν ὁ βασιλεὺς m post οὖν alt. add. ὁ m H **292** κατένευσε : ἐπένευσε G **293** ἀλλήλοις E **294** συμεῶνα G **294–95** συμβέβηκε τότε E **295** τι om. G τὰ τοῖς E **296** φησὶν E **297** κλάγξαι τε : κλάξέται H καὶ pr. om. E **298** διαζευχθῆ E ἀλλήλων : ἀλλήλους H τὸν pr. : τὸ E **299** τὴν om. E τὰ (τὰ om. E) τοιαῦτα : ταῦτα H **300** οὐ καλὸν : οὐκ ἄλον E : οὐκ ἄλλον H οἶνον E τὴν εἰρήνην G m H ἀμφοτέρους om. G **301** αὐτοῦ (ἑαυτοῦ G) στρατόπεδον : αὐτὸ στράτευμα E **302** μεγιστᾶσι : μεγίστοις ἄρχουσι H ἀπήγγελε L **303–04** ἐξεθείαζέν τε (ἐξαιθιάζετο E) – φρονήματος om. G **303** αὐτοῦ (αὐτῶ E) τό τε εἶδος : αὐτοῦ τό τε εἶδος αὐτοῦ T **304** δεκεβρίω E **305** post Μεγάλῃ add. τοῦ θεοῦ G **305–06** Στέφανόν – εὐνοῦχον (εὐνοῦχον om. G) υἱὸν : στέφονται καὶ κωνσταντίνος· ἀλλὰ καὶ θεοφίλακτος εὐνούχος υἱὸν E **306** υἱὸν αὐτοῦ : τὸν αὐτοῦ υἱὸν L : τὸν υἱὸν αὐτοῦ G **308** σύγκελλόν – πρότερον : ὃν μετὰ τὸ διελθεῖν πρότερον E : om. H **308–09** post ὑποδιακόνων add. βαθμῶι καὶ L

διακόνων τάγματι εἰς τὰ ἅγια. **39** Ἀπριλλίῳ δὲ μηνί, ἐννέα καὶ δεκάτῃ τοῦ μηνός, ἐτίμησεν Ῥωμανὸς Ἰωάννην, μυστικὸν καὶ παραδυναστεύοντα, πατρίκιον καὶ ἀνθύπατον, ὥστε διʼ αὐτὸ τοῦτο φθόνον κινηθῆναι αὐτῷ καὶ κατηγορηθῆναι ὑπό τινων. **40** Μαΐῳ δὲ μηνὶ ιε', ἰνδικτιῶνος ιγ', τελευτᾷ τὸν βίον ὁ πατριάρχης Νικόλαος, κρατήσας ἐν τῇ δευτέρᾳ αὐτοῦ ἀναβάσει τοῦ πατριαρχείου ἔτη τρεῖς καὶ δέκα, καὶ ἀπετέθη τὸ σῶμα αὐτοῦ ἐν τῇ ὑπʼ αὐτοῦ κτισθείσῃ μονῇ τῶν Γαλακρινῶν. **41** Αὐγούστῳ δὲ μηνὶ πατριάρχης καθίσταται Στέφανος, ὁ Ἀμασείας μητροπολίτης, εὐνοῦχος ὑπάρχων. **42** Ὀκτωβρίῳ δὲ μηνὶ κατηγορήθη ὁ μυστικὸς Ἰωάννης καὶ παραδυναστεύων ὡς τῆς βασιλείας ἐφιέμενος ὑποθήκῃ τοῦ πατρικίου Κοσμᾶ καὶ λογοθέτου τοῦ δρόμου, διδόντος εἰς γυναῖκα τὴν θυγατέρα αὐτῷ. τούτου ἕνεκεν καταβιβάζεται μὲν τοῦ παλατίου, συγχωρεῖται δὲ προέρχεσθαι καὶ τῷ βασιλεῖ ἐξυπηρετεῖν καὶ σὺν αὐτῷ τὰ ἀνήκοντα διοικεῖν· στοργὴν γὰρ ὅτι πλείστην ἐκέκτητο πρὸς αὐτὸν ὁ βασιλεὺς Ῥωμανός, ὡς ἐν πᾶσιν αὐτὸν θεραπεύειν δυνάμενον, καὶ τελέως τοῦτον ἀπώσασθαι οὐκ ἠβούλετο. τῶν κατηγόρων οὖν κατεπειγόντων τὸν βασιλέα καὶ σαφῆ ἀποδεικνύντων τὰ κατηγορημένα, ἐρευνήσας ὁ βασιλεὺς καὶ ἀληθῆ ταῦτα εἶναι ἀναμαθὼν ἔμελλε τοῦτον κατασχὼν ἀνετάζειν. ὁ δὲ τοῦτο προγνοὺς χρῆται φυγῇ καὶ τὴν Μονοκάστανον λεγομένην καταλαβὼν ἀποκείρεται μοναχός. **43** πέφευγε δὲ καὶ Κωνσταντῖνος ὁ τοῦ Βόηλα, ὁ τῆς τραπέζης οἰκεῖος καὶ

---

§ 39: 19.4.925 § 40: 15.5.925 **314** i.e. a. 912–925 § 41: mense Aug. a. 925 § 42: mense Oct. a. 925

---

§ 40: cf. ps.-Sym. 739.13–16 § 41: cf. ps.-Sym. 739.16–17 § 42: cf. ps.-Sym. 739.17–19 § 43: cf. ps.-Sym. 739.19–740.1

TL G[m] EH a § 42 TL G[m] H

---

309 post ἅγια add. σύγγελον ὁ βασιλεὺς προεχειρίσατο E **310** τοῦ (τοῦ αὐτοῦ H) μηνὸς om. G E (quod singularia mss. e m exhib.) post ἐτίμησεν add. στέψας ῥωμανὸς τοὺς υἱοὺς αὐτοῦ ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ H **310–11** καὶ παραδυναστεύοντα om. G **311** καὶ om. G **311–12** ὥστε – τινων om. G E (quod exhib. m) **311** διʼ αὐτὸ : διὰ L **312** Μαΐῳ – ιε' : μηνὶ δὲ μαΐω E **313** ιγ' : γ G νικόλαος ὁ πατριάρχης H κρατήσας : ἱερατήσας E **314** αὐτοῦ – τοῦ πατριαρχείου (τοῦ πατριαρχείου om. G) : ἀναβάσῃ E **315** Γαλακρινῶν (sic m) : γαλακρηνῶν T L : γαλακρίνων G : γαλαγκρηνῶν H **316** μηνὶ αὐγούστω E καθίσταται : κάθηται E **317** ὑπήρχεν E κατηγοριθεὶς H **319** Κοσμᾶ post δρόμου transp. G **320** αὐτῷ – ἕνεκεν : αὐτοῦ H (vide introd. III.3.1.1) **321** προέρχεσθαι (προέρχεσθαι/προσέρχεσθαι m) : προσέρχεσθαι G **323** ὁ βασιλεὺς πρὸς αὐτὸν G **323–24** Ῥωμανός – ἠβούλετο om. G **324** κατηγόρων : κατηγορούντων H **325–26** καὶ – κατηγορημένα om. G **326** μαθὼν L G m **328** λεγομένην μονοκάστανον G fort. scrib. λεγομένην ⟨μονὴν⟩ (cf. ps.-Sym. 739.20: ἐν τῇ τῆς Μονοκαστάνου ἀποκείρεται μονῇ) (vide etiam ind. graecitatis s.v. *ellipsis nominis substantivi* et introd. III.3.1.1) **329** Βόηλα (βόι-/βοΐ- m) : βόϊλα L : βοΐλα ut vid. H

φίλος ὢν αὐτῷ, καὶ τὸν Ὄλυμπον καταλαβὼν τὸ μοναχικὸν σχῆμα ἐνδύεται. ἐδεδοίκει γὰρ καὶ αὐτός, ἅτε συμμύστης τυγχάνων τοῦ μυστικοῦ καὶ τῶν ἀπορρητοτέρων αὐτοῦ κοινωνός. τὸν δὲ πατρίκιον Κοσμᾶν ἐν τῷ Ὡρολογείῳ τοῦ παλατίου τύψας ὁ βασιλεὺς διεδέξατο. προβάλλεται δὲ ἀντὶ τοῦ μυστικοῦ Ἰωάννου Θεοφάνην πρωτοβεστιάριον παραδυναστεύοντα. **44** ἐγένετο δὲ τὸ τηνικαῦτα καὶ σεισμὸς φοβερὸς ἐν τῷ τῶν Θρᾳκησίων θέματι καὶ χάσμα γῆς μέγα καὶ καταπληκτικόν, ὥστε πολλὰ χωρία καὶ ἐκκλησίας αὐτάνδρους καταποθῆναι. **45** Μαΐῳ δὲ μηνὶ εἰκάδι ἑβδόμῃ, πέντε καὶ δεκάτῃ ἰνδικτιῶνος, Συμεὼν ὁ ἄρχων Βουλγαρίας ἐτελεύτησεν, Πέτρον υἱὸν αὐτοῦ προβαλόμενος ἄρχοντα, ὃν ἐκ τῆς δευτέρας αὐτοῦ ἔσχε γυναικός, τῆς ἀδελφῆς Γεωργίου τοῦ Σουρσούβουλη, ὃν καὶ ἐπίτροπον τοῖς ἑαυτοῦ παισὶν ὁ Συμεὼν καταλέλοιπεν. Μιχαὴλ δὲ τὸν ἐκ τῆς προτέρας αὐτοῦ γενόμενον γυναικὸς ἀπέκειρε μοναχόν. Ἰωάννης δὲ καὶ Βενιαμίν, οἱ τοῦ Πέτρου ἀδελφοί, ἔτι στολῇ ἐκοσμοῦντο βουλγαρικῇ. **46** τὰ κύκλῳ οὖν ἔθνη τὴν τοῦ Συμεὼν μαθόντα τελευτήν, οἵ τε Χρωβάτοι καὶ οἱ λοιποὶ ἐκστρατεύειν κατὰ Βουλγάρων ἐβουλεύοντο. λιμοῦ δὲ μεγίστου σὺν ἀκρίδι τὸ βουλγαρικὸν ἔθνος ἰσχυρῶς ἐκπιέζοντος ἐδεδίεσαν μὲν καὶ τὴν τῶν ἄλλων ἐθνῶν ἔφοδον, ἐδεδίεσαν δὲ πλέον τὴν τῶν Ῥωμαίων ἐπέλευσιν. βουλὴν οὖν ποιησάμενοι κατὰ Ῥωμαίων ἐκστρατεύουσιν καὶ ἐν Μακεδονίᾳ καταλαμβάνουσιν, φόβον, ὡς εἰκός, τοῖς Ῥωμαίοις ἐμποιήσοντες. **47** ἔπειτα μαθόντες, ὅτι μέλλει κατ᾽ αὐτῶν ὁ βασιλεὺς Ῥωμανὸς ἐκστρα-

§ 44: terrae motus a. 926 vel ineunt. a. 927 (Grumel 1958, p. 479) § 45: 27.5.927 § 46: ca. a. 927

§ 44: cf. ps.-Sym. 740.1–3 § 45: cf. ps.-Sym. 740.4–14 § 46: cf. ps.-Sym. 740.14–19 § 47–48: cf. ps.-Sym. 740.19–741.8

TL G[m] H a § 44 TL G[m] EH **340** ab ὃν TL G[m] H

330 Ὄλυμπον : ὄλυπον T : ὄλιμβον H **332** καὶ om. H post πατρίκιον add. καὶ G **333** τοῦ παλατίου om. G **334** τοῦ om. H ἰωάννην H **334–35** post πρωτοβεστιάριον add. καὶ G **335** τὸ om. E καὶ om. E **336** θρακώων G **336–37** καὶ καταπληκτικόν (κατάπληκτον G) om. E **337** ἐκκλησίαι E **337–38** καταπτωθῆναι E H **338** εἰκάδι – πέντε καὶ δεκάτῃ ἰνδικτιῶνος (ἰνδικτιῶνος ε L : ἰνδικτιῶνος ιε m) om. E **339** ὁ om. T Βουλγαρίας : τῶν βουλγάρων E ἐτελεύτα G **339–40** προβαλλόμενος T G m H **340** ἔσχεν αὐτοῦ T L **341** τοῦ om. T L **341–42** τοῖς – Συμεὼν (sic m) : ὁ συμεὼν τοῖς ἑαυτοῦ παισὶν H : non adhib. G **342–44** Μιχαὴλ – βουλγαρικῇ om. G **342–43** αὐτοῦ γενόμενον (γενόμενος m: γενόμενον om. H : non adhib. G) : αὐτῶ γενόμενον T **344** κύκλωθεν H **345** μαθόντες m H οἵ τε – λοιποὶ om. G **346** ἐβούλοντο m H μεγίστου om. G m ἀκρίσι G m **347** ἰσχυρῶς om. G **347–48** ἐδεδίεσαν – ἐθνῶν ἔφοδον (sic m : ἔφοδον ἐθνῶν H : non adhib. G) om. T (homoearcton) **347–48** μὲν – πλέον om. G **349** βουλὴν : ἐκβουλὴν T (e quo ἐκ add. T^2) post Ῥωμαίων add. αὐτοὶ L **349–50** post Μακεδονίᾳ add. ὅτι τάχος L **350** φόβον – ἐμποιήσοντες (sic m : -αντες T L) om. G

τεύειν, ἀποστέλλουσι Πέτρος τε καὶ Γεώργιος κρυφίως τινὰ μοναχὸν Καλοκύριν ὀνομαζόμενον, τῷ γένει Ἀρμενιάκων, χρυσοβούλλιον ἐπιφερόμενον. διηγόρευε δὲ τὰ ἐν αὐτῷ, ὡς τὴν μετὰ Ῥωμαίων εἰρήνην ἀσπάζονται καὶ πρόθυμοι ταύτῃ συνθέσθαι εἰσίν, οὐ μόνον δέ, ἀλλ' εἴ γε βούλονται, καὶ γαμικὸν ποιῆσαι συνάλλαγμα. τὸν τοιοῦτον οὖν μοναχὸν ὁ βασιλεὺς ἀποδεξάμενος ἀσμενέστατα παρευθὺ ἀπέστειλε μετὰ δρόμωνος ἐν Μεσημβρίᾳ τὸν μοναχὸν Θεοδόσιον, τὸν Ἀβούκην, καὶ Βασίλειον κληρικόν, τὸν Ῥόδιον, τὰ εἰς εἰρήνην συλλαλῆσαι τοῖς Βουλγάροις. οἱ δὲ παραγενόμενοι καὶ τὰ εἰκότα συλλαλήσαντες ἐξῆλθον ἅμα Στεφάνῳ Βουλγάρῳ διὰ τῆς ξηρᾶς. ὄπισθεν δὲ αὐτῶν κατέλαβε καὶ Γεώργιος ὁ Σουρσούβουλης, καὶ παραγενόμενοι ἐν Κωνσταντινουπόλει τὴν εἰρήνην ἐσπείσαντο καὶ συνάλλαγμα μετὰ τοῦ βασιλέως ποιῆσαι ᾐτήσαντο. **48** θεασάμενοι δὲ τὴν θυγατέρα Χριστοφόρου βασιλέως Μαρίαν καὶ μεγάλως ἐπ' αὐτῇ ἀρεσθέντες ἔγραψαν τῷ Πέτρῳ διὰ τάχους παραγενέσθαι, σύμφωνα ποιήσαντες πρότερον περὶ τῆς γεγονυίας εἰρήνης. ἀπεστάλη δὲ Νικήτας μάγιστρος, ὁ συμπεθερὸς Ῥωμανοῦ βασιλέως, ὑπαντῆσαι καὶ ἀγαγεῖν Πέτρον μέχρι τῆς πόλεως. τοῦ Βουλγάρου οὖν Πέτρου καταλαβόντος τριήρους ὁ βασιλεὺς Ῥωμανὸς ἐπιβὰς ἐν Βλαχέρναις παρεγένετο καὶ τὸν Πέτρον ὡς αὐτὸν ἀφικόμενον ἐθεάσατό τε καὶ κατησπάσατο. ἐπεὶ δὲ ἀλλήλοις τὰ εἰκότα συνωμίλησαν, ὑπογράφονται τά τε σύμφωνα τῆς εἰρήνης καὶ τὰ γαμικὰ συναλλάγματα, μεσολαβοῦντος ἐν τούτοις καὶ νουνεχῶς διευθετοῦντος τὰ μεταξὺ Ῥωμαίων τε καὶ Βουλγάρων τοῦ πρωτοβεστιαρίου Θεοφάνους. **49** ὀγδόῃ δὲ τοῦ Ὀκτωβρίου μηνὸς ἐξῆλθεν ὁ πατριάρχης Στέφανος ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ καὶ Μαρίᾳ, τῇ τοῦ βασιλέως Χριστοφόρου θυγατρί, καὶ πάσῃ τῇ συγκλήτῳ εἰς τὸν ναὸν τῆς ὑπεραγίας Θεοτόκου,

375 8.10.927

§ 49: cf. ps.-Sym. 741.8–11

TL G[m] H

352 Πέτρος : πέτρον G : πέτρος/πέτρος m γεώργιον G : γεώργιος/γεώργιον m **353** ὀνομαζόμενον : τινὰ ὀνόματι H Ἀρμενιάκων : ἀρμενίακον G : ἀρμενιακόν L m H **354** διηγόρεσαι H **355** καὶ – εἰσίν om. G ταύτῃ : ταύτην H **355–56** δέ – βούλονται : ἀλλὰ G **356** ποιήσασθαι H **359** Βασίλειον : βασιλικὸν G m τὰ εἰς : τὴν G λαλῆσαι H **362** γεώργιον G ὁ om. T m σέρβουλις H **363** ἐσπείσαντο : ἐπείσαντο T : ἐποιήσαντω H **363–64** καὶ – ᾐτήσαντο om. G **364** θυγατέραν H βασιλέως om. L **366–68** σύμφωνα – πόλεως om. G **367** συμπεθερὸς (sic m) : συμπενθερὸς L H : non adhib. G **369** τριήρους : fort. τριήρεις G **370** ὡς αὐτὸν ἀφικόμενον om. G **370–71** ἐθεάσατό τε : ἐθεάσατο τότε T **371** ἀλλήλους T L **372** γράφοντα G τε om. T G (quod exhib. m) **373–74** μεσολαβοῦντος – Θεοφάνους om. G **373** τὰ om. H **376** χριστοφόρου βασιλέως H (βασιλέως om. m)

τὸν τῆς Πηγῆς, καὶ εὐλόγησε Πέτρον τε καὶ Μαρίαν καὶ τοὺς νυμφικοὺς στεφάνους ταῖς αὐτῶν ἐπέθηκε κεφαλαῖς, παρανυμφευόντων Θεοφάνους πρωτοβεστιαρίου καὶ Γεωργίου Σουρσούβουλη. λαμπρᾶς δὲ καὶ πολυτελοῦς γεγονυίας τραπέζης καὶ πάντων τῶν εἰθισμένων τοῖς γάμοις φαιδρῶς ἐπιτελεσθέντων εἰσῆλθε Θεοφάνης πρωτοβεστιάριος ἅμα Μαρίᾳ τῇ θυγατρὶ τοῦ βασιλέως Χριστοφόρου ἐν τῇ πόλει. τῇ τρίτῃ δὲ τοῦ γάμου ἡμέρᾳ ἐποίησεν ὁ βασιλεὺς Ῥωμανὸς εὐωχίαν λαμπρὰν ἐν τῇ τῶν Πηγῶν ἀποβάθρᾳ, περικοσμήσας αὐτὴν ὑφάσμασι σηρικοῖς, παρ᾽ αὐτῇ τῇ ἀποβάθρᾳ τοῦ βασιλικοῦ δρόμωνος ἑστηκότος, ἔνθα συνειστιάθη Ῥωμανὸς Πέτρῳ Βουλγάρῳ ἅμα Κωνσταντίνῳ γαμβρῷ καὶ Χριστοφόρῳ υἱῷ. **50** τῶν δὲ Βουλγάρων ἔνστασιν οὐ μικρὰν ποιησαμένων πρότερον εὐφημισθῆναι Χριστοφόρον, εἶθ᾽ οὕτως τὸν Κωνσταντῖνον, ὑπεῖξε τῇ ἐνστάσει τούτων ὁ βασιλεὺς Ῥωμανός, καὶ γέγονεν, ὅπερ ᾐτήσαντο. **51** ἐπειδὴ δὲ πάντα τὰ ἐπὶ τοῖς γάμοις συνετελέσθησαν, ἔμελλε δὲ Μαρία ἤδη τὴν πρὸς Βουλγαρίαν σὺν τῷ ἀνδρὶ Πέτρῳ ὁδεύειν, οἱ ταύτης γονεῖς μέχρι τοῦ Ἑβδόμου συνεξῆλθον αὐτῇ ἅμα Θεοφάνει πρωτοβεστιαρίῳ, καὶ συνεστιαθέντες ἐκεῖσε Πέτρῳ, ἐπειδὴ ἀπαίρειν ἔμελλε, περιχυθέντες τῇ θυγατρὶ καὶ πολλὰ καταχέαντες δάκρυα, καὶ ὅσα εἰκὸς ἐπὶ στερήσει σπλάγχνου περιποθήτου, τόν τε ἑαυτῶν γαμβρὸν ἀσπασάμενοι καὶ ταύτην ταῖς τούτου χερσὶ παραθέμενοι ἐν τοῖς βασιλείοις ὑπέστρεψαν. Μαρία δὲ βουλγαρικαῖς παραδοθεῖσα

---

§ 50: fort. 10.10.927 (Kresten/Müller 1995, p. 37)

---

§ 50: cf. ps.-Sym. 741.11–13 § 51: cf. ps.-Sym. 741.13–15

TL G[m] H

---

378 τὸν om. L τε om. m H **378–80** καὶ ter. – Σουρσούβουλη om. G **379** ἑαυτῶν H **380** post Γεωργίου add. τοῦ H (non add. m) : non adhib. G Σουρσούβουλη (sic m : -ι T) : σουρβούλη H **383** τῇ pr. om. H Χριστοφόρου om. G τῇ ter. om. L H **384–85** εὐωχίαν – ἀποβάθρᾳ : ἀποβάθρας οὔσης ἐν τῇ πηγῇ ἐν αὐτῇ εὐωχίαν λαμπράν H **385–88** περικοσμήσας – υἱῷ om. G **385–86** περικοσμήσας – ἑστηκότος : τοῦ βασιλικοῦ δρόμωνος, περικοσμήσας αὐτὴν ὑφάσμασι σηρικοῖς m **389** εὐφημισθῆναι (sic m) : εὐφημηθῆναι T L τὸν om. G H (m: etiam om. nonnulla mss.) **390** ὑπεῖξε : ὑπέδειξε T τούτων (sic m) : τοῦτον H : om. G Ῥωμανός om. G **391** ἐπὶ : ἐν G **392** δὲ Μαρία ἤδη : μαρία G σὺν τῷ ἀνδρὶ Πέτρῳ : ὁδὸν G **393** συνεξῆλθον (sic m) : συνεξῆλθεν G : ἐξῆλθον H **393–95** ἅμα – ἔμελλε om. G **394–403** ἐπειδὴ (sic m : ἐπεὶ δὲ H : non adhib. L G) – ἀναρίθμητον : οἱ μὲν βούλγαροι τὴν ἐπὶ τὰ οἰκεῖα ὁδὸν ἀπῄεσαν χαίροντες, μεθ᾽ ἑαυτῶν τὴν τοῦ βασιλέως χριστοφόρου ἔχοντες θυγατέρα μαρίαν· ὁ δὲ βασιλεὺς ῥωμανὸς ἅμα τοῖς σὺν αὐτῷ, ἐν τῇ πόλει ὑπέστρεψεν· οὐδὲν ἧττον καὶ αὐτὸς εὐφραινόμενος ἄφροντις ἀπὸ τῶν βουλγαρικῶν πολέμων γενόμενος L **395** περιχυθέντων G καταχέαντες : καταχέαντα G : καταχέοντες H **396** δάκραα T ὅσα : ὡς G περιποθήτου : πεποθημ[εν] G τόν τε : καὶ τὸν H **397** ἑαυτῶν : αὐτὸν/αὐτῶν m : om. G **397–98** περιθέμενοι G

χερσὶν τὴν ἐπὶ Βουλγαρίαν ἀπῄει, χαίρουσά τε ἅμα καὶ λυπουμένη· λυπουμένη μέν, ἐφ᾽ οἷς γονέων φιλτάτων ἐστέρητο καὶ βασιλείων οἴκων καὶ συνηθείας τῶν γένει προσηκόντων, χαίρουσα δέ, οἷς βασιλεῖ προσηρμόσθη ἀνδρὶ καὶ δέσποινα Βουλγάρων προσηγορεύθη. ἀπῄει τοίνυν πλοῦτον ἐπικομιζομένη παντοδαπὸν καὶ ἀποσκευὴν ἀναρίθμητον. **52** τότε δὲ καὶ πρέσβεις πρὸς τὸν βασιλέα Ῥωμανὸν ἐκ Μελιτηνῆς παρεγένοντο εἰρηνικὰς σπονδὰς ποιῆσαι ἐπὶ τὸ πάκτα παρέχειν. μετ᾽ οὐ πολὺ δὲ καὶ Ἀπόχαψ, ὁ τοῦ Ἄμερ ἔκγονος, ἀμηρᾶς ὢν Μελιτηνῆς, καὶ Ἀπολασάθ, στρατηγὸς εὐγενέστατός τε καὶ πλούσιος ὢν ἐν Μελιτηνῇ, παρεγένοντο. ἀποδεχθέντες οὖν μετὰ τῆς προσηκούσης τιμῆς παρὰ Ῥωμανοῦ καὶ σύμφωνα εἰρήνης ποιήσαντες ὑπέστρεψαν εἰς τὰ ἴδια. ἔκτοτε δὲ συνεξεστράτευον τοῖς Ῥωμαίοις κατὰ τῶν ὁμοφύλων Ἀγαρηνῶν ἔν τε τοῖς ἐπινικίοις συνεισήρχοντο τοῖς Ῥωμαίοις ἐν τῇ πόλει αἰχμαλώτους ἄγοντες Ἀγαρηνούς, ὅπερ ἦν θαυμαστὸν καὶ παράδοξον καὶ δεῖγμα τῆς τῶν ἀθέων Ἀγαρηνῶν δυστυχίας. **53** τελευτήσαντος δὲ τοῦ Ἀπόχαψ, ἀνδρὸς φρονίμου καὶ συνετοῦ, διέλυσαν τὴν εἰρήνην οἱ τὴν Μελιτηνὴν κατοικοῦντες. ἐκστρατεύουσιν οὖν κατ᾽ αὐτῶν ὅ τε δομέστικος τῶν σχολῶν Ἰωάννης ὁ Κουρκούας μετὰ τῶν θεμάτων καὶ τῶν ταγμάτων καὶ ὁ Μελίας μετὰ τῶν Ἀρμενίων, καὶ πολλὰς προνομὰς καθ᾽ ἑκάστην ποιούμενοι καὶ ταῖς συνεχέσιν ἐπιδρομαῖς αἰχμαλωτίζοντες τούτους καὶ ληϊζόμενοι εἰς τοσαύτην στένωσιν τὴν Μελιτηνὴν περιέστησαν, ὥστε αὐτὴν συντομώτατα ἐκπορθῆσαι καὶ ἕως ἐδάφους καταστρέψαι· οὐ μόνον δὲ ταύτην, ἀλλὰ καὶ τὰς ὁμόρους αὐτῇ πόλεις καὶ χώρας, πολυφόρους τε οὔσας καὶ πιοτάτας καὶ οἵας πολλὰς

---

§ 53: ab a. 931; postremo capta est Melitene a Byzantinis 19.5.934

---

§ 52: cf. ps.-Sym. 741.16–742.1 § 53: cf. ps.-Sym. 742.1–8

TL G[m] H

---

399 ἀπῄει : ἀπείη T H : ἀπίη(-ίει) m **399–403** χαίρουσά – ἀναρίθμητον om. G **400** ἐστέρητο : ἐστέρηται m : ὑστερεῖται H **401** συνηθῶν H **401–02** προσορμίσθει T **402** ἀπῄει Bekker Tafel (vide etiam introd. III.3.1.1) : ἀπείη T : ἀπίη(-ίει) m : ἀπείει H : non adhib. L G **403** παντοδαπῶν T **405** ἐπὶ τὸ (τῶ T) – παρέχειν om. G πάκτα (πάχθα T) παρέχειν : παρέχειν πάκτα L **406** δὲ καὶ om. G ἅμερ T ἔγγονος H **407** τε om. G ἐν Μελιτηνῇ : ἐκ μελιτηνῆς m H **408** παρεγένοντο (sic m) : παρεγένετο G H **409–13** ἔκτοτε – δυστυχίας om. G **410** συνεξεστράτευον (sic m) : ἐκστράτευον H : non adhib. G **411** συνεισήρχοντο : συνεξήρχοντο m : συνήρχοντω H : non adhib. G **414** ἀπόχαμψ H post εἰρήνην add. ἣν L **414–15** οἱ – κατοικοῦντες om. G **415** οὖν : δὲ G **416–17** τῶν θεμάτων καὶ τῶν ταγμάτων (sic m) : τῶν ταγμάτων καὶ τῶν θεμάτων L H : καὶ τῶν θεμάτων G **417–19** πολλὰς – ληϊζόμενοι om. G **418** συνεχέσιν (sic m) : συνεχαῖς H : non adhib. G **421–23** οὐ μόνον – προσόδους om. G

παρέχειν προσόδους. ταύτην οὖν τὴν Μελιτηνὴν εἰς κουρατωρίαν ἀποκαταστήσας ὁ βασιλεὺς πολλὰς χιλιάδας χρυσίου καὶ ἀργυρίου ἐκεῖθεν δασμοφορεῖσθαι ἐτησίως πεποίηκεν. **54** κατηγορήθη δὲ Νικήτας, μάγιστρος καὶ πενθερὸς Χριστοφόρου βασιλέως, ὡς ὑποτιθέμενος αὐτῷ κατὰ τοῦ ἰδίου γενέσθαι πατρὸς καὶ τῆς βασιλείας αὐτὸν ἐξεῶσαι. τοῦτον οὖν ἐξαγαγόντες τῆς πόλεως ἀπέκειραν μοναχόν, ὑπερορίσαντες ἐν τῷ ἑαυτοῦ προαστίῳ. **55** μηνὶ δὲ Ἰουλίῳ ὀκτὼ καὶ δεκάτῃ, ἰνδικτιῶνος ς', τελευτᾷ Στέφανος πατριάρχης, πατριαρχήσας ἔτη δύο καὶ μῆνας ια'. **56** Δεκεμβρίῳ δὲ μηνὶ τέσσαρες καὶ δεκάτῃ ἄγουσι Τρύφωνα μοναχόν, ἐν τῷ Ὀψικίῳ μονάζοντα, ἐπ' εὐλαβείᾳ καὶ ἁγιότητι μαρτυρούμενον, καὶ χειροτονοῦσι πατριάρχην ἐπὶ χρόνῳ ῥητῷ, μέχρις ἂν εἰς μέτρον ἡλικίας φθάσῃ Θεοφύλακτος, ὁ Ῥωμανοῦ τοῦ βασιλέως υἱός, ὃν ἔμελλον πατριάρχην χειροτονεῖν Κωνσταντινουπόλεως. **57** εἰκάδι δὲ πέμπτῃ τοῦ αὐτοῦ μηνὸς χειμὼν ἀφόρητος γέγονεν, ὥστε κρυσταλλωθῆναι τὴν γῆν ἐπὶ ἡμέρας ρκ'· ὅθεν καὶ γέγονε μέγας λιμός, τοὺς πώποτε γενομένους ὑπερβαλλόμενος, καὶ θάνατος ἐκ τοῦδε πολύς, ὡς μὴ δύνασθαι τοὺς ζῶντας ἐκκομίζειν τοὺς τεθνεῶτας. ὁ δὲ βασιλεὺς Ῥωμανὸς τὴν ἀφόρητον ἐκείνην βίαν κατανοήσας ἀξίαν τῆς αὐτοῦ συμπαθοῦς καὶ ἐλεήμονος φύσεως πρόνοιαν ἐποιήσατο, πολλαῖς ἐλεημοσύναις τὴν ἐκ τοῦ λιμοῦ παραμυθησάμενος ἔνδειαν, ἀνέφραξέ τε θυρίσι καὶ σανιδώμασι τὰς τῶν ἐμβόλων στοάς, ὡς μὴ τὴν χιόνα καὶ τὸ ψῦχος ἐκεῖθεν ἐπεισιέναι τοῖς

---

§ 55: Stephanus patriarcha fuit 29.6.925–18.7.927 (de indictione cf. infra in app. critico) § 56: 14.12.927 § 57: 25.12.927

---

§ 54: cf. ps.-Sym. 742.9–12 § 55: cf. ps.-Sym. 742.13–14 § 56: cf. ps.-Sym. 742.14–743.10 § 57–59: cf. ps.-Sym. 743.11–744.10

TL G[m] H a § 55 TL G[m] EH

---

425 δασμοφορεῖσθαι (sic m) : δεσμοφρουρεῖσθαι G : δεσμοφορεῖσθαι H **426** post Χριστοφόρου add. τοῦ L **427** αὐτὸν : αὐτῶν T οὖν om. L **428–29** ὑπερορίσαντες – προαστίῳ om. G **428** ἐν om. T **428–29** εἰς τὸ ἑαυτοῦ προάστειον L **429** δὲ om. E ὀκτὼ καὶ δεκάτῃ om. E ς' (ς^{ης} E H) : fort. falso (vide introd. III.3.1.1) **430** πατριαρχήσας (πατριάρχη T : πατριαρχεύσας H : ποιήσας m) – ια' om. G δύο : δΰοκαίδεκα E : ιβ H καὶ om. T **431** δεκευρίω E τέσσαρες καὶ δεκάτῃ om. G **431–32** ἐν τῷ Ὀψικίῳ (ὁψικίω T) μονάζοντα om. G **433** πατριάρχη T ἐπὶ χρόνῳ ῥητῷ om. G **433–34** μέτρον ἡλικίας φθάσῃ (φθᾶσει T : φθάσῃ/φθάσει m) : μέτρα φασῒ E : μέτρον φθάσει ἡλικίας H **434** Ῥωμανοῦ τοῦ : τοῦ ῥωμανοῦ H : ῥωμανοῦ E υἱός ante Ῥωμανοῦ exhib. E **434–35** ἔμελλε χειροτονεῖν πατριάρχην E **435–36** εἰκάδι – μηνὸς : τῶ οὖν αὐτῶ μηνῒ E **436** γέγονεν ἀφόρητος χειμὼν E ἀφόρητος : μέγας G **437** ὅθε H λιμὸς μέγας ἐγένετο E **437–38** τοὺς πώποτε (sic m : ποτὲ H) γενομένους (sic m : γεγενημένους H) ὑπερβαλλόμενος om. G E (quod exhib. m) **438** ἐκ τοῦδε (sic m) : ἐκ τούτου E : ἐκ τούτου δὲ H : om. G ὡς : ὥστε G **440** ἑαυτοῦ H **440–41** καὶ ἐλεήμονος φύσεως : ἐλεημοσύνης G **441** πολλὴν ἐλεημοσύνην E **442** παραμυθευσάμενος E ἐνέφραξε L **443** ἐμβολῶν E τὴν : τὸν G ἐπιέναι L

πένησιν. τότε καὶ τὰς λεγομένας ἄρκλας ἐν πᾶσι κατεσκεύασε τοῖς ἐμβόλοις, ἄργυρόν τε κατὰ μῆνα τοῖς ἐν ταύταις κατακειμένοις πένησι δίδοσθαι διετάξατο καὶ τὰ μηνιαῖα τριμίσια ἐν ταῖς ἐκκλησίαις τοῖς πένησι διανέμεσθαι, ὡς εἶναι τὰ διδόμενα τοῖς τε ἐν ταῖς ἄρκλαις πτωχοῖς καὶ τοῖς ἐν ταῖς ἐκκλησίαις ἀργύρου ἐγκεχαραγμένου χιλιάδας ιβ'. **58** οὐ μόνον δὲ ταῦτα ἡ συμπαθὴς ἐκείνου ψυχὴ διετύπωσε τῶν πενήτων προνοουμένη, ἀλλὰ καὶ καθ' ἡμέραν τρεῖς αὐτῷ συνεσθίειν πένητας διετάξατο, οἳ ἀνὰ ἓν ἐλάμβανον νόμισμα. Τετράδῃ δὲ καὶ Παρασκευῇ τρεῖς πένητες μοναχοὶ τούτῳ συνήσθιον, τὸ τετυπωμένον λαμβάνοντες ἕκαστος νόμισμα. ὅπερ δὲ ἐν τοῖς μοναστηρίοις εἴωθε γίνεσθαι, ὥστε ἐν τῷ καιρῷ ἀναγινώσκειν τῆς ἑστιάσεως, τοῦτο καὶ αὐτὸς ἐποίει, διπλῆν ἑαυτῷ καὶ τοῖς δαιτυμόσι τὴν τράπεζαν παρατιθείς, ὥστε τὸ μὲν σῶμα τρέφεσθαι τῇ συνήθει τροφῇ, τὴν δὲ ψυχὴν τῇ καταλλήλῳ τῶν λόγων ἐπεντρυφᾶν ἡδονῇ· οἷς ἐκεῖνος ἐπιμελῶς προσέχων τὸν νοῦν κατενύσσετο τὴν ψυχὴν καὶ πολλὰς δακρύων ἠφίει πηγάς. **59** τὴν δὲ πίστιν, ὅσην ἐκέκτητο πρὸς πάντας μὲν μοναχούς, μάλιστα δὲ τοὺς ἐπὶ ἁγιωσύνῃ διαβοήτους καὶ εὐλαβείᾳ, τίς ἂν διηγήσαιτο; οὐκ ἐθεάσατο γάρ ποτε μοναχὸν ἀρετῆς ἀντεχόμενον, ᾧτινι τὰς ἑαυτοῦ πράξεις σὺν πολλοῖς οὐκ ἐξηγόρευσε δάκρυσι. πιστότατος δὲ ὢν καὶ ὀρθοδοξότατος πάσας τὰς τῆς πόλεως ἐκκλησίας πέπλοις διαφανέσι καὶ φωταγωγίαις λαμπρῶς κατεκόσμει καὶ κατεφαίδρυνεν. ἀλλὰ καὶ τοῖς ἐν τοῖς ὄρεσι μοναχοῖς, τῷ τε Ὀλύμπῳ καὶ τῷ Κυμινᾷ καὶ τῇ Χρυσῇ κατονομαζομένῃ πέτρᾳ καὶ τῷ τοῦ Βαραχαίου ὄρει, οὐ διέλιπεν ἐτησίους ῥώγας ἐξαποστέλλων καὶ φροντίζων τούτων καὶ προνοούμενος καὶ τοὺς ὀνομαστοὺς ἐπὶ πράξει καὶ θεωρίᾳ μετακαλούμενος ὡς αὐτὸν καὶ τῶν εὐχῶν

TL G[m] EH **453** ab ὅπερ TL G[m] H

---

445 ἀργύριον G τε : ὄντι E μῆναν L τοῖς : τοὺς H ἐν ταύταις (sic m) : ἐνταῦθα G : ἐν αὐταῖς H κατακειμένας E **446** post μηνιαῖα (μηνιαῖα m : μηναία T E (vide introd. III.3.1.1)) add. καὶ H τριμίσια (sic m) : τριμήσια T E H **447** διανείμεσθαι ut vid. H **447–49** ὡς – ιβ' om. E **447** τοῖς τε : τά τε H **448** τοῖς ἐν om. H κεχαραγμένου L **449–50** ταῦτα – προνοουμένη (προνοουμένην T) om. E **450–51** πένητας συνεσθίειν αὐτῷ E **451–52** οἳ – τετυπωμένον om. E **451** Τετράδῃ (τετράδῃ/δ̄ m) : δ̄ G : τετάρτῃ E : Τετράδι Bekker Tafel (sic cap. 131.23) **452** τούτῳ : τοῦτο T H : om. m **453** λαμβάνοντες ἕκαστος (ἕκαστος om. G H (quod exhib. m)) νόμισμα : καὶ λαμβάνοντες ἕκαστος νομίσματα καὶ ἐλεημονῶν ἐξέρχονται E **456–58** τὴν δὲ ψυχὴν (τῇ δὲ ψυχῇ H) – ψυχὴν : τὴν δὲ ψυχὴν κατενύσσετο G **456** τῇ alt. : τὴν T **458** κατῆνοίσετω H **458–60** τὴν alt. – διηγήσαιτο om. G **459** post μὲν add. τοὺς H (non add. m : non adhib. G) **461** τεχόμενον T **462** ἐξεγόρευαι H πιστότατος – ὀρθοδοξότατος om. G **463** πάσας τὰς τῆς : πάσης ταύτῆς ut vid. T τῆς πόλεως om. ut vid. G (non certe vid.) **464** ἐν τοῖς om. G **465** Κυμινᾷ : κυμηνᾶι ut vid. G : κυμηνᾷ m **465–66** καὶ alt. – πέτρᾳ om. G **466** τῷ om. H βραχαίου T ῥόγας G m H **466–71** ἐξαποστέλλων – ῥώγας om. G (homoeotel.) **467–68** post ὀνομαστοὺς add. δὲ H (non add. m : non adhib. G) **468** ὡς : εἰς m : ἧν πρὸς H : non adhib. G

αὐτῶν τὰς εὐλογίας τρυγῶν· οὐ μόνον δέ, ἀλλὰ καὶ τοῖς διὰ τὸν Θεὸν ἐγκλείστοις καὶ ἑαυτοὺς ἐν στενωτάτοις οἰκίσκοις καθείρξασι καὶ πᾶσι τοῖς μοναστηρίοις τὰς ἐτησίους ῥώγας, ἃς διετύπωσεν, οὐ διέλιπεν ἐπιχορηγῶν. ταῦτα ὡς ἐκ πολλῶν ὀλίγα τῶν ἀπείρων αὐτοῦ κατορθωμάτων καὶ ἐλεημοσυνῶν διεξήλθομεν. **60** Πέτρῳ δὲ τῷ Βουλγάρῳ ἐπέθετο Ἰωάννης ὁ ἀδελφὸς αὐτοῦ μετὰ καὶ ἑτέρων μεγιστάνων τοῦ Συμεών, καὶ φωραθέντων αὐτῶν ὁ μὲν Ἰωάννης τύπτεται καὶ ἐγκλείεται φυλακῇ, οἱ δὲ λοιποὶ τιμωρίαις οὐ ταῖς τυχούσαις ὑποβάλλονται. ταῦτα δὲ δῆλα ποιήσαντος Πέτρου τῷ βασιλεῖ Ῥωμανῷ ἀπέστειλεν ὁ βασιλεὺς τὸν μοναχὸν Ἰωάννην, ὃς ἐγεγόνει ῥαίκτωρ, προφάσει μέν, ὡς ποιῆσαι ἀλλάγιον τῶν κρατουμένων αἰχμαλώτων, τῇ δὲ ἀληθείᾳ Ἰωάννην κατασχεῖν καὶ ἐν Κωνσταντινουπόλει ἀγαγεῖν· ὃ δὴ καὶ γέγονεν· εἰσελθὼν γὰρ ἅμα τῷ Ἰωάννῃ ἐν πλοίῳ ἀπὸ Μεσημβρίας ἦλθεν ἐν τῇ πόλει, καὶ μετ᾽ οὐ πολὺ τούτου τὸ μοναχικὸν σχῆμα ἀπορρίψαντος καὶ γυναῖκα ἐπιζητήσαντος δέδωκεν αὐτῷ ὁ βασιλεὺς οἶκον καὶ κτήματα πάμπολλα καὶ γυναῖκα ἐκ τῆς αὐτοῦ πατρίδος τῆς τῶν Ἀρμενιάκων ὁρμωμένην γάμον τε λαμπρὸν ἐν τῇ τοῦ καίσαρος οἰκίᾳ πεποίηκεν, Χριστοφόρου βασιλέως καὶ Ἰωάννου μοναχοῦ, τοῦ γεγονότος ῥαίκτορος, παρανυμφευσάντων. **61** Μαρτίῳ δὲ μηνὶ δευτέρᾳ ἡμέρᾳ κοσμήτης ἔπεσεν ἐν τῷ φόρῳ ἐκ τῶν ἐν τοῖς στοιχηδὸν ἱσταμένοις ἐκεῖσε κίοσιν ἐπικειμένων καὶ ἀπέκτεινεν ἄνδρας ἕξ. γέγονε δὲ καὶ ἐμπρησμὸς μέγας καὶ φοβερὸς εἰς τὸν τοῦ φόρου ἔμβολον πλησίον τοῦ ναοῦ τῆς ὑπεραγίας Θεοτόκου, ὥστε κατακαῆναι τά τε κηροπωλεῖα καὶ τὰ γουνάρια τοῦ φόρου μέχρι τῶν Ψιχῶν. **62** ἐτελεύτησε δὲ Χριστοφόρος βασιλεὺς μηνὶ Αὐγούστῳ, ἰνδικ-

§ 61: 2.3.928 § 62: mense Aug. a. 931

§ 60: cf. ps.-Sym. 744.11–15 § 61: cf. ps.-Sym. 744.16–20 § 62: cf. ps.-Sym. 744.21–23

TL G[m] H a § 62 TL G[m] EH

469 τὸν om. L **470** οἴκοις L m : non adhib. G **471** ῥόγας T m H **471–72** οὐ – ὀλίγα om. G **472** ἀπείρων αὐτοῦ (sic m) : αὐτοῦ L (fort. sic, sed non certe vid. G) : ἐκείνου ἀπείρων H **474** ἐπέθετο : ἐπεβούλευσεν H μεγιστάνων : βουλγάρων G **476** φυλακῇ : εἱρκτῇ H λοιποὶ om. H **477** δὲ om. H πέτρῳ H **478** ὃς : ὡς T H **481** μεσινβρίας T καὶ om. G **482** μετ᾽ οὐ : μεθου G τούτου : τοῦτον H **482–84** καὶ – ὁρμωμένην (ὁρμωμένην om. G) : ὧι καὶ γυναῖκα ὁ βασιλεὺς ἐκ τῆς ἑαυτοῦ πατρίδος τῶν ἀρμενιακῶν δοὺς καὶ οἶκον καὶ κτήματα παμπολα ἐπιδέδωκε L **484** post πατρίδος add. ἐκ H Ἀρμενιάκων : ἀρμενιακῶν (L) m H ὁρμωμένης H **485–87** Χριστοφόρου – παρανυμφευσάντων (sic m : παρανυμφευόντων H) om. G **487** δευτέρᾳ (fort. scrib. Δευτέρᾳ) ἡμέρᾳ : ἡμέρᾳ δευτέρᾳ L m H ἔπεσεν ἐν : ἐπέμενεν G **488** ἐκ τῶν ἐν τοῖς στοιχηδὸν (τοῖς τειχιδὼν H) – ἐπικειμένων : ἐν τοῖς ἐκεῖσε κίοσιν G **491** καῆναι H κηροπωλεῖα (sic m : G non vid.) : κηροπώλια T : κηροπουλία H γουνάρια (sic ut vid. G) : γουναρία T m H **492** Ψιχῶν (sic m) : ψυχῶν L H : ψηχῶν G post Χριστοφόρος add. ὁ L H **492–93** μηνὶ – δ' ($δ^{ης}$ H) om. E

τιῶνος δ', πολλὰ κοψαμένου αὐτὸν τοῦ πατρὸς ὡς ἤδη εἰς γῆρας αὐτοῦ ἐληλακότος καὶ τῶν υἱῶν αὐτοῦ ἔτι νηπίων ὄντων· καὶ ἐτέθη τὸ λείψανον αὐτοῦ ἐν τῇ ῥηθείσῃ μονῇ τοῦ πατρὸς αὐτοῦ. **63** κατήγαγον δὲ καὶ Τρύφωνα πατριάρχην Αὐγούστῳ μηνί, ἰνδικτιῶνος γ', τὸν ῥητὸν χρόνον τελέσαντα, καὶ ἀπελθὼν ἐν τῇ ἰδίᾳ μονῇ τελευτᾷ, χηρευσάσης τῆς ἐκκλησίας χρόνον ἕνα καὶ μῆνας πέντε διὰ τὸ τῆς ἡλικίας ἀτελὲς Θεοφυλάκτου, υἱοῦ Ῥωμανοῦ βασιλέως. αὐτὸν γὰρ ἔμελλε πατριάρχην, ὡς εἴρηται, καθιστᾶν. **64** Βασίλειος δέ τις Μακεδὼν πλάνος Κωνσταντῖνον Δοῦκα ἑαυτὸν εἶναι ἐπιφημήσας πολλοὺς μεθ' ἑαυτοῦ συνεπήγετο. οὗτος συσχεθεὶς ὑπὸ Ἐλεφαντίνου τουρμάρχου ἐκ τοῦ Ὀψικίου ὄντος ἤχθη ἐν Κωνσταντινουπόλει καὶ ὑπὸ Πέτρου ὑπάρχου τῆς μιᾶς ἀλλοτριοῦται χειρός. εἶτα καιροῦ λαβόμενος καταλαμβάνει πάλιν τὸ Ὀψίκιον καὶ χεῖρα χαλκῆν ἀντὶ τῆς κοπείσης προσαρμοσάμενος καὶ σπάθην ὑπερμεγέθη κατασκευασάμενος διήρχετο πλανῶν αὖθις τῶν ἀγυρτευόντων πολλούς, ὡς αὐτὸς εἴη Κωνσταντῖνος ὁ τοῦ Δουκός. **65** οὓς καὶ συνεφελκόμενος μεγάλην κατὰ Ῥωμανοῦ ἀνταρσίαν κινεῖ καὶ φρούριον κατασχών, ὃ Πλατεῖα πέτρα κατονομάζεται, πᾶν εἶδος ἐδώδιμον ἐν τούτῳ ἀπέθετο· ἀφ' οὗ ἐξορμῶν ἐλεηλάτει καὶ τοὺς παρατυγχάνοντας προενόμευεν. ἀποστείλας οὖν ὁ βασιλεὺς στρατὸν κατ' αὐτοῦ αὐτόν τε συνέλαβε καὶ τοὺς σὺν αὐτῷ· ὃν καὶ ἀγαγόντες ἐν τῇ πόλει ἀνέκρινόν τε καὶ πολλὰς αὐτῷ πληγὰς ἐπετίθεσαν τοὺς συστασιώτας, οἵτινες εἶεν, εἰπεῖν. ὁ δὲ πολλοὺς τῶν ἐν τέλει ἐσυκοφάντει ψευδῶς ὡς συνόντας αὐτῷ. μηδὲν δὲ ἀληθὲς κατ' αὐτῶν λέγειν ἐξελεγχθεὶς ἐν τοῖς Ἀμαστριανοῦ πυ-

---

496 mense Aug. a. 931 § 64–65: ca. a. 932

---

§ 63: cf. ps.-Sym. 744.23–745.3 § 64–65: cf. ps.-Sym. 745.4–14

TL G[m] EH a § 64 TL G[m] H

493–94 πολλὰ – ὄντων om. G **493** αὐτὸν : αὐτοῖς E **493–94** ὡς – ὄντων om. E **493** γήρα H **494–95** ἔτι – αὐτοῦ pr. om. L **494–95** λείψανον : σῶμα H : non adhib. L **495–96** δὲ – γ' : τὸν πατριάρχην τρύφωνα E **496** καὶ om. G γ' (γ^{ης} H) : scrib. δ' (cf. introd. III.3.1.1) **496–97** τὸν – τελέσαντα om. G **497** ἀπελθον^{τ} G **498** χρόνον (ἔτος H) ἕν E **499–500** αὐτὸν γὰρ (αὐτὸν γὰρ : ὃς αὐτὸν E) – ὡς εἴρηται (ὡς εἴρηται om. E), καθιστᾶν om. G **501** δοῦκαν H εἶναι ἐπιφημήσας : ἐπευφημή[σας] G ἑαυτοῦ : ἑαυτὸν H **502** Ἐλεφαντίνου : ἐληφαντίνου L : ἐλαφαντίνου H τουρμάρχη H ὀψικίου T **503** ἐπάρχου m H **504** ὀψίκιον T **505** χεῖραν T ἐκκοπήσεις H **505–06** καὶ alt. – κατασκευασάμενος om. T H (homoeotel.) (quod exhib. m) **506–07** αὖθις τῶν ἀγυρτευόντων om. G **507** Κωνσταντῖνος ὁ τοῦ : ὁ τοῦ κωνσταντίνου τοῦ H **508–11** καὶ alt. – προενόμευεν om. G **508–09** post φρούριον add. τι L **511** προσενόμευεν H **512** ἀνέκριναν L **513–14** τοὺς συστασιώτας (συστρατιῶτας T : στασιώτας/στρατιώτας m : συστασιάσοντας H) – εἰπεῖν om. G **513** οἵτινες : εἴ τινες L H **515** δὲ om. H ἀληθῶς H αὐτῶν : αὐτὸν G ἐξελεχθεὶς G

ρὸς παρανάλωμα γίνεται. **66** χειροτονεῖται δὲ πατριάρχης ὁ ῥηθεὶς τοῦ βασιλέως υἱὸς Θεοφύλακτος Φεβρουαρίῳ β', ἰνδικτιῶνος ϛ', τοποτηρητῶν ἐκ Ῥώμης ἀνελθόντων καὶ τόμον συνοδικὸν ἐπιφερομένων περὶ τῆς αὐτοῦ χειροτονίας διαγορεύοντα· οἳ καὶ τῷ πατριαρχικῷ θρόνῳ τοῦτον ἐνίδρυσαν. **67** ἡ δὲ εἰρημένη τοῦ βασιλέως ἐκγόνη Ῥωμανοῦ Μαρία, ἡ γυνὴ Πέτρου Βουλγάρου, πολλάκις ἐν τῇ πόλει εἰσῆλθεν τοῦ τὸν ἴδιον πατέρα καὶ τὸν πάππον αὐτῆς ἐπισκέψασθαι. τελευταῖον δὲ μετὰ παίδων εἰσῆλθε τριῶν, ἤδη Χριστοφόρου τοῦ πατρὸς αὐτῆς τελευτήσαντος. πλοῦτον οὖν πολὺν παρὰ τοῦ πάππου λαβοῦσα ἐντίμως ὑπέστρεψεν. **68** Ῥωμανὸς δὲ ὁ βασιλεὺς τῷ υἱῷ Στεφάνῳ γυναῖκα ἠγάγετο, θυγατέρα οὖσαν τοῦ Γαβαλᾶ, ἐκγόνην δὲ Κατάκυλα, Ἄνναν ὄνομα. ἅμα δὲ τῷ νυμφικῷ στεφάνῳ καὶ ὁ τῆς βασιλείας αὐτῷ στέφανος ἐπετέθειτο. **69** ἐγένετο δὲ ἐκστρατεία πρώτη τῶν Τούρκων κατὰ Ῥωμαίων ἰνδικτιῶνος ζ', Ἀπριλλίῳ μηνί· οἳ καὶ καταδραμόντες μέχρι τῆς πόλεως ἐληΐσαντο πᾶσαν θρᾳκῴαν ψυχήν. ἀπεστάλη οὖν ὁ πατρίκιος Θεοφάνης, ὁ πρωτοβεστιάριος καὶ παραδυναστεύων, μετ᾽ αὐτῶν ποιῆσαι ἀλλάγιον· ὃς καὶ θαυμασίως καὶ συνετῶς αὐτοὺς μετελθὼν ὅσαπερ ἠβούλετο, κατεπράξατο, πολλὰ παρ᾽ αὐτῶν ἐπὶ τῇ φρονήσει καὶ εὐβουλίᾳ ἐπαινεθείς τε καὶ θαυμασθείς· ὅτε καὶ τὸ μεγαλόψυχον αὐτοῦ καὶ φιλάνθρωπον ὁ βασιλεὺς Ῥωμανὸς ἐπεδείξατο, μηδενὸς φεισάμενος χρήματος πρὸς τὴν τῶν αἰχμαλώτων ἀνάρρυσιν.

---

§ 66: 2.2.933 § 68: mense Aug. a. 931 (Kresten/Müller 1995, p. 37) § 69: mense April. a. 934

---

§ 66: cf. ps.-Sym. 745.15–19 § 68: cf. ps.-Sym. 745.20–22 § 69: cf. ps.-Sym. 746.1–5

TL G[m] H a § 66 TL G[m] EH **526** ab ἐκγόνην TL G[m] H

---

516 κατανάλωμα G **516–17** χειροτονεῖται – ϛ' : μηνὶ̈ φευρουαρίω χειροτονεῖται πατριάρχησ ὁρηθεὶς θεοφύλακτος υἱὸς ρωμανοῦ βασῒλέως E **516** ῥηθεὶς : προρρηθεὶς G : πολλάκις ῥηθεὶς m **517** ϛ^{ης} H **517–18** τοποτηρητῶν : τόπῶρητὸν E **519** διαγορεύονται E πατριάρχωκω E **520–25** ἡ – ὑπέστρεψεν om. G E (quod exhib. m) **520** ἐγγόνη m H : non adhib. G E **523–24** τοῦ πατρὸς αὐτῆς Χριστοφόρου m : non adhib. G E **524** πολὺν : πολὺ L : om. m, sed vide infra : non adhib. G E post τοῦ add. βασιλέως τοῦ καὶ H post λαβοῦσα add. πολὺν καὶ ἔντιμον m : non adhib. G E **525** post υἱῷ add. αὐτοῦ E **525–26** γυναικί ἤγαγε E **526** θυγατέραν E H ἐγγόνην m H Κατάκυλα : κατάκοιλα T H : κατάκυλαν G : κατάκοιλα/κατάκυλα m **527** αὐτῷ : αὐτῶν T : om. G **528** ἐπετέθειτο (-ητο T) : ἐπετέθετο L : ἐπετίθετω H **529** ἰνδικτιῶνος ζ' (ζ^{ης} H) om. L Ἀπριλλίῳ μηνί (μηνός H) : μηνὶ ἀπριλλίῳ L **532** αὐτῶν : αὐτοῦ H **532–33** ὃς – κατεπράξατο om. G **533** ἠβούλετο (sic m) : ἐβούλετο H : non adhib. G κατεπράξατο (sic m) : κατεπράξετω H **534** τῇ om. H τε καὶ θαυμασθείς (θαυμαστείς H) om. G **534–35** τὸ – Ῥωμανὸς : τὸ μεγαλόψυχον καὶ μεγαλόψυχον H **535** καὶ φηλάνθρωπον αὐτοῦ G **536** τῶν om. G ἀνάρρησιν H

70 ἠγάγετο δὲ γυναῖκα ὁ βασιλεὺς Ῥωμανὸς τῷ τελευταίῳ υἱῷ Κωνσταντίνῳ ἐκ γένους τῶν Ἀρμενιάκων, τοὔνομα Ἑλένην, τοῦ πατρικίου Ἀδριανοῦ θυγατέρα· ἧς καὶ τελευτησάσης Φεβρουαρίῳ μηνί, ἰνδικτιῶνος δευτέρας, ἑτέρᾳ τοῦτον συνέζευξεν γυναικί, ὀνόματι Θεοφανῷ, ἐκ γένους τοῦ Μάμα ἐκείνου καταγομένῃ. **71** Ἰουνίῳ δὲ μηνί, ια' τοῦ μηνός, ιδ' ἰνδικτιῶνος, κατέπλευσαν οἱ Ῥῶς κατὰ Κωνσταντινουπόλεως μετὰ πλοίων χιλιάδων δέκα. ἀπεστάλη δὲ κατ᾽ αὐτῶν μετὰ τριήρων καὶ δρομώνων, ὅσα καὶ ἔτυχον ἐν τῇ πόλει, ὁ πατρίκιος Θεοφάνης, ὁ παραδυναστεύων καὶ πρωτοβεστιάριος, καὶ τόν τε στόλον προευτρεπίσας τε καὶ ἑτοιμασάμενος καὶ νηστείᾳ καὶ δάκρυσιν ἑαυτὸν κατοχυρώσας ὡς μάλιστα τοὺς Ῥῶς προσεδέχετο, καταναυμαχῆσαι μέλλων αὐτούς. **72** ἐπεὶ δὲ ἐκεῖνοι κατέλαβον καὶ πλησίον τοῦ Φάρου ἐγένοντο, οὗτος πρὸς τῷ τοῦ Εὐξείνου πόντου στόματι παρεδρεύων ἐν τῷ Ἱερῷ λεγομένῳ ἀθρόον τούτοις ἐπέθετο. καὶ δὴ πρῶτος τῷ οἰκείῳ δρόμωνι διεκπλεύσας τήν τε σύνταξιν τῶν ῥωσικῶν πλοίων διέλυσε καὶ τῷ ἐσκευασμένῳ πυρὶ πλεῖστα κατέφλεξεν, τὰ λοιπὰ δὲ ἐτρέψατο εἰς φυγήν· ᾧ ἀκολούθως καὶ οἱ λοιποὶ δρόμωνες καὶ αἱ τριήρεις ἐπεκδραμοῦσαι τελείαν εἰργάσαντο τὴν τροπήν, καὶ πολλὰ μὲν πλοῖα κατέδυσαν αὔτανδρα, πολλοὺς δὲ κατέτρωσαν, πλείστους δὲ ζῶντας συνέλαβον. οἱ

---

537 fort. 14.1.938 (Kresten/Müller 1995, p. 35 et n. 104) (cf. infra) **539–40** fort. mense Feb. a. 944 **541–42** 11.6.941

---

§ 70: cf. ps.-Sym. 746.6–11 § 71: cf. ps.-Sym. 746.12–16 § 72: cf. ps.-Sym. 746.14–747.4

TL G[m] H

---

537 γυναῖκα om. G Ῥωμανὸς om. G **538** Ἀρμενιάκων : ἀρμενιακῶν L m H **539** ἀνδριανοῦ H θυγατέραν H **539–40** Φεβρουαρίῳ μηνί (φευρουαρίου μηνός L) – δευτέρας om. G **539–40** ἰνδικτιῶνος δευτέρας : β ἰν^{δ} T **541** ἐκ – καταγομένῃ (sic m : καταγομένην L H)) om. G τοῦ pr. (sic m) : τὸν H : non adhib. G ἐκείνον fort. H : om. m : non adhib. G **541–42** Ἰουνίῳ δὲ μηνί, ια' τοῦ μηνός, ιδ' ἰνδικτιῶνος (sic Tafel) : δεκάτη καὶ τετάρτη ἰνδίκτω· ἰουνίω δὲ μηνὶ ια τοῦ μηνὸς ιδ ἰν^{δ} T : δεκάτη δὲ καὶ τετάρτη ἰνδίκτω ἰουνίῳ δὲ μηνί, ια τοῦ μηνός L : ἰουνίῳ δὲ μηνὶ ια· ιδ ἰνδικτιῶνος G : ἰουνίῳ δὲ μηνὶ ια m : ιδ^{η} δὲ ἰνδικτιῶνος· ἰουννίῳ δὲ μηνὶ ια^{η} H **543** μετὰ πλοίων om. G χιλιάδες ιε L κατ᾽ αὐτῶν om. G **544** ὅσα καὶ ἔτυχον (ὅσα καὶ ἔτυχον (sic m) : ὅσα ἔτυχων H) – πόλει om. G **544–45** πατρίκιος – πρωτοβεστιάριος : πρωτοβεστιάριος θεοφάνης G **545** τε om. H **546** τε om. L (de G H vide infra) **545–46** προευτρεπίσας τε καὶ ἑτοιμασάμενος : προετοιμασάμενος καὶ προευτρεπεισάμενος H **546** τε – ἑαυτὸν (ἑαυτῶ H) : καὶ G **547** ἐξεδέχετο G καταναυμαχῆσαι – αὐτούς om. G **548** δὲ om. G ἐκεῖνοι : κἀκεῖνοι L ἐγένετω H **549** πρὸς – πόντου : πρῶτ° τῶι εὐξείνωι πόντωι G **550** ἀθρόον (ἀθρόων H) – ἐπέθετο (sic m : ἐπείθετω H) om. G **551** διέλυσε (sic m) : ἐξέλυσεν G : om. H **551–52** τὸ ἐσκευασμένον G **553** καὶ alt. – ἐπεκδραμοῦσαι : ἐπεκδραμόντες G **554** μὲν om. H **555** post δὲ alt. add. καὶ L **555–62** οἱ – αὐτούς om. G

περιλειφθέντες οὖν εἰς τὸ τῆς ἀνατολῆς μέρος εἰς τὰ Σγόρα λεγόμενα καταπλέουσιν. **73** ἀπεστάλη δὲ τότε καὶ Βάρδας ὁ Φωκᾶς διὰ γῆς μετὰ ἱππέων ἐκκρίτων παρατρέχειν αὐτούς. καὶ δὴ τούτων σύνταγμα ἱκανὸν ἀποστειλάντων πρὸς τὰ τῆς Βιθυνίας μέρη, ὥστε τὰ πρὸς τροφὴν καὶ τὴν ἄλλην χρείαν αὐτοῖς συμπορίσασθαι, περιτυχὼν τῷ τοιούτῳ συντάγματι ὁ εἰρημένος Βάρδας ὁ Φωκᾶς κακῶς τούτους διέθηκε, τρεψάμενος καὶ κατασφάξας αὐτούς. **74** κατῆλθε δὲ τηνικαῦτα καὶ Ἰωάννης μάγιστρος καὶ δομέστικος τῶν σχολῶν, ὁ Κουρκούας, μετὰ παντὸς τοῦ τῆς ἀνατολῆς στρατεύματος καὶ πολλοὺς τούτων διέφθειρεν, ἀποσπάδας τῇδε κἀκεῖσε καταλαμβάνων, ὥστε συσταλέντας αὐτοὺς δέει τῆς αὐτοῦ ἐπιθέσεως μένειν ἀθρόως ἐπὶ τὸ αὐτὸ παρὰ τὰ οἰκεῖα πλοῖα καὶ μηδαμοῦ διεκτρέχειν κατατολμᾶν. πολλὰ δὲ καὶ μέγιστα κακὰ οὗτοι διεπράξαντο πρὸ τοῦ τὸ ῥωμαϊκὸν στράτευμα κατελθεῖν· τό τε γὰρ Στενὸν λεγόμενον ἅπαν ἐνέπρησαν καὶ οὓς συνελάμβανον αἰχμαλώτους, τοὺς μὲν ἀνεσταύρουν, τοὺς δὲ τῇ γῇ προσεπαττάλευον, τοὺς δὲ ὥσπερ σκοποὺς ἱστάντες βέλεσι κατετόξευον. ὅσους δὲ τοῦ ἱερατικοῦ κλήρου συνελάμβανον, ὄπισθεν τὰς χεῖρας δεσμοῦντες ἥλους σιδηροῦς κατὰ μέσης τῆς κεφαλῆς αὐτῶν κατεπήγνυσαν πολλούς τε ἁγίους ναοὺς τῷ πυρὶ παραδεδώκασιν. **75** χειμῶνος δὲ ἤδη ἐνισταμένου καὶ τροφῶν ἀποροῦντες τό τε ἐπελθὸν στράτευμα δεδιότες τάς τε ναυμάχους πλέον τριήρεις ἐβουλεύσαντο τὰ οἰκεῖα καταλαβεῖν. καὶ δὴ λαθεῖν τὸν στόλον σπουδάζοντες Σεπτεμβρίῳ μηνί, ιε' ἰνδικτιῶνος, νυκτὸς ἀντιπλεῦσαι ὡρμηκότες ἐπὶ τὰ θρᾳκῷα μέρη παρὰ τοῦ ῥηθέντος πατρικίου Θεοφάνους ὑπηντήθησαν· οὐδὲ γὰρ ἔλαθον τὴν αὐτοῦ ἐγρηγορωτάτην καὶ

§ 75: mense Sept. a. 943

§ 73: cf. ps.-Sym. 747.6–9 § 74: cf. ps.-Sym. 747.9–15 § 75: cf. ps.-Sym. 747.15–23

TL G[m] H

556 περιληφθέντες H **556–57** καπλέουσιν L **557** Βάρδας ὁ Φωκᾶς (sic m) : φωκᾶς ὁ βάρδας H **558** post ἐκκρίτων add. τοῦ T L (non add. m) : non adhib. G τούτων : τοῦτον L **559** Βιθυνίας : βυθυνίας T : βυθηνίας H **561** τούτους : αὐτοὺς L **562** καὶ alt. om. H **563** μάγιστρος – σχολῶν : ὁ δομέστικος G **564** post ἀνατολῆς add. συντάγματος καὶ L διέφθειρεν (sic m) : διέφθειραν G : κατέφθειρεν H **565–67** ὥστε – κατατολμᾶν om. G **565** συνσταλλέντας H **566** ἀθρόως (sic m) : ἀθρόους H : non adhib. G αὐτὸ : αὐτῶ T post πλοῖα add. ἐποίησεν L **567** ἐκτρέχειν L δὲ καὶ μέγιστα : γὰρ G **568** πρὸ – κατελθεῖν om. G **569** λεγόμενον ἅπαν (sic m : ἅπαν om. G) : ἅπαν λεγώμενον H **571** σκοποὺς : κοποὺς H **572** ὄπιθεν G **573** αὐτῶν om. H κατεπήγνυσαν : κατεπήγνυον m H **574** παραδεδώκασιν (sic m) : παρὰδέδωκαν T : παρέδωκαν G : παρεδώκασιν H **575–76** τό – τριήρεις om. G **576** τῶι στόλωι G **577** post Σεπτεμβρίῳ add. δὲ H ιε' (ιε^{ης} H) ἰνδικτιῶνος : ἰνδικτιῶνος ιε G : om. L **578–79** πατρικίου Θεοφάνους : θεοφάνους G : θεοφάνους πατρικίου m **579–80** καὶ γενναίαν om. G

γενναίαν ψυχήν. εὐθὺς οὖν δευτέρα ναυμαχία συνάπτεται, καὶ πλεῖστα πλοῖα ἐβύθισε καὶ πολλοὺς τούτων ἀπέκτεινεν ὁ εἰρημένος ἀνήρ. ὀλίγοι δὲ μετὰ τῶν πλοίων περισωθέντες καὶ ἐν τῇ τῆς Κοίλης παραπεσόντες ἀκτῇ νυκτὸς ἐπελθούσης διέφυγον. Θεοφάνης δὲ ὁ πατρίκιος μετὰ νίκης λαμπρᾶς καὶ μεγίστων ὑποστρέψας τροπαίων ἐντίμως καὶ μεγαλοπρεπῶς ὑπεδέχθη καὶ παρακοιμώμενος ἐτιμήθη. **76** ἐπεὶ δὲ ὁ ῥηθεὶς Ἰωάννης μάγιστρος, ὁ Κουρκούας, ἄριστός τις ἐγένετο τὰ πολεμικὰ καὶ πολλὰ ἀνέστησε τρόπαια καὶ τὰ ῥωμαϊκὰ ἐπλάτυνεν ὅρια πλείστας τε πόλεις ἐπόρθησε τῶν Ἀγαρηνῶν, διὰ τὸ περιφανὲς τῆς τοῦ ἀνδρὸς ἀρετῆς ἠβουλήθη ὁ βασιλεὺς Ῥωμανὸς εἰς τὸν ἑαυτοῦ ἔγγονον Ῥωμανὸν τὸν ἐκ Κωνσταντίνου τοῦ υἱοῦ αὐτοῦ τὴν τούτου θυγατέρα ἀναλαβεῖν. φθόνου δὲ αὐτῷ τῆς τοιαύτης ἕνεκεν ὑποθέσεως παρὰ τῶν λοιπῶν βασιλέων κινηθέντος ἐκπίπτει τῆς ἀρχῆς. δομέστικος δὲ ἀντικαθίσταται ὁ πατρίκιος Πανθήριος, συγγενὴς τοῦ βασιλέως ὢν Ῥωμανοῦ. **77** Ἀπριλλίῳ δὲ μηνί, ἰνδικτιῶνος πρώτῃ, ἐπῆλθον πάλιν οἱ Τοῦρκοι μετὰ πλείστης δυνάμεως. ὁ δὲ πατρίκιος Θεοφάνης, ὁ παρακοιμώμενος, ἐξελθὼν σπονδὰς εἰρηνικὰς ἐποίησε μετ᾽ αὐτῶν ὁμήρους τῶν ἐμφανῶν ἀναλαβόμενος· ἐξ οὗ καὶ συνέβη ἐπὶ χρόνους ε' τὴν εἰρήνην διαφυλαχθῆναι. **78** δευτέρᾳ δὲ ἰνδικτιῶνι ὁ βασιλεὺς Ῥωμανὸς Πασχάλιον πρωτοσπαθάριον καὶ στρατηγὸν Λαγοβαρδίας πρὸς τὸν ῥῆγα Φραγγίας Οὔγωνα ἐξαπέστειλε, τὴν τοῦ αὐτοῦ θυγατέρα ἐπιζητῶν εἰς

§ 76: ca. a. 944 § 77: a. 943 § 78: a. 944

§ 77: cf. ps.-Sym. 748.1–4 § 78: cf. ps.-Sym. 748.5–12

TL G[m] H

580 post ναυμαχία add. τούτοις H συνάπτεται : ἐγίνετο G **581** καὶ – ἀνήρ om. G **582** τῆς Κοίλης : τῆς κύλλης T : τῆς σκύλλης L **582–83** παραπεσόντες ἀκτῇ : περισωθέντες ἀκτῆι G : περιπεσόντες ἀκτῇ m : ἀκτὶ περιπεσώντες H **583** ὁ πατρίκιος om. G **584** λαμπρᾶς – τροπαίων : ὑποστρέψας λαμπρᾶς G **584–85** καὶ μεγαλοπρεπῶς om. G **585** ἐπεὶ δὲ (sic m) : ἐπειδὴ δὲ T L : ἐπὶ δὲ καὶ H **586** post Ἰωάννης add. ὁ G τις om. H **586–87** καὶ – ῥωμαϊκὰ om. G **587** τὰ om. H (quod exhib. m) : non adhib. G **588** ἐπόρθησε : ἐνέπρισε H **589–92** ἠβουλήθη – ἀρχῆς om. G **589** ῥωμανὸς βασιλεὺς L ἔγγονον (sic m) : ἔκγονον T L : ἔγγονα H : non adhib. G **590** τοῦ om. L (etiam om. singula mss. e m) : non adhib. G υἱοῦ (sic m) : γαμβροῦ H : non adhib. G τὴν τούτου (sic m) : τούτου τὴν H : non adhib. G **591–92** παρὰ – κινηθέντος (sic m) : κινηθέντος παρὰ τῶν λοιπῶν βασιλέων H : non adhib. G **592** δὲ : τε H ὁ om. H **593** τοῦ – Ῥωμανοῦ : ὢν ῥωμανοῦ βασιλέως H **593–94** Ἀπριλλίῳ – πρώτῃ (α^{ης} H) : ἰνδικτιῶνι δὲ πρώτῃ ἀπριλλίῳ μηνί T L : ἰν^{δ} α ἀπριλλίῳ μηνί G m **596–97** ὁμήρους – ἐπὶ om. G **597** ε' : ἱκανοὺς H **598** δὲ om. G ἰνδίκτω H Πασχάλιον om. H **599** Λαγοβαρδίας (fort. scrib. Λαγγοβαρδίας : G per comp. : Λαγοβάρδων Bekker) : λαγουβαρδίας T : λαγγουβαρδίας L : λογγιβαρδίας m : λαγωβαρδίας H **600** Οὔγωνα : οὔγωνα T : οὔγγ- G m : οὔκωνα H τοῦ αὐτοῦ : αὐτοῦ L m : ἑαυτοῦ H θυγατέραν H

νύμφην Ῥωμανῷ, τῷ τοῦ γαμβροῦ αὐτοῦ Κωνσταντίνου υἱῷ· ἣν καὶ ἀναλαβὼν ὁ εἰρημένος Πασχάλιος μετὰ πλούτου πολλοῦ ἐν τῇ πόλει ἀνήγαγεν. γέγονε δὲ ὁ γάμος Σεπτεμβρίῳ μηνί, ἰνδικτιῶνος γ'. ἥτις καὶ ἐτελεύτησε, ζήσασα ἔτη μετὰ τοῦ ἀνδρὸς αὐτῆς πέντε, ἐν ταῖς ἡμέραις τῆς αὐτοκρατορίας Κωνσταντίνου, τοῦ αὐτῆς πενθεροῦ. **79** ἀνέμου δὲ βιαίου καὶ σφοδροῦ καταπνεύσαντος Δεκεμβρίῳ μηνὶ οἱ λεγόμενοι ἐν τῷ ἱππικῷ δῆμοι κατέπεσον, οἳ ἀπεναντίας τοῦ βασιλικοῦ θρόνου ἐτύγχανον, καὶ συνέτριψαν τά τε ὑποκάτωθεν αὐτῶν βάθρα καὶ τὰ στηθέα λεγόμενα. χρόνου δὲ περικυκλεύσαντος τῷ αὐτῷ μηνὶ τὸν βασιλέα Ῥωμανὸν τοῦ παλατίου κατήγαγον. **80** τῆς δὲ πόλεως Ἐδέσης, ἐν ᾗ τὸ τοῦ Χριστοῦ τίμιον ἐκμαγεῖον ἀπέκειτο, παρὰ τοῦ ῥωμαϊκοῦ πολιορκουμένης στρατεύματος καὶ εἰς ἀνάγκην μεγίστην περιισταμένης ἀπέστειλαν οἱ ταύτης οἰκήτορες πρὸς τὸν βασιλέα Ῥωμανὸν διαπρεσβευόμενοι τὴν πολιορκίαν λυθῆναι, τὸ τοῦ Χριστοῦ ἅγιον ἐκμαγεῖον παρέχειν ἐπαγγελλόμενοι. ὑπὲρ τῆς τοιαύτης δὲ χάριτος δεσμίους ᾐτήσαντο τῶν ἐμφανῶν ἀντιλαβεῖν χρυσοβούλλιόν τε λαβεῖν, ὥστε μηκέτι τὴν τούτων χώραν παρὰ τοῦ Ῥωμαίων στρατοῦ ληΐζεσθαι· ὃ δὴ καὶ γέγονεν. **81** τοῦ δὲ ἁγίου ἐκμαγείου ἀποσταλέντος καὶ ἤδη τῇ Κωνσταντινουπόλει πλησιάζοντος Θεοφάνης ὁ πατρίκιος καὶ παρακοιμώμενος ἐν τῷ ποταμῷ Σαγάρῳ ἐξελθὼν ὑπήντησεν αὐτῷ μετὰ λαμπρᾶς φωταγωγίας καὶ τῆς δεούσης τιμῆς τε καὶ ὑμνῳδίας. καὶ τῇ ιε' τοῦ Αὐγούστου μηνὸς σὺν αὐτῷ ἐν τῇ πόλει εἰσῆλθε, τοῦ βασιλέως ἐν Βλαχέρναις ὄντος κἀκεῖ αὐτὸ προσκυνήσαντος. τῇ δὲ ἐπαύριον ἐξῆλθον ἐν τῇ Χρυσῇ πόρτῃ οἵ τε τοῦ βασιλέως δύο υἱοὶ Στέφανός τε καὶ Κωνσταντῖνος καὶ ὁ γαμβρὸς αὐτοῦ Κωνσταντῖνος σὺν τῷ πατριάρχῃ Θεοφυλάκτῳ καὶ μετὰ τῆς δεούσης τοῦτο ἀναλαβόντες τιμῆς, τῆς συγκλήτου πάσης προπορευομένης καὶ φωταγωγίας μεγίστης προ-

---

603 mense Sept. a. 945 **606** mense Dec. a. 943 **609** mense Dec. a. 944 **621–22** 15.8.944

---

§ 79: cf. ps.-Sym. 748.13–16 § 80: cf. ps.-Sym. 748.19–749.1 § 81: cf. ps.-Sym. 749.1–11

TL G[m] H **607** a θρόνου TL G[m]

---

602 ἀναλαβώμενος H **603** ἰνδικτιῶνος γ' (sic m : γ^{ης} H) : τρίτη ἰν^{δ} T : τρίτῃ ἰνδικτιῶνος L : om. G **605** δὲ om. G **606** καὶ σφοδροῦ : σφόδρα G m **608** συνέτριψαν τά τε (sic m) : συνέτριψαν τὲ L : συνέτριψεν G αὐτῶν βάθρα (sic m) : μάρμαρα G τὰ (alt.) om. G (quod exhib. m) στηθέα (στήθεα Tafel) : fort. scrib. στηθαῖα (vide introd. III.3.1.1) **610** ἐδέσσης L **611** τίμιον om. L **611–12** πολιορκουμένηστρατεύματος G **615** ἐπαγγειλάμενοι L m (vide introd. III.3.1.1) **617** μηκέτι om. G (m: nonnulla mss. exhib. μηκέτι) (vide introd. III.3.1.1) **620** Σαγάρῳ (sic m) : σάγαρ G **621** φωταγωγίας καὶ τῆς δεούσης om. G (quod exhib. m) **623** αὐτὸ (sic m) : αὐτῶι G προσκυνήσαντος (sic m) : προσκυνήσαντες G ἐξῆλθεν L

αγούσης, μέχρι τοῦ ναοῦ τῆς ἁγίας τοῦ Θεοῦ Σοφίας πεζοὶ διεκόμισαν καὶ προσκυνηθὲν ἐκεῖσε ἐν τῷ παλατίῳ ἀνήγαγον. **82** ἐν ταύταις δὴ ταῖς ἡμέραις Ἀρμένιόν τι τέρας τῇ πόλει ἐπεφοιτήκει· παῖδες συμφυεῖς ἄρρενες, ἐκ μιᾶς προελθόντες γαστρός, ἄρτιοι μὲν πάντα τὰ μέλη τοῦ σώματος, ἀπὸ δὲ τοῦ στόματος τῆς γαστρὸς καὶ μέχρι τῶν ὑπὸ γαστέρα συμπεφυκότες καὶ ἀλλήλοις ὑπάρχοντες ἀντιπρόσωποι· οἳ ἐπὶ πλεῖστον τῇ πόλει ἐνδιατρίψαντες καὶ ὑπὸ πάντων ὡς ἐξαίσιόν τι τέρας ὁρώμενοι τῆς πόλεως ὡς πονηρός τις οἰωνὸς ἐξηλάθησαν. ἐπὶ δὲ τῆς μονοκρατορίας βασιλείας Κωνσταντίνου πάλιν εἰσήλθοσαν. ἐπειδὴ δὲ ὁ ἕτερος αὐτῶν ἐτεθνήκει, ἰατροί τινες ἔμπειροι τὸ συγκεκολλημένον μέρος διέτεμον εὐφυῶς, ἐλπίδι τοῦ τὸν ἕτερον ζήσεσθαι· ὃς τρεῖς ἡμέρας ἐπιβιοὺς ἐτελεύτησεν. **83** καὶ ἐν πᾶσι μέν, ὡς ἀνωτέρω εἴρηται, μοναχοῖς πίστιν ἐκέκτητο ἄμετρον ὁ βασιλεύς, διαφερόντως δὲ ἐτίμα καὶ ὑπερέσεβε Σέργιον τὸν ἐν μονασταῖς διαλάμποντα· ὃς ἀδελφὸς μὲν τοῦ μαγίστρου ἐπεφύκει Κοσμᾶ, ἀνεψιὸς δὲ τοῦ πατριάρχου Φωτίου ἐτύγχανεν· ὃν πλέον τῆς σαρκικῆς εὐγενείας ἡ κατὰ ψυχὴν ἐτίμα εὐγένεια. ἀρετῆς γὰρ εἰς ἄκρον καὶ γνώσεως ἤλασεν, ὡς δυσχερὲς εἶναι διακρίνειν, ποτέρῳ μᾶλλον πλεονεκτεῖ· οὕτως εἰς ἄκρον ἑκατέραν ἐξήσκησεν. ἐπήνθει δὲ αὐτῷ πρὸς τοῖς ἄλλοις καὶ τὸ τῆς διακρίσεως ἔρευθος καὶ τὸ χαρίεν τοῦ ἤθους καὶ τὸ μέτριον τοῦ φρονήματος. οὐ γὰρ ἀνέσπα τὰς ὀφρῦς κατὰ τοὺς νῦν σοφούς, οὐδὲ ἀλαζών τις ἐδόκει καὶ ὑπερήφανος, ἀλλὰ τὸν λόγον μὲν εἶχε γλυκύτερον μέλιτος ἀποστάζοντα, τὸ ἦθός τε πάγιόν τε καὶ σταθερόν, ταπεινὸν δὲ τὸ φρόνημα. τοῦτον δὴ τὸν ἀοίδιμον ἀδιαλείπτως μεθ᾽ ἑαυτοῦ εἶχεν ὁ βασιλεύς, κανόνα ὄντος καὶ στάθμην, τὸν αὐτοῦ βίον ἀεὶ ῥυθμίζοντα. ὃς πολλὰ παρῄνει τῷ βασιλεῖ τῶν παίδων ἐπιμελεῖσθαι καὶ μὴ ἀπαιδεύτους ἐᾶν εἰς πονηρίαν ἐκκλίνοντας, μήποτε

---

§ 82: cf. ps.-Sym. 749.12–22 § 83: cf. ps.-Sym. 750.1–9 **649** λόγον – ἀποστάζοντα: cf. Il. 1.249 (τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή) **650–55** τοῦτον – γέγονεν: cf. ps.-Sym. 750.9–14

TL G[m] a § 82 TL G[m] E a § 83 TL G[m]

---

628 πεζοὶ (sic m) : πεζὸν G **629–30** ἐν ταύταις δὴ (δὲ G) ταῖς ἡμέραις : ἐν δὲ ταῖς ἡμέραις ταύταις E **630** τι : τε E ἐπιφοιτίκη E **631** μὲν om. E **632** ἀπὸ δὲ τοῦ στόματος om. E γαστέρα : γαστέρων E **633** ἀλλήλους G ἀντιπρόσωπον E **634** ἐνδιατρίβοντες E **635** πονηρός τις οἰωνὸς : πονηρὸν τί οἴονῶν E **636** μονοκρατορίας : μονοκράτορος L βασϊλείας καὶ μονοκρατορίας E ἐπειδὴ : ἐπεὶ G m **637** αὐτῶν : αὐτὸν E **638** ὃς : ὡς E **642** δὲ τοῦ (δὲ τοῦ om. T) πατριάρχου Φωτίου : δὲ φωτίου τοῦ πατριάρχου L **643–50** ἀρετῆς – φρόνημα om. G **644** ποτέρῳ (sic m) : προτέρῳ T : non adhib. G **645** ἐπήνθει (sic m) : ἐπήνθειν L **646** χαρίεν (sic m) : χαριὲν T : non adhib. G **649** τε pr. (sic m) : δὲ T : non adhib. G **650** σταθηρόν L **651** εἶχε μεθ᾽ ἑαυτοῦ L ὄντος : ὄντως T : fort. scrib. ὄντως (sic Bekker Tafel; cf. introd. III.3.1.1)

καὶ αὐτὸς πάθοι τὸ τοῦ Ἡλεῖ, τιμωρίαν ὑπὲρ τῆς τῶν παίδων παρανομίας ἐκτίσας· ὃ καὶ γέγονεν. ἐπεὶ δὲ τοῦ παλατίου τοῦτον οἱ παῖδες κατήγαγον καὶ ἐν τῇ Πρώτῃ νήσῳ ἐξώρισαν, πάλιν τοῦτον εἶχε τῶν συμφορῶν παραμύθιον καὶ τῶν θλίψεων ἀκεσώδυνον φάρμακον. ᾧ συνῆν τότε καὶ Πολύευκτος μοναχὸς εὐλαβέστατος καὶ αὐτὸς τὰ εἰκότα παραμυθούμενος, ὃς τοῦ πατριάρχου Θεοφυλάκτου τελευτήσαντος πατριάρχης ὑπὸ τοῦ βασιλέως Κωνσταντίνου προχειρίζεται. **84** ἐπειδὴ δὲ πολλοῖς τρόποις ὁ Θεὸς βούλεται σῴζειν τὸν ἄνθρωπον, συνεχώρησε καὶ τὸν βασιλέα Ῥωμανὸν συμφορᾷ ἀδοκήτῳ περιπεσεῖν, ἵνα δι᾽ αὐτῆς σωφρονισθεὶς καὶ τῶν οἰκείων ἐν συναισθήσει παραπτωμάτων γενόμενος σωτηρίας ἀξιωθῇ. συνεχώρησε γὰρ ἐπαναστῆναι αὐτῷ τὸν υἱὸν αὐτοῦ Στέφανον, ὥσπερ ποτὲ Ἀβεσαλὼμ ἐπανέστη Δαυὶδ τῷ οἰκείῳ πατρί. συμβούλοις οὖν οὗτος πρὸς τοῦτο χρησάμενος τῷ τε ἀπὸ μοναχῶν Μαριανῷ καὶ Βασιλείῳ, τῷ Πετεινῷ λεγομένῳ, καὶ Μανουὴλ τῷ Κουρτίκῃ, συνειδότων αὐτῷ καὶ τῶν ἄλλων βασιλέων, τοῦτον τοῦ παλατίου κακῶς κατήγαγε καὶ ἐν τῇ Πρώτῃ νήσῳ ἐξορίσας ἀπέκειρε μοναχόν.

137 Αὐτοκρατορία Κωνσταντίνου

Ὑπελείφθη οὖν αὐτοκράτωρ Κωνσταντῖνος ὁ τούτου γαμβρός. **2** ὃς παραυτίκα Βάρδαν τὸν τοῦ Φωκᾶ τῇ τοῦ μαγίστρου ἀξίᾳ τιμήσας, ὡς

659–60 a. 956 § 84: mense Dec. 944

655–60 ἐπεὶ – προχειρίζεται: cf. ps.-Sym. 752.2–8 § 84: cf. ps.-Sym. 752.10–20 cap. 137, § 1: cf. ps.-Sym. 753.1–2 § 2: cf. ps.-Sym. 753.2–7

TL G[m] a § 84 TL G[m] E **669** a καὶ TL G[m] I

654–55 τιμωρίαν – γέγονεν (ὃ καὶ γέγονεν om. m) om. G **656** τούτων G **659** post ὃς add. καὶ L **660** ἐπειδὴ : ἐπεὶ G m **661** δὲ om. E βούλεται post ἄνθρωπον transp. L (βούλεται ὁ θεὸς m) σῴζεσθαι L **663** σωφρονισθήσῃ fort. E αἰσθήσει G **664** συνεχώρει G ἐπανασταθῆναι E αὐτῷ om. L G (quod exhib. m) **665** post ποτὲ add. τὸν G ἀβεσσαλὼμ T, fort. recte (sic Bekker) (vide introd. III.3.1.1) post ἐπανέστη add. τῶ E **666–68** οὗτος – βασιλέων : χρησάμενος οὗτος πρὸς τὸν πατέρα αὐτοῦ E **666–67** ἀπομοναχῶ T **667** λεγομένῳ om. G (quod exhib. m) : non adhib. E **668** αὐτῷ : per comp. L (fort. αὐτῶν) post βασιλέων add. καὶ E **669** κακῶς : δεινῶς L : om. E κατήγαγον E **cap. 137.1** Αὐτοκρατορία Κωνσταντίνου : κωνσταντῖνος ὁ πορφυρογένητος I : om. L m **2** Ὑπελείφθη (ὑπελήφθη T (I)) – γαμβρός : ὑπελείφθη οὖν αὐτοκράτωρ ὁ τούτου γαμβρὸς κωνσταντῖνος L : κωνσταντῖνος ὁ τούτου γαμβρὸς ὑπελήφθη οὖν αὐτοκράτορ I **2–15** ὃς – ἐκθήσομαι om. L **3** τοῦ Φωκᾶ : φωκὰν I **3–15** ὡς (ὃς G) – ἐκθήσομαι om. I

χρόνῳ πολλῷ τὴν ἐν τοῖς πολέμοις ἀνδραγαθίαν πολλάκις ἐπιδειξάμενον, δομέστικον τῶν σχολῶν προχειρίζεται· εἶτα Βασίλειον, ᾧ ἐπίκλην Πετεινός, πατρίκιον καὶ μέγαν ἑταιρειάρχην. τῶν δὲ τοῦ γένους τῶν Ἀργυρῶν Μαριανὸν τὰ μοναχικὰ ἀποδύσας πατρίκιον καὶ κόμητα τοῦ στάβλου πεποίηκεν, ὡσαύτως καὶ Μανουήλ, τὸν ἐπιλεγόμενον Κουρτίκην, πατρίκιον καὶ δρουγγάριον τῆς βίγλης· **3** οὕς τινας τρεῖς οὐ μετὰ πολὺν χρόνον ἡ τοῦ Θεοῦ δικαία κρίσις ὡς εἰς χριστὸν Κυρίου παροινήσαντας καὶ χεῖρας ἀδίκως ἐπιβαλόντας καὶ τῆς βασιλείας ὀρεγομένους μετῆλθεν. ἐπὶ καθοσιώσει γὰρ καταληφθέντες, ἑκάτερος αὐτῶν οἰκτίστῳ θανάτῳ τὸ ζῆν ἀπέρρηξεν. τὰ δὲ περὶ αὐτῶν πλατύτερόν τε καὶ ἐπεξεργαστικώτερον ἐν τῇ †προηγουμένῃ ἐπεξηγήσει ἐκθήσομαι. **4** μετὰ δὲ τεσσαράκοντα ἡμέρας, τῇ εἰκάδι ἑβδόμῃ τοῦ Ἰαννουαρίου μηνός, ὑποπτεύσας Κωνσταντῖνος τόν τε βασιλέα Στέφανον καὶ Κωνσταντῖνον τὸν ἀδελφὸν αὐτοῦ, μήποτε καὶ κατ᾽ αὐτοῦ τὰ ὅμοια διαπράξωνται, καὶ λογισάμενος, ὅπερ ἦν εἰκός, ὅτι εἰ τοῦ ἰδίου πατρὸς οὐκ ἐφείσαντο, πῶς αὐτοῦ φείσονται, ἑστιάσας αὐτούς, ἤδη ἐν τῇ τραπέζῃ καθεζομένους, ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, ἀνήρπασαν τούτους οἵ τε λεγόμενοι Τορνίκοι καὶ ὁ πατρίκιος Μαριανὸς καὶ οἱ λοιποὶ οἱ πρὸς τοῦτο εὐτρεπισμένοι, καὶ τοῦ παλατίου κατήγαγον καὶ ἐν ταῖς πλησιαζούσαις νήσοις αὐτοὺς περιώρισαν καὶ κληρικοὺς ἀπέκειραν. **5** μετ᾽ ὀλίγον οὖν οὗτοι αἰτησάμενοι τὸν ἴδιον πατέρα θεάσασθαι ἐν τῇ Πρώτῃ νήσῳ παρεγένοντο καὶ τοῦτον ἐν τῷ μοναχικῷ σχήματι θεασάμενοι πένθει κατεσχέθησαν ἀφορήτῳ. οἷς ἐπιδακρύσας ὁ πατὴρ

---

§ 4: 27.1.945

---

§ 3: cf. ps.-Sym. 753.7–9 § 4: cf. ps.-Sym. 753.10–18 § 5: cf. ps.-Sym. 753.18–754.4

TL G[m] I

---

6 Πετεινός (sic m) : πετεινόν G : non adhib. L I **9** βίγλης (sic m) : βίγλας G : non adhib. L I τρεῖς : fort. scrib. τέσσαρας (vide introd. III.3.1.1) **10** οὐ μετὰ (sic m) : οὐ μετου ut vid. G : non adhib. L I **11** ἀδίκως om. G (quod exhib. m) : non adhib. L I καὶ alt. om. T, fort recte (quod exhib. m) : non adhib. L I (vide introd. III.3.1.1) **12** καθοσιώσει (sic m) : καθοσιώθει T : non adhib. L I καταλειφθέντες G **14** προηγουμένῃ (sic m) : προειρημένηι G : non adhib. L I (vide introd. III.3.1.1) **15** δὲ : γὰρ L **15–16** τῇ εἰκάδι ἑβδόμῃ τοῦ (τοῦ om. G (quod exhib. m)) Ἰαννουαρίου (ἰανου- H) μηνός om. L I **16–17** τόν – αὐτοῦ pr. : τοὺς αὐταδέλφους I **17** καὶ om. G I (quod exhib. m) **17–18** διαπράξονται I **18** ὅπερ ἦν εἰκός om. L I εἰ om. I **19** φείσωνται G ἐσθιάσας I **20** καθεζομένους : καθημένους καὶ L **21** τούτους : τούτοις T Τορνίκοι : κουρτίκιοι καὶ τορνίκοι I : fort. scrib. Τορνίκιοι (sic Tafel) (vide introd. III.3.1.1) καὶ ὁ πατρίκιος Μαριανὸς (ῥωμανὸς L) om. I οἱ (alt.) om. T I (quod exhib. m) (vide introd. III.3.1.1) **22** πρὸ I τοῦτο : τοῦτω T **23** πλησιαζούσαις om. I αὐτοὺς : αὐτῶν I **24** μετὰ οὖν ὀλίγον I αἰτησάμενοι οὗτοι G **25** μοναδικῷ I **26** οἷς ἐπιδακρύσας : ἐπιδακρύων δὲ I post πατὴρ add. αὐτῶν I

ἔφη· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. εἶθ᾽ οὕτως ἐξωρίσθησαν· ὁ μὲν Στέφανος εἰς Προικόννησον, ἀπὸ δὲ Προικοννήσου εἰς Ῥόδον, ἀπὸ δὲ Ῥόδου εἰς Μυτιλήνην· ὁ δὲ Κωνσταντῖνος εἰς Τένεδον, ἐκεῖθεν εἰς Σαμοθρᾴκην, ἐν ᾗ καὶ ἀνταρσίαν μελετήσας παρὰ τῶν αὐτὸν φυλασσόντων ἐσφάγη. Μιχαὴλ δέ, τὸν τοῦ Χριστοφόρου βασιλέως υἱόν, τὰ βασιλικὰ πέδιλα ἀφελόμενος κληρικὸν πεποίηκεν. **6** ὄντος δὲ τοῦ βασιλέως Ῥωμανοῦ ἐν τῇ νήσῳ ὁ πατριάρχης Θεοφύλακτος καὶ Θεοφάνης ὁ πατρίκιος καὶ παρακοιμώμενος βουλὴν ἐβουλεύσαντο, ὥστε πάλιν τοῦτον ἐν τῷ παλατίῳ ἀγαγεῖν· ἣν καὶ αὐτῷ ἀνακοινωσάμενοι καὶ παραπείσαντες τοῦτον ἐκαιροσκόπουν, πότε τὸ πέρας τῇ τοιαύτῃ βουλῇ ἐπιθήσουσιν. ἐπεὶ δὲ τὰ τῆς βουλῆς ἐφωράθη καὶ κατεμηνύθη Κωνσταντίνῳ τῷ βασιλεῖ, τοὺς συνεργοὺς ταύτης ἠμύνετο· τὸν μὲν πατρίκιον Θεοφάνην ἐξώρισε, τὸν δὲ πρωτοσπαθάριον Γεώργιον καὶ πιγκέρνην καὶ Θωμᾶν πριμμικήριον δείρας καὶ κουρεύσας καὶ μέσον τῆς πόλεως θριαμβεύσας οὕτως ὑπερορίᾳ παρέπεμψεν. **7** Δεκεμβρίῳ δὲ μηνί, ἕκτῃ ἰνδικτιῶνος, ἐπιβουλήν τινες κατὰ τοῦ βασιλέως Κωνσταντίνου ἐμελέτησαν βουλόμενοι τὸν βασιλέα Στέφανον ἐν τῷ παλατίῳ ἐκ τῆς νήσου ἀναγαγεῖν. ταύτης οὖν μηνυθείσης Κωνσταντίνῳ διὰ Μιχαὴλ τοῦ Διαβολίνου λεγομένου τοὺς ἐπιβούλους κρατήσας ὁ βασιλεὺς τῶν μὲν τὰς ῥῖνας καὶ τὰ ὦτα ἀπέτεμεν, τοὺς δὲ δαρμῷ ἀφορήτῳ ὑπέβαλε καὶ ὄνοις ἐπικαθίσας διὰ μέσης τῆς πόλεως ἐθριάμβευσε καὶ ἐξορίᾳ παρέπεμψεν. **8** πέντε καὶ δεκάτῃ δὲ Ἰουλίου μηνός, ἕκτῃ ἰνδικτιῶνος,

---

§ 6: fort. a. 946 § 7: mense Dec. a. 947 § 8: 15.7.948

---

27 υἱοὺς – ἠθέτησαν: Is. 1.2 § 6: cf. ps.-Sym. 754.5–9 § 7: cf. ps.-Sym. 754.10–15 § 8: cf. ps.-Sym. 754.16–18

TL G[m] I

---

27 αὐτοὶ : αὐτίκα I εἶθ᾽ : εἰδ᾽ I οὕτως : οὗτος T **28–32** ὁ – πεποίηκεν om. I **28** Προικόννησον (sic m) : προκόνησον G : non adhib. I Προικοννήσου (sic m) : προκονήσου G : non adhib. I **29** Μυτιλήνην (μη- m): μυτηλήνην T : μιτυλήνην G, fort. recte (sic etiam Tafel) **30** εἰς Σαμοθρᾴκην : εἰσἀμωθράκην T παρὰ (sic m) : κατὰ G : non adhib. I αὐτὸν : αὐτῶν T **31** βασιλέως χριστοφόρου L **33–34** Θεοφάνης ὁ (ὁ om. G (quod exhib. m)) – παρακοιμώμενος : ἕτεροι I **34** ἐβουλεύσαντο : ἐποίησαν I **35** ἀναγαγεῖν T **35–37** ἣν – ἐπιθήσουσιν om. I **37** ἐφωράθησαν G καὶ κατεμηνύθη om. I **38–40** Κωνσταντίνῳ – πριμμικήριον (πριμηκήριον G) : κωνσταντῖνος βασιλεὺς τοὺς μὲν ἐξόρισε τοὺς δὲ I **38** τῷ om. G m post μὲν add. γὰρ T **39** θεοφάνην πατρίκιον G m **39–40** καὶ πιγκέρνην : vide introd. III.3.1.1 **40** μέσης I **41** post θριαμβεύσας add. καὶ I **41–48** Δεκεμβρίῳ – παρέπεμψεν om. I **42–43** ἐμελέτησαν κωνσταντίνου L **44** ἀγαγεῖν G m **45–47** κρατήσας – ὑπέβαλε : δαρμῷ ἀφορήτῳ ὑπέβαλλεν τοὺς μὲν τὰς ῥῖνας καὶ τὰ ὦτα ἀπέτεμεν G **47** ὄνους L **47–48** καὶ ἐξορίᾳ παρέπεμψεν om. G **48** πέντε καὶ δεκάτῃ (ῑε̄ G) – μηνός : μηνὶ δὲ ἰουλλίῳ I ἕκτῃ ἰνδικτιῶνος : ἰνδικτιῶνος ϛ m : ἰνδικτιῶνος ἕκτης I (vide introd. III.3.1.1)

῾Ρωμανὸς ὁ βασιλεὺς ἐν τῇ Πρώτῃ νήσῳ τελευτᾷ, καὶ τὸ σῶμα αὐτοῦ ἐν τῇ πόλει διακομισθὲν ἐν τῇ αὐτοῦ ἀπετέθη μονῇ.

TL G[m] I

49 ἐν τῇ Πρώτῃ νήσῳ om. I Πρώτῃ νήσῳ (sic m) : νήσω πρῶτη T : νήσῳ G : non adhib. I (vide introd. III.3.1.1) προτελευτᾶ G **50** διακομισθὲν : διακομίζεται καὶ I αὐτοῦ ἀπετέθη μονῇ : πόλει ἀπεστάλθη I

INDICES

Index nominum propriorum

Hoc in indice nomina propria omnium personarum, gentium etc. continentur, exceptis Ῥωμαῖοι, Χριστιανοί, δῆμος, διάβολος, ἄγγελοι (i.e. sensu collectivo), Μαρία/Θεοτόκος/Θεομήτωρ, personis S. Trinitatis.

Index verborum Byzantinorum

Hoc in indice continentur verba ad res Byzantinas spectantia ut etiam alia verba, quae alio significatu quam in antiquitate usurpantur vel solum in scriptoribus Byzantinis inveniuntur; ad haec investiganda praecipue usus sum lexico Liddell-Scott-Jones (LSJ). Verba, quae (omnibus) lexicis LSJ, Trapp (Α–Κ), Lampe, Sophocles, Stephanus, DuCange, Kumanudes addenda sunt sive, ut videtur, hic alio significatu usurpantur quam in illis lexicis, sive secundum illa lexica solum apud Logothetam inveniuntur, asterisco (*) notavi; etiam adhibui TLG (Thesaurus Linguae Graecae. CD Rom # E. University of California, Irvine, 2000), praecipue ad inveniendas voces singulares (hapax legomena).

Index graecitatis

pronomina:

σφῶν 129.7

demonstrativa αὐτός et οὗτος nonnumquam sine articulo usurpantur, e.g.: αὐτὸν Ὑπάτιον 104.5, οὗτος Ἀλέξανδρος 134.3 (cf. 80.2, 91.1)

ἑαυτόν pro σεαυτόν usurpatur: ὁρᾷς ἑαυτόν, Ἰσοκάσιε 99.8, ἔχε τοὺς πάντας ὡς ἑαυτόν 105.7 (l. 35)

sententiae condicionales:

irrealis (in praeterito sive praesenti tempore): τὰς κατὰ σοῦ μοι μηνυθείσας ἐπιβουλάς, αἷς εἰ συναπήχθην, ἀκωλύτως εἶχον τοῦ ἀνελεῖν σε 125.3, εἰ μὴ τῷ σῷ πατρὶ συνηγωνισάμεθα, βασιλεῦ, οὐκ ἂν αὐτὸς νῦν ἦρξας 130.7, εἰ μὴ … ἐμηνύθη μοι, οὐκ ἂν ἐν τοῖς ζῶσιν ἤμην 131.41, πολλοὺς ἂν τῶν ἐν τέλει τότε ἀνηλεῶς καὶ ἀναιτίως οἱ λεγόμενοι οὗτοι ἐπίτροποι ἀπέκτειναν, εἰ μή τινες τῶν δικαστῶν τούτους τῆς ἀδίκου ὁρμῆς ἀνεχαίτισαν 135.9 (l. 62–64), ταύτην παρέλαβεν ἄν, εἰ μὴ νοσήσας ἐτελεύτησεν 135.17, τοῦτο ἂν ἐπεπόνθει, εἰ μὴ … ἀνετράπη 135.22; cf. εἴθε μὴ ὕπνωσας … μήτε ὄνειρον ἐθεάσω 112.3 (l. 20–21), εἴθε μηδόλως ἐκάθισα 124.7

eventualis (ubi invenies vicissitudinem formarum ἐάν et εἰ): (c. coniunctivo) δέξαι τοῦτο, καὶ εἰ μὲν καλῶς ἄρχω, ὑπὲρ ἐμοῦ, εἰ δὲ μή, κατ᾽ ἐμοῦ αὐτῷ χρῆσαι 62.1, ἐὰν ἡττηθῇ ὃν προβάλλομαι Πέρσην εἰς τὸ μονομαχῆσαι· εἰ δὲ ἡττηθῇ κτλ. 97.5 (l. 26), εἰ βασιλεύσεις, τί ἡμῖν χαρίσῃ; 98.5, ἡγούμενος εἶναι οὐ καθεκτὴν Ῥωμαίοις, εἰ τὸν βασιλέα Ῥωμαίων Ἄραβες αἰχμάλωτον λάβωσιν 130.30, ὅπερ ἐὰν μὲν εἴπω, ἀποθνῄσκω, εἰ δὲ μὴ εἴπω, ἀποθνῄσκεις σύ 133.26, εἴ τι ἂν ἀκούωσι 133.26, εἰ δυνηθῶ, ἐλεύσομαι 133.58, ἐν οἷς ἂν δέῃ, σύμμαχον ἔχει 135.24; (c. fut. ind.) ἐάν μοι τὸν υἱὸν τοῦ ἀμερμουμνῆ καὶ λαὸν παρέξετε, ἐξελθὼν ὑποτάξω τὴν Ῥωμανίαν 130.22; cf. (c. opt. obl.) πολλὰ δῶρα ὑπισχνούμενος αὐτῷ, εἰ τὸν Ἰουστινιανὸν ζῶντα, ἢ κἂν τὴν κεφαλὴν αὐτοῦ, ἀποστείλαι αὐτῷ 116.3 (l. 12–13), ὑποσχόμενος αὐτῷ, εἰ ἐξέλθοι …, εἶναι 130.34; vide etiam sententiam forma irreali: ὁ δὲ οὐ κατένευε τοῦτο γενέσθαι, εἰ μὴ Θεόδωρον γυναικάδελφον αὐτοῦ, τὸν Ζουφινεζέρ, καὶ Συμεῶνα τὸν υἱὸν αὐτοῦ προεβάλλοντο ἑταιρειάρχας 135.28 (l. 222–24); cf. etiam sententiam obliquam: δύνασθαι γὰρ αὖθις τὸν Θεόν, εἰ βούλοιτο, μετασκευάσαι 33.3

iterativus: ὃ ἐὰν εἴπῃ τις, ἐξακούεται 130.36

sententiae consecutivae (vide etiam tabulam infra s.v. *ὥστε*): c. ἵνα 130.38 (l. 279–80) (οὐδὲ ἄξιοί εἰσιν οὗτοι, ἵνα καλοὶ ὦσιν), c. καί fort. vi consec. 136.36 (καὶ οἱ Χριστιανοὶ παύσονται)

superlativus: nonnumquam in comparationibus usurpatur, e.g.: ἐγρηγορώτατον καὶ εὐνούστατον καὶ πιστότατον οὐδένα τῶν ὑπὸ χεῖρα ἢ Ῥωμανὸν εὑρηκώς 136.6 (l. 42–43); cf. μάλιστα κάλλιστον 22.5

superlativus elativus: ὀρθοδοξότατος 92.7, πιστότατος δὲ ὢν καὶ ὀρθοδοξότατος 136.59 (l. 462); cf. comp. sensu absoluto: τάχιον εἰσῆλθεν εἰς τὸ παλάτιον 133.22 (l. 151)


variatio de verbo in sing. ad subi. in plur. et vice versa (vide etiam s.v. *constructio ad sensum*):

καταβεβηκέναι λέγεται οἱ ἄγγελοι ἐπὶ τῆς γῆς 24.9; Ὅμηρος καὶ Ἡσίοδος ἐγνωρίζετο 40.6 (sic etiam 46.14), ἐπὶ τούτου προφητεύει Ἡσαΐας καὶ Ὠσηὲ καὶ Μιχαίας 42.11, Πρόβος καὶ Φλωριανὸς ἐβασίλευσεν 84.1, ἐξῆλθε Λέων … καὶ Ἰωάννης … καὶ Νικόλαος 135.23; cf. Βάρδας ἅμα Θεοφάνει τῷ Φαλγάνῳ ἄραντες τὸν λογοθέτην σφάζουσιν αὐτὸν καὶ μεληδὸν κατακόπτουσιν 131.20 (l. 176–77), Γρηγορᾶς μάγιστρος, ὁ τούτου πενθερός, μετὰ Λέοντος, ὃν Χοιροσφάκτην ὠνόμαζον, προσέφυγεν 135.8 (cf. 136.27 (l. 204) περιεκύκλωσεν (-αν))

summa et pars: φυγῇ χρησάμεναι [ἡ γυνὴ καὶ αἱ θυγατέρες] … ἑαυτὴν σὺν ταῖς θυγατράσιν ἔρριψε 86.4, καὶ ἐξελθόντες ἔνοπλοι καὶ ἔφιπποι … ὑποπλαγιάσας ὁ Ἀρεόβινδος ἐσόκισεν αὐτόν 97.5 (l. 30–32), ἐξελθὼν [ὁ Λεόντιος] … ἐκήρυξαν 114.7, ἀγαγόντες τὸν πατριάρχην καὶ καθίσαντες ἐπὶ θρόνου ἐν τιμῇ καὶ αὐτοὶ καθεσθέντες ἔφη πρὸς τὸν πατριάρχην Ἀνδρέας ὁ δομέστικος 133. 7, συγκαθίσας ἅμα Νικολάῳ πατριάρχῃ ἐποιήσαντο τὴν κατ᾽ αὐτοῦ καθαίρεσιν 134.2, ἑστιάσας … ἀνήρπασαν 137.4; cf. τοῦτον ἰδὼν Βάρδας ἅμα Θεοφάνει τῷ Φαλγάνῳ ἄραντες τὸν λογοθέτην σφάζουσιν 131.20 (l. 176–77), σὺ δὲ μετὰ τῶν σῶν … ὑποπτεύοντες 130.23; cf. καταληφθέντες, ἑκάτερος 137.3; cf. etiam εἰσῆλθον δὲ καὶ τὰ λείψανα 98.3


Index locorum

TAFELN




λιν γινώμεναι τῆς γραφῆς· ῥῆται γάρ·
ψυχὴ παντὸς κτήνους, τὸ αἷμα αὐ
τοῦ ἐστίν· αἷμα δὲ πηγνύμενον, εἰς
σάρκα μεταβάλλεται· σὰρξ δὲ φθειρο
μένη, εἰς γῆν ἀναλύεται· εἰκότως
οὖν γεώδης ἐστὶν ἡ ψυχὴ τοῦ ἀλόγου· ἐπει
δὴ δὲ λοιπὸν τῶν καταλλήλων κάλλει
τὰ πάντα διακεκόσμητο· οὐρανὸς
μὲν ταῖς τῶν φωστήρων αὐγαῖς·
θάλασσα δὲ καὶ ἀὴρ τοῖς νηκτοῖς τε
καὶ ἀγρίοις τῶν θηρίων· γῆ δὲ ταῖς
παντοίοις διαφοραῖς τῶν φυτῶν
τε καὶ βοσκημάτων, ὥσπερ τι μα
καρίσαι ὁ τοῦ παντὸς ποιητὴς
ἔστησε τὸν ἄνθρωπον ἐν κόσμῳ· οὐχ ὡς
ἀπονέμων τὸν ἔσχατον κτίσας, ἀλ
λ᾽ ὡς ἅμα τῇ γενέσει καταλείψειν ὀ
φείλοντα :~
† περὶ τῆς κατασκευῆς τοῦ ἀνθρώπου :~
Τί γὰρ φησὶν ἡ γραφή· καὶ εἶπεν ὁ θεός·
ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμε

Mailand, Cod. Ambrosianus gr. D34 sup. (Ab), saec. XI, fol. 5v



München, Staatsbibliothek, Cod. Monacensis gr. 218 (T), saec. XI, fol. 1r



Paris, Bibliothèque Nationale, Cod. Parisinus gr. 1711 (G), a. 1013, fol. 373r

ISBN-13: 978-3-11-018557-7
ISBN-10: 3-11-018557-1
www.deGruyter.com